χαν ἐκεῖ μέσα καὶ τὸ ἁγιότατο αἷμα τοῦ Χριστοῦ, καθὼς μέσα σὲ τόσο θόρυβο χύνονταν στὰ ἐνδύματα τῶν στρατιωτῶν, καὶ ὅλα γίνονταν σὰν νὰ ἐπρόκειτο γιὰ βαρβαρικὴ αἰχμαλωσία. Καὶ ὁ δῆμος ὁδηγοῦνταν στὴν ἐρημιά, καὶ ὅλος ὁ λαὸς διέμενε ἔξω ἀπὸ τὴν πόλη, καὶ οἱ ἐκκλησίες ἔμεναν ἄδειες ἀπὸ κόσμο σὲ τέτοια ἑορτή, καὶ περισσότεροι ἀπὸ σαράντα ἐπίσκοποι, ποὺ βρίσκονταν σὲ κοινωνία μαζί μου, μαζὶ μὲ τὸν λαὸ καὶ τὸν κλῆρο χωρὶς λόγο καὶ ἄδικα ἀπομακρύνονταν. Κραυγὲς καὶ θρῆνοι καὶ ἀτέλειωτα δάκρυα παντοῦ, στὶς ἀγορές, στὰ σπίτια, στὶς ἐρημιές, καὶ κάθε τόπος τῆς πόλεως ἦταν γεμάτος ἀπὸ τὶς συμφορὲς αὐτές. Διότι ἐξαιτίας τοῦ μεγέθους τῆς παρανομίας, ὄχι μόνο ὅσοι ἔπασχαν, ἀλλὰ καὶ ἐκεῖνοι ποὺ δὲν εἶχαν ὑποστεῖ τίποτε συμπονοῦσαν μαζί μας, καὶ ὄχι μόνο οἱ ὁμόδοξοι, ἀλλὰ καὶ αἱρετικοὶ καὶ Ἰουδαῖοι καὶ ἐθνικοὶ καὶ ὅλα τὰ εἶχαν κυριεύσει θόρυβοι, ταραχὲς καὶ κραυγές, σὰν νὰ εἶχε κυριευθεῖ ὁλόκληρη ἡ πόλη. Καὶ ὅλα αὐτὰ γίνονταν παρὰ τὴ γνώμη τοῦ εὐσεβέστατου βασιλιᾶ, ἐνῶ εἶχε νυχτώσει, μὲ διοργανωτὲς καί, σὲ πολλὲς περιπτώσεις, ἀρχηγοὺς ἐπισκόπους, οἱ ὁποῖοι δὲν ντρέπονταν νὰ ἔχουν ἐπὶ κεφαλῆς στρατιωτικοὺς ὁδηγοὺς[5] ἀντὶ διακόνων. Ὅταν ξημέρωσε ὁλόκληρη ἡ πόλη εἶχε μετακομίσει ἔξω ἀπὸ τὰ τείχη κάτω ἀπὸ δέντρα ἢ σὲ δασώδεις κοιλάδες, γιορτάζοντας τὴ γιορτὴ[6] σὰν πρόβατα διασκορπισμένα.

4. Μπορεῖτε τώρα νὰ σκεφθεῖτε ὅλα τὰ ἐπακόλουθα, διότι, ὅπως εἶπα προηγουμένως, δὲν εἶναι δυνατὸ νὰ περιγραφοῦν ἕνα ἕνα ξεχωριστὰ ὅλα ὅσα ἔγιναν. Τὸ πιὸ φοβερὸ βέβαια εἶναι ὅτι τὰ τόσα καὶ τέτοια κακὰ οὔτε καὶ τώρα βρῆκαν λύση καὶ οὔτε διαφαίνεται ἐλπίδα λύσεως. Καὶ τὸ κακὸ καθημερινὰ ἐπεκτείνεται καὶ γίναμε περίγελως τῶν πολλῶν, ἢ μᾶλλον δὲ γελᾶ κανείς, ἔστω κι' ἂν εἶναι μύριες φορὲς παράνομος, ἀλλὰ κλαῖνε ὅλοι, ὅπως εἶπα, τὸ ἀποκορύφωμα τῶν κακῶν, τὴν καινούργια αὐτὴ παρανομία.

Τί θὰ μποροῦσε ὅμως νὰ πεῖ κανεὶς καὶ γιὰ τὶς ταραχὲς τῶν ἄλλων Ἐκκλησιῶν; Γιατί δὲ σταμάτησε ἐδῶ τὸ κακό, ἀλλὰ ἔφτασε μέχρι τὴν ἀνατολή. Γιατὶ ὅπως, ὅταν ἀπὸ τὸ κεφάλι ξεχυθεῖ ἕνας κακὸς χυμός, διαφθείρονται καὶ ὅλα τὰ ἄλλα μέρη τοῦ σώματος,

6. Πρόκειται γιὰ τὴ γιορτὴ τοῦ Πάσχα τοῦ ἔτους 404 μ.Χ.

πόλεως τῶν κακῶν ἀρξαμένων, ὁδῷ τὰ τῶν θορύβων πανταχοῦ προέβη, καὶ κλῆροι πανταχοῦ ἐπανέστησαν ἐπισκόποις, καὶ ἐπίσκοποι ἐπισκόπων, καὶ λαοὶ μὲν λαῶν διεσχίσθησαν, οἱ δὲ μέλλουσι, καὶ πανταχοῦ τῶν κακῶν ὠδῖνες, καὶ τῆς οἰκουμένης ἁπάσης ἀνατροπή.

Μαθόντες τοίνυν ἅπαντα, κύριοί μου τιμιώτατοι καὶ εὐλαβέστατοι, τὴν προσήκουσαν ὑμῖν ἀνδρείαν καὶ σπουδὴν ἐπιδείξασθε, ὥστε παρανομίαν τοσαύτην ἐπεισελθοῦσαν ταῖς Ἐκκλησίαις ἀναστεῖλαι. Εἰ γαρ τοῦτο κρατήσειε τὸ ἔθος καὶ ἐξὸν γένηται τοῖς βουλομένοις εἰς τὰς ἀλλοτρίας ἀπιέναι παροικίας ἐκ τοσούτων διαστημάτων καὶ ἐκβάλλειν οὓς ἂν ἐθέλοι τις, κατ᾿ ἐξουσίαν ἰδίαν πράτειν, ἅπερ ἂν ἐθέλωσιν, ἴστε ὅτι πάντα οἰχήσεται, καὶ πόλεμός τις ἀκήρυκτος πᾶσαν ἐπιδραμεῖται τὴν οἰκουμένην, πάντων πάντα βαλλόντων καὶ βαλλομένων.

Ἵνα οὖν μὴ τοσαύτη σύγχυσις καταλάβῃ τὴν ὑφ᾿ ἥλιον πᾶσαν, ἐπιστεῖλαι παρακλήθητε τὰ μὲν οὕτω παρανόμως γεγενημένα ἀπόντων ἡμῶν, καὶ ἐκ μιᾶς μοίρας, καὶ οὐ παραιτησαμένων κρίσιν, μηδεμίαν ἔχειν ἰσχύν, ὥσπερ οὖν οὐδὲ ἔχει τῇ οἰκείᾳ φύσει· τοὺς δὲ τοιαῦτα παρανομήσαντας ἐλεγχομένους τῷ ἐπιτιμίῳ ὑποβάλλεσθαι τῶν ἐκκλησιαστικῶν νόμων, ἡμᾶς δὲ τοὺς οὐχ ἁλόντας, οὐκ ἐλεγχομένους, οὐκ ἀποδειχθέντας ὑπευθύνους, τῶν γραμμάτων τῶν ὑμετέρων δότε ἀπολαύειν συνεχῶς, καὶ τῆς ἀγάπης καὶ πάντων τῶν ἄλλων, ὧνπερ καὶ ἔμπροσθεν.

Εἰ δὲ βούλοιντο καὶ νῦν οἱ τὰ τοιαῦτα παρανομήσαντες ἐγκλήματα γυμνάζειν, ἐφ᾿ οἷς ἡμᾶς ἀδίκως ἐξέβαλον, ὑπομνημάτων ἡμῖν οὐ δοθέντων, οὐ λιβέλλων, οὐ κατηγόρων φανέντων, δικαστηρίου καθίσαντος ἀδεκάστου, καὶ δικασόμεθα καὶ ἀπολογησόμεθα καὶ ἀποδείξομεν ἑαυτοὺς ἀνευθύνους τῶν ἐπαγομένων ἡμῖν, ὥσπερ οὖν καὶ ἐσμέν· τὰ γὰρ νῦν γεγενημένα παρ᾿ αὐτῶν πάσης ἐκτός ἐστιν ἀκολουθίας καὶ παντὸς νόμου καὶ κανόνος ἐκκλησιαστικοῦ. Καὶ τί λέγω κανόνος ἐκκλησιαστικοῦ; Οὐδὲ ἐν τοῖς ἔξω μὲν οὖν δικαστηρίοις τοιαῦτα ἐτολμήθη ποτέ, μᾶλλον δὲ οὐδὲ ἐν βαρβαρικῷ δικα-

ἔτσι καὶ τώρα τὰ κακὰ ποὺ ἄρχισαν ἀπὸ τὴ μεγάλη αὐτὴ πόλη, ὡσὰν ἀπὸ πηγή, προχώρησαν στὴ συνέχεια οἱ ταραχὲς παντοῦ, καὶ ἐπαναστάτησαν παντοῦ οἱ κληρικοὶ ἐναντίον τῶν ἐπισκόπων, καὶ ἄλλοι βέβαια ἐπίσκοποι χωρίστηκαν ἀπὸ ἐπισκόπους καὶ λαϊκοὶ ἀπὸ λαϊκούς, ἐνῶ ἄλλοι πρόκειται νὰ χωρισθοῦν, καὶ παντοῦ εἶναι ἐμφανεῖς οἱ ὀξεῖς πόνοι τῶν κακῶν καὶ ἡ ἀνατροπὴ ὁλόκληρης τῆς οἰκουμένης.

Ἀφοῦ τὰ μάθατε λοιπὸν ὅλα, κύριοί μου ἐντιμότατοι καὶ εὐλαβέστατοι, δείξετε τὴν ταιριαστὴ σὲ σᾶς ἀνδρεία καὶ βιασύνη, ὥστε νὰ ἀνακόψετε τὴν τόσο μεγάλη παρανομία ποὺ ἐμφιλοχώρησε στὶς Ἐκκλησίες. Διότι, ἂν ἐπικρατήσει αὐτὴ ἡ συνήθεια καὶ ἐπιτραπεῖ σὲ ὅσους θέλουν νὰ μεταβαίνουν στὶς ξένες ἐπαρχίες ἀπὸ τόσο μεγάλη ἀπόσταση καὶ νὰ διώχνει ὅποιους θέλει ὁ καθένας, νὰ κάνουν αὐθαίρετα ὅ,τι θέλουν, γνωρίζετε ὅτι ὅλα θὰ χαθοῦν καὶ ἕνας ἀκήρυκτος πόλεμος θὰ ἁπλωθεῖ στὴν οἰκουμένη, καθὼς ὅλοι θὰ βάλλουν ἐναντίον ὅλων καὶ θὰ βάλλονται ἀπὸ ὅλους.

Γιὰ νὰ μὴ καταλάβει λοιπὸν τόση σύγχυση ὁλόκληρη τὴν ὑφήλιο, γράψετε, παρακαλῶ, ὅτι, ὅσα ἔγιναν ἔτσι παράνομα, ἐνῶ ἐγὼ ἀπουσίαζα, καὶ ἀπὸ μία μόνο πλευρά, χωρὶς ἐγὼ νὰ παραιτηθῶ ἀπὸ τὴν κρίση, δὲν ἔχουν καμμιὰ ἰσχύ, ὅπως καὶ δὲν ἔχουν ἀπὸ τὴ φύση τους. Ἐκεῖνοι πάλι ποὺ ἔκαναν ὅλα αὐτά, ἀφοῦ ἐλεγχθοῦν, νὰ ὑποβληθοῦν στὰ ἐπιτίμια ποὺ προβλέπουν οἱ ἐκκλησιαστικοὶ νόμοι. Ἐγὼ τέλος ποὺ δὲν συνελήφθηκα νὰ παρανομῶ, ποὺ δὲν ἐλέγθηκα καὶ δὲν ἀποδείχθηκα ἔνοχος, δῶστε μου τὴ χαρὰ νὰ δέχομαι συνεχῶς τὰ γράμματά σας καὶ τὴν ἀγάπη σας καὶ ὅλα τὰ ἄλλα ὅπως καὶ πρίν.

Ἐὰν πάλι θέλουν καὶ τώρα αὐτοὶ ποὺ προκάλεσαν αὐτὰ τὰ ἐγκλήματα νὰ μὲ δικάσουν, γιὰ ὅσα ἄδικα μὲ ἔδιωξαν, χωρὶς νὰ μοῦ δοθοῦν ὑπομνήματα οὔτε λίβελλοι καὶ χωρὶς νὰ ἐμφανισθοῦν κατήγοροι, ἀφοῦ ἐγκατασταθεῖ δικαστήριο καὶ θὰ δικαστῶ καὶ θὰ ἀπολογηθῶ καὶ θὰ ἀποδείξω ὅτι εἶμαι ἀνεύθυνος αὐτῶν ποὺ μοῦ προσάπτουν, ὅπως καὶ πραγματικὰ εἶμαι. Διότι ὅσα τώρα ἔχουν κάνει αὐτοὶ εἶναι ἔξω ἀπὸ κάθε συνήθεια καὶ κάθε νόμο καὶ κανόνα ἐκκλησιαστικό. Ἀλλὰ γιατί λέω ἔξω ἀπὸ κάθε κανόνα ἐκκλησιαστικό; Οὔτε στὰ κοσμικὰ δικαστήρια ἔγιναν ποτὲ τέτοια, ἢ μᾶλλον οὔτε

στηρίῳ, οὐδὲ Σκύθαι, οὐδὲ Σαυρομάται οὕτως ἄν ποτε ἐδίκασαν ἐκ μιᾶς μοίρας κρίναντες, ἀπόντος τοῦ αἰτιωμένου, παραιτουμένου οὐ κρίσιν, ἀλλ' ἀπέχθειαν, καλοῦντος δικαστὰς μυρίους, ἀνεύθυνον ἑαυτὸν εἶναι λέγοντος, καὶ τῆς οἰκουμένης παρούσης ἀποδύσασθαι τὰς αἰτίας καὶ δεῖξαι ἑαυτὸν ἐν ἅπασιν ἀθῶον ὄντα.

Ταῦτα οὖν πάντα λογισάμενοι καὶ παρὰ τῶν κυρίων μου τῶν εὐλαβεστάτων ἀδελφῶν ἡμῶν τῶν ἐπισκόπων σαφέστερον ἅπαντα μαθόντες, τὴν παρ' ἑαυτῶν ἡμῖν εἰσενεγκεῖν σπουδὴν παρακλήθητε. Οὕτω γὰρ οὐχ ἡμῖν μόνοις χαριεῖσθε, ἀλλὰ καὶ τῷ κοινῷ τῶν Ἐκκλησιῶν, καὶ τὸν παρὰ τοῦ Θεοῦ λήψεσθε μισθόν, τοῦ διὰ τὴν τῶν Ἐκκλησιῶν εἰρήνην πάντα ποιοῦντος.

Διηνεκῶς ἐρρωμένος ὑπερεύχου μου, δέσποτα τιμιώτατε καὶ ὁσιώτατε.

σὲ βαρβαρικὸ δικαστήριο, οὔτε οἱ Σκύθες[7], οὔτε οἱ Σαυρομάτες[8] δίκασαν ἔτσι, κρίνοντας μονόπλευρα, μὲ ἀπόντα τὸν κατηγορούμενο, ὁ ὁποῖος δὲν ἀποφεύγει τὴ δίκη, ἀλλὰ τὸ μίσος, καὶ ἐπικαλεῖται μυρίους δικαστές, ἰσχυριζόμενος ὅτι εἶναι ἀθῶος καὶ ὅτι μὲ τὴν παρουσία ὁλόκληρης τῆς οἰκουμένης θὰ ἀπορρίψει τὶς κατηγορίες καὶ θὰ δείξει ὅτι εἶναι σὲ ὅλα ἀθῶος.

Ἀφοῦ λοιπὸν ἀναλογισθεῖτε ὅλα αὐτὰ καὶ πληροφορηθεῖτε ἀπὸ τοὺς κυρίους μου, τοὺς εὐλαβέστατους ἀδελφούς μου, τοὺς ἐπισκόπους, μὲ περισσότερη σαφήνεια ὅλα, παρακαλεῖσθε νὰ δείξετε τὸ ἐνδιαφέρον σας γιὰ μένα. Διότι ἔτσι ὄχι μόνο ἐμένα θὰ ἀπαλλάξετε ἀπὸ τὴν κατηγορία, ἀλλὰ καὶ τὸ πλήρωμα τῶν Ἐκκλησιῶν, καὶ θὰ λάβετε τὴν ἀμοιβή σας ἀπὸ τὸν Θεό, ὁ ὁποῖος κάνει τὰ πάντα γιὰ τὴν εἰρήνευση τῶν Ἐκκλησιῶν.

Νὰ εἶσθε παντοτινὰ ὑγιὴς καὶ νὰ προσεύχεσθε γιὰ μένα, δέσποτα ἐντιμότατε καὶ εὐσεβέστατε.

---

7. Ἀρχαῖος λαὸς ποὺ κατοικοῦσε στὶς ἀκτὲς τῆς Μαύρης θάλασσας, προερχόμενος ἀπὸ ἐπιμιξία μογγολικῶν καὶ ἰνδοευρωπαϊκῶν φυλῶν. Ζοῦσαν κατὰ κανόνα νομαδικὴ ζωή, μεταφερόμενοι μὲ ἅμαξες ἀπὸ τόπο σὲ τόπο καὶ ἦταν λαὸς πολεμικός.

8. Πρόκειται κατὰ πᾶσαν πιθανότητα γιὰ τοὺς Σαρμάτες, ποὺ κατοικοῦσαν βόρεια τοῦ Καυκάσου καὶ ἦταν, ὅπως καὶ οἱ Σκύθες, λαὸς πολεμικός. Ὡστόσο ὑποτάχτηκαν ἀπὸ τοὺς Οὔννους καὶ ἀργότερα ὑπηρέτησαν ὡς μισθοφόροι στὸ Βυζάντιο. Ὁ τύπος «Σαυρομάτες», μὲ τὸν ὁποῖο τοὺς ἀναφέρει ἐδῶ ὁ ἱερὸς Χρυσόστομος, ἴσως ὀφείλεται σὲ παρετυμολογία τοῦ ὀνόματός τους, πρᾶγμα ποὺ σημαίνει ὅτι ἦταν λαὸς μογγολικῆς καὶ αὐτὸς καταγωγῆς (ποὺ εἶχε μάτια σαύρας).

ΙΝΝΟΚΕΝΤΙΩι ΕΠΙΣΚΟΠΩι ΡΩΜΗΣ

Ἰωάννης ἐν Κυρίῳ χαίρειν

Τὸ μὲν σῶμα ἡμῖν ἐν ἑνὶ ἵδρυται χωρίῳ, τῆς δὲ ἀγάπης τὸ πτερὸν πανταχοῦ τῆς οἰκουμένης περιίπταται. Ὅταν καὶ ἡμεῖς ὁδοῦ τοσούτῳ διῳκισμένοι μήκει, πλησίον τῆς εὐλαβείας ὑμῶν ἐσμεν καὶ καθ' ἑκάστην ὑμῖν συγγινόμεθα τὴν ἡμέραν, ὀφθαλμοῖς τοῖς ἐκείνης βλέποντες ὑμῶν τὴν ἀνδρείαν τῆς ψυχῆς, τὸ γνήσιον τῆς διαθέσεως, τὸ στερρόν, τὸ ἀπερίτρεπτον, τὴν πολλὴν ὑμῶν παράκλησιν καὶ διαρκῆ καὶ μόνιμον. Ὅσῳ γὰρ τὰ τῶν κυμάτων ἐπὶ πλεῖον αἴρεται καὶ πλείους ὕφαλοι καὶ σπιλάδες φύονται καὶ πολλαὶ αἱ καταιγίδες, τοσούτῳ καὶ τὰ τῆς ἀγρυπνίας αὔξει τὰ τῆς ὑμετέρας· καὶ οὐχ ὁδοῦ μῆκος τοσοῦτον, οὐ χρόνου πλῆθος, οὐ δυσκολία πραγμάτων ὑπτίους γενέσθαι ὑμᾶς παρεσκεύασεν, ἀλλὰ μένετε μιμούμενοι τοὺς ἀρίστους τῶν κυβερνητῶν οἳ τότε μάλιστα διεγείρονται, ὅταν ἴδωσι τὰ κύματα κορυφούμενα, τὴν θάλατταν ἐπὶ μεῖζον φερομένην, πολὺν τῶν ὑδάτων τὸν πάταγον, βαθυτάτην ἐν ἡμέρᾳ νύκτα. Διὸ καὶ χάριτας ὑμῖν ἴσμεν πολλὰς καὶ ἐπιθυμοῦμεν καὶ νιφάδας ὑμῖν πέμπειν γραμμάτων, ἡμῖν αὐτοῖς τὰ μέγιστα χαριζόμενοι.

Ἀλλ' ἐπειδὴ τοῦτο ἀφῃρήμεθα παρὰ τῆς τοῦ τόπου ἐρημίας (οὐδὲ γὰρ μόνον τῶν ἐκεῖσε ἀφικνουμένων, ἀλλ' οὐδὲ τῶν ἐν τῇ καθ' ἡμᾶς οἰκουμένῃ διατριβόντων, δύναιτ' ἄν τις ῥᾳδίως ἡμῖν συγγενέσθαι, διά τε τὸ πόρρω καὶ πρὸς αὐτὰς τὰς ἐσχατιὰς κεῖσθαι

---

1. Ἡ δεύτερη αὐτὴ ἐπιστολὴ τοῦ ἱ. Χρυσοστόμου πρὸς τὸν ἐπίσκοπο τῆς Ρώμης στάλθηκε ἀπὸ τὸν τόπο τῆς ἐξορίας τοῦ ἱεροῦ πατρὸς κατὰ τὰ τέλη τοῦ ἔτους

ΣΤΟΝ ΙΝΝΟΚΕΝΤΙΟ, ΤΟΝ ΕΠΙΣΚΟΠΟ ΡΩΜΗΣ,

Ἐγὼ ὁ Ἰωάννης εὔχομαι χαρὰ στὸ ὄνομα τοῦ Κυρίου[1].

Τὸ σῶμα μας βέβαια εἶναι ἐγκατεστημένο σὲ ἕνα συγκεκριμένο τόπο, ἐνῶ τὸ φτερὸ τῆς ἀγάπης πετᾶ σ' ὁλόκληρη τὴν οἰκουμένη. Ὅπως καὶ ἐμεῖς πού, ἐνῶ εἴμαστε ἐγκατεστημένοι σὲ τόπο τόσης μεγάλης ἀπόστασης δρόμου, βρισκόμαστε κοντὰ στὴν εὐλάβειά σας καὶ συναντιώμαστε μὲ σᾶς κάθε μέρα, βλέποντας μὲ τὰ μάτια ἐκείνης (τῆς ἀγάπης) τὴν ἀνδρεία τῆς ψυχῆς σας, τὴ γνησιότητα τῆς διαθέσεως, τὴ σταθερότητα, τὸ ἀμετάβλητο, καὶ τὴν πολλὴ καὶ διαρκῆ καὶ μόνιμη παρηγοριά. Διότι ὅσο πιὸ πολὺ ὑψώνονται τὰ κύματα καὶ περισσότεροι ὕφαλοι καὶ παράκτιοι βράχοι ξεφυτρώνουν καὶ πολλὲς οἱ καταιγίδες, τόσο πιὸ πολὺ αὐξάνει καὶ ἡ δική σας ἐπαγρύπνηση. Καὶ οὔτε ἡ τόσο μεγάλη ἀπόσταση τοῦ δρόμου, οὔτε ἡ διάρκεια τοῦ χρόνου, οὔτε ἡ δυσκολία τῶν πραγμάτων σᾶς ἄφησε νὰ μείνετε ἐπαναπαυμένοι, ἀλλὰ μένετε μιμούμενοι τοὺς ἄριστους κυβερνῆτες, οἱ ὁποῖοι τότε κυρίως ἀγρυπνοῦν, ὅταν δοῦν τὰ κύματα νὰ ὑψώνονται, τὴ θάλασσα πολὺ ταραγμένη, τὰ νερὰ νὰ κάνουν δυνατὸ θόρυβο, καὶ βαθειὰ νύχτα κατὰ τὴν διάρκεια τῆς ἡμέρας. Γι' αὐτὸ καὶ σᾶς ὀφείλουμε πολλὲς εὐχαριστίες καὶ θὰ θέλαμε νὰ σᾶς στέλνουμε πυκνὰ γράμματα, γιὰ δική μας περισσότερο εὐχαρίστηση.

'Αλλ' ἐπειδὴ τὸ δικαίωμα αὐτὸ μᾶς ἔχει ἀφαιρεθεῖ ἀπὸ τὴν ἐρημιὰ τῆς τοποθεσίας (γιατὶ ὄχι μόνο ἐκεῖνοι ποὺ ἔρχονται ἀπὸ ἐκεῖ, ἀλλὰ οὔτε καὶ κανεὶς ἀπὸ αὐτοὺς ποὺ ζοῦν ἐδῶ στὴ δική μας χώρα θὰ μποροῦσε εὔκολα νὰ μᾶς ἐπισκεφθεῖ, καὶ ἐξαιτίας τοῦ ὅτι τὸ

---

406 μ.Χ. Βλ. Β. Τζωρτζάτου, *Ἰωάννης ὁ Χρυσόστομος*, σελ. 25.

τὸ χωρίον ἐν ᾧ καθείργμεθα, καὶ διὰ τὸν ληστρικὸν φόβον πᾶσαν ἀποτειχίζοντα τὴν ὁδόν), παρακαλοῦμεν ἐλεεῖν μᾶλλον ἡμᾶς τῆς μακρᾶς σιγῆς, ἢ ῥᾳθυμίαν ἐντεῦθεν καταγινώσκειν ἡμῶν. Ὅτι γὰρ οὐκ ὀλιγωροῦντες ἐσιγήσαμεν, ἐπιλαβόμενοι διὰ πολλοῦ τοῦ χρόνου νῦν τοῦ τιμιωτάτου καὶ ἀγαπητοῦ Ἰωάννου τοῦ πρεσβυτέρου καὶ Παύλου τοῦ διακόνου καὶ γράφομεν καὶ εὐχαριστοῦντες ὑμῖν οὐ διαλιμπάνομεν, ὅτι πατέρας φιλοστόργους ἀπεκρύψατε τῇ περὶ ἡμᾶς εὐνοίᾳ τε καὶ σπουδῇ. Καὶ τὸ μὲν εἰς τὴν εὐλάβειαν ἧκον τὴν ὑμετέραν, τὴν προσήκουσαν διόρθωσιν εἴληφεν ἅπαντα, καὶ ὁ φορυτὸς τῶν κακῶν καὶ τὰ σκάνδαλα ἀνῄρηται, καὶ αἱ Ἐκκλησίαι εἰρήνης ἀπήλαυσαν καὶ λευκῆς γαλήνης, καὶ πάντα κατὰ ῥοῦν φέρεται, καὶ καταφρονηθέντες ἐξεδικήθησαν νόμοι, καὶ θεσμοι πατέρων παραβαθέντες.

Ἐπειδὴ δὲ ἐπὶ τῶν ἔργων αὐτῶν οὐδὲν τούτων γέγονε, τῶν τὰ πρότερα τολμησάντων τοῖς προτέροις ἐπαγωνιζομένων ἔτι παρανομήμασιν, ἅπαντα μὲν τὰ παρ' αὐτῶν μετὰ ταῦτα γεγενημένα καθ' ἕκαστον διηγήσασθαι παρίημι· καὶ γὰρ ἱστορίας ὑπερβαίνει μέτρον, οὐκ ἐπιστολῆς μόνον, ἡ διήγησις· ἐκεῖνο δὲ παρακαλῶ τὴν ἄγρυπνον ὑμῶν ψυχήν, κἂν οἱ πάντα θορύβων ἐμπλήσαντες ἀμετανόητα νοσῶσι καὶ ἀνίατα, αὐτοὺς τοὺς θεραπεῦσαι αὐτὰ ἑλομένους μὴ περικακῆσαι, μηδὲ ἀπαγορεῦσαι, τὸ μέγεθος τοῦ κατορθώματος ἐννοήσαντας. Καὶ γὰρ ὑπὲρ τῆς οἰκουμένης σχεδὸν ἁπάσης ὁ παρὼν υμῖν ἀγὼν πρόκειται, ὑπὲρ Ἐκκλησιῶν εἰς γόνυ κατενεχθεισῶν, ὑπὲρ λαῶν διασπαρέντων, ὑπὲρ κλήρων πολεμουμένων, ὑπὲρ ἐπισκόπων φυγαδευομένων, ὑπὲρ θεσμῶν πατέρων παραβαθέντων. Διὸ καὶ παρακαλοῦμεν ὑμῶν τὴν ἐμμέλειαν, καὶ ἅπαξ καὶ δὶς καὶ πολλάκις, ὅσῳ πλείων ἡ ζάλη, τοσούτῳ πλείονα ἐπιδείξασθαι τὴν σπουδήν. Προσδοκῶμεν γὰρ καὶ ἔσεσθαί τι πλέον εἰς διόρθωσιν.

Εἰ δ' ἄρα μὴ τοῦτο γένοιτο, ἀλλ' ὑμεῖς ἀπηρτισμένον ἔχετε τὸν στέφανον παρὰ τοῦ φιλανθρώπου Θεοῦ καὶ τοῖς ἀδικουμένοις οὐ μικρὰ τοῦτο ἔσται παράκλησις, τῆς ὑμετέρας ἀγάπης ἡ ἔνστασις·

χωριὸ στὸ ὁποῖο εἴμαστε περιορισμένοι βρίσκεται μακριὰ καὶ στὴν ἄκρη σχεδὸν τῆς γῆς, καὶ ἐξαιτίας τοῦ φόβου τῆς ληστείας, ὁ ὁποῖος ἀποκλείει ὁλόκληρο τὸ δρόμο), γι' αὐτὸ σᾶς παρακαλοῦμε νὰ μᾶς συγχωρήσετε γιὰ τὴ μεγάλη σιωπὴ καὶ νὰ μὴ μᾶς καταλογίζετε ὀκνηρία ἐξαιτίας αὐτῆς. Γιατὶ ὅτι δὲν σιωπήσαμε ἀπὸ ἀμέλεια, φαίνεται ἀπὸ τὸ γεγονὸς ὅτι ἐπωφελούμενοι τώρα, ὕστερα ἀπὸ πολὺ χρόνο, τοῦ ἐντιμοτάτου καὶ ἀγαπητοῦ πρεσβυτέρου Ἰωάννου καὶ τοῦ διακόνου Παύλου, καὶ σᾶς γράφουμε καὶ δὲν παραλείπουμε νὰ σᾶς εὐχαριστοῦμε, διότι μᾶς ἀποκρύψατε πατέρες φιλόστοργους, ἀπὸ συμπάθεια καὶ προθυμία γιὰ μᾶς. Καὶ ὅσον ἀφορᾶ βέβαια τὴ δική σας εὐλάβεια ὅλα πῆραν τὴν πρέπουσα διόρθωση· τὰ φρύγανα τῶν κακῶν καὶ τὰ σκάνδαλα καταργήθηκαν, οἱ ἐκκλησίες ἀπολαμβάνουν εἰρήνη καὶ καθαρὴ γαλήνη, ὅλα ρέουν κανονικά, καὶ οἱ νόμοι ποὺ εἶχαν καταφρονηθεῖ ἀποκαταστάθηκαν, καθὼς καὶ οἱ κανόνες τῶν πατέρων ποὺ εἶχαν ἀθετηθεῖ.

Ἐπειδὴ ὅμως σχετικὰ μὲ τὰ πράγματα αὐτὰ δὲν ἔγινε ἐδῶ τίποτε, ἀφοῦ ἐκεῖνοι ποὺ εἶχαν ἐπιχειρήσει τὰ προηγούμενα ἐξακολουθοῦν ἀκόμα νὰ κάνουν τὰ ἴδια παρανομήματα, ὅλα βέβαια ὅσα ἔκαναν στὴ συνέχεια ἀποφεύγω νὰ τὰ ἐξιστορήσω ἕνα ἕνα ξεχωριστά· γιατὶ ἡ διήγησή τους ξεπερνάει τὸ μέτρο ὄχι μόνο μιᾶς ἐπιστολῆς, ἀλλὰ ἱστορίας ὁλόκληρης. Παρακαλῶ ὅμως γιὰ τὸ ἑξῆς τὴν ἄγρυπνη ψυχή σας, ἔστω καὶ ἂν ἐκεῖνοι ποὺ γέμισαν τὰ πάντα μὲ θορύβους νοσοῦν ἀμετανόητα καὶ ἀνίατα· αὐτοὺς ποὺ ἔχουν διάθεση νὰ τὰ θεραπεύσουν αὐτὰ νὰ μὴ τοὺς κακοχαρακτηρίσετε, οὔτε νὰ τοὺς ἀπαγορεύσετε, κατανοώντας τὸ μέγεθος τοῦ ἐγχειρήματος. Γιατὶ ὁ ἀγώνας σας αὐτὸς γίνεται γιὰ ὅλη σχεδὸν τὴν οἰκουμένη, γιὰ ἐκκλησίες ποὺ ἔχουν γονατίσει, γιὰ λαοὺς ποὺ ἔχουν διασπαρεῖ, γιὰ κληρικοὺς ποὺ πολεμοῦνται, γιὰ ἐπισκόπους ποὺ ἔχουν φυγαδευθεῖ, γιὰ θεσμοὺς τῶν πατέρων ποὺ ἔχουν ἀθετηθεῖ. Γι' αὐτὸ καὶ παρακαλοῦμε τὴ χάρη σας καὶ μία καὶ δύο καὶ πολλὲς φορές, ὅσο περισσότερη εἶναι ἡ παραζάλη, τόσο περισσότερη νὰ δείξετε τὴν προθυμία. Διότι περιμένουμε νὰ γίνει κάτι περισσότερο, ὥστε νὰ διορθωθοῦν.

Ἀλλὰ καὶ νὰ μὴ γίνει αὐτό, ἐσεῖς ἔχετε ἤδη ἕτοιμο τὸ στεφάνι ἀπὸ τὸν φιλάνθρωπο Θεό, ἀφοῦ ἡ ἔνσταση τῆς ἀγάπης σας δὲν θὰ εἶναι μικρὴ παρηγοριὰ γιὰ ἐκείνους ποὺ ἀδικοῦνται. Διότι καὶ ἐμᾶς,

ἐπεὶ καὶ ἡμᾶς τρίτον ἔτος τοῦτο ἐν ἐξορίᾳ διατρίβοντας, λιμῷ, λοιμῷ, θανάτῳ καθημερινῷ, μαχαίραις ἰσαυρικαῖς ἐκδεδομένους, οὐχ ὡς ἔτυχε παρακαλεῖ καὶ παραμυθεῖται τὸ διαρκὲς καὶ μόνιμον ὑμῶν τῆς διαθέσεως καὶ τῆς παρρησίας, καὶ τὸ δαψιλεῖ καὶ γνησίᾳ οὕτως ἐντρυφᾶν ὑμῶν τῇ ἀγάπῃ. Τοῦτο ἡμῖν τεῖχος, τοῦτο ἀσφάλεια, τοῦτο λιμὴν ἀκύμαντος, τοῦτο θησαυρὸς μυρίων ἀγαθῶν, τοῦτο εὐφροσύνη καὶ πολλῆς ἡδονῆς ὑπόθεσις. Κἂν εἰς ἐρημότερον τούτου πάλιν ἀπενεχθῶμεν χωρίον, οὐ μικρὰν ταύτην ἔχοντες παράκλησιν τῶν παθημάτων ἡμῶν ἄπιμεν.

ποὺ γιὰ τρίτη τώρα χρονιὰ περνᾶμε στὴν ἐξορία[2] μὲ πείνα, λοιμώδεις ἀσθένειες, πολέμους, συνεχεῖς πολιορκίες, ἀπερίγραπτη ἐρημία, καθημερινὸ θάνατο, καὶ παραδινόμαστε στὰ μαχαίρια τῶν Ἰσαύρων, δὲν μᾶς παρηγορεῖ καὶ μᾶς ἐνθαρρύνει τυχαῖα ἡ διαρκὴς καὶ μόνιμη διάθεση καὶ παρρησία σας καὶ ἡ σκέψη ὅτι ἔτσι ἀπολαμβάνουμε πλούσια καὶ γνήσια τὴν ἀγάπη σας. Αὐτὸ γιὰ μᾶς εἶναι τεῖχος, εἶναι ἀσφάλεια, εἶναι λιμάνι γαλήνιο, εἶναι θησαυροφυλάκιο μυρίων ἀγαθῶν, εἶναι εὐφροσύνη καὶ ἀφορμὴ πολλῆς εὐχαρίστησης. Καὶ ἂν μεταφερθοῦμε ξανὰ σὲ πιὸ ἔρημο ἀπὸ αὐτὸ τὸ χωριό, θὰ μεταβοῦμε ἔχοντας ὄχι μικρὴ παρηγοριὰ στὰ παθήματά μας.

---

2. Μαρτυρία γιὰ τὸ χρόνο ἀποστολῆς τῆς δευτέρας αὐτῆς ἐπιστολῆς πρὸς τὸν ἐπίσκοπο Ρώμης Ἰννοκέντιο, ποὺ ὅπως ἀναφέρουμε καὶ στὴν εἰσαγωγή, στάλθηκε τὸ 406 μ.Χ. ἀπὸ τὸν τόπο τῆς ἐξορίας τοῦ Χρυσοστόμου.

ΤΩ ΑΓΑΠΗΤΩι ΑΔΕΛΦΩι ΙΩΑΝΝΗι,
ΙΝΝΟΚΕΝΤΙΟΣ

Εἰ καὶ πάντα δεῖ τὸν ἀναίτιον προσδοκᾶν τὰ χρηστὰ καὶ παρὰ τοῦ Θεοῦ τὸν ἔλεον αἰτεῖν, ὅμως καὶ παρ' ἡμῶν τὴν ἀνεξικακίαν συμβουλευόντων τὰ καθήκοντα· γράμματα διὰ Κυριακοῦ τοῦ διακόνου ἐξαπέσταλται, ὥστε μὴ πλέον δυνηθῆναι τὴν ὕβριν ἐν τῷ συντρίβειν, ἢ τὸ ἀγαθὸν συνειδὸς ἐν τῷ ἐλπίζειν. Οὐδὲ γὰρ ὀφείλεις διδαχθῆναι, ὁ τοσούτων λαῶν διδάσκαλος καὶ ποιμήν, τοὺς ἀρίστους ἀεὶ καὶ πολλάκις δοκιμάζεσθαι, εἰ ἐν τῇ ἀκμῇ τῆς ὑπομονῆς παραμένουσι καὶ οὐδενὶ πόνῳ κακοπαθείας ὑποπίπτουσι· καὶ ἔστιν ὡς ἀληθῶς βέβαιον πρᾶγμα τὸ συνειδὸς εἰς πάντα τὰ ἀδίκως συμπίπτοντα ἅπερ εἰ μὴ νικήσειέ τις ὑπομένων, τεκμήριον φαύλης ὑπολήψεως ἐκφέρει. Πάντα γὰρ ὑπομένειν ὀφείλει ὁ τῷ Θεῷ πρῶτον, εἶτα καὶ τῷ ἰδίῳ πεποιθὼς συνειδότι· ὁπότε μάλιστα γυμνάζεσθαι εἰς ὑπομονὴν ὁ καλὸς καὶ ἀγαθὸς δύναται, νικᾶσθαι δὲ οὐκ, ἐπειδήπερ αὐτοῦ τὴν διάνοιαν αἱ θεῖαι Γραφαὶ φυλάττουσι καὶ περιττεύουσιν ὑποδείγαμσιν αἱ θεῖαι ἀναγνώσεις, ἃς τοῖς λαοῖς παραδιδόαμεν, αἵτινες πάντας σχεδὸν τοὺς ἁγίους κταπεπονῆσθαι διαφόρως καὶ συνεχῶς ἐπιστώσαντο καὶ δοκιμάζεσθαι καθάπερ ἔν τινι διαγνώσει, οὕτω τε εἰς τὸν στέφανον τῆς ὑπομονῆς ἐληλυθέναι.

Παραμυθείτω τὴν ἀγάπην σου αὐτὸ τὸ συνειδός, ἀδελφὲ τιμιώτατε, ὅπερ ἐν ταῖς θλίψεσιν ἔχει τὴν παραμυθίαν τῆς ἀρετῆς. Ἐποπτεύοντος γὰρ τοῦ Δεσπότου Χριστοῦ, ἐν τῷ λιμένι τῆς εἰρήνης καθαρισθεῖσα ἡ συνείδησις στήσεται.

---

1. Ἡ ἐπιστολὴ αὐτὴ τοῦ Ἰννοκεντίου πρὸς τὸν ἱερὸ Χρυσόστομο, καθὼς καὶ ἡ ἑπομένη, ποὺ ἀπευθύνεται πρὸς ὁλόκληρο τὸν κλῆρο καὶ τὸν λαὸ τῆς Κωνσταντι-

ΣΤΟΝ ΑΓΑΠΗΤΟ ΑΔΕΛΦΟ ΙΩΑΝΝΗ
ΙΝΝΟΚΕΝΤΙΟΣ[1]

Ἂν καὶ ὁ ἀναίτιος πρέπει νὰ περιμένει ὅλα τὰ καλὰ καὶ νὰ ζητεῖ ἀπὸ τὸ Θεὸ τὴν εὐσπλαγχνία, ὅμως καὶ ἀπὸ ἐμένα ἔχουν σταλεῖ τὰ γράμματα ποὺ ἁρμόζουν στὴν περίσταση μὲ τὸ διάκονο Κυριακό, τὰ ὁποῖα συμβουλεύουν τὴν ἀνεξικακία, ὥστε νὰ μὴ μπορεῖ πιὰ ἡ αὐθάδεια νὰ συντρίβει, ἀλλὰ ἡ ἀγαθὴ συνείδηση νὰ ἐλπίζει. Οὔτε βέβαια χρειάζεσαι νὰ διδαχθεῖς, σὺ ὁ δάσκαλος καὶ ποιμένας τόσου πλήθους, ὅτι οἱ ἄριστοι πάντοτε καὶ πολλὲς φορὲς δοκιμάζονται, ἔστω καὶ ἂν παραμένουν στὴν ἀκμὴ τῆς ὑπομονῆς καὶ δὲν ὑποκύπτουν σὲ κανένα πόνο κακοπάθειας. Καὶ εἶναι πράγματι σίγουρο πρᾶγμα ἡ συνείδηση γιὰ ὅλα ὅσα συμβαίνουν ἄδικα, τὰ ὁποῖα, ἂν δὲ τὰ νικήσει κανεὶς ὑπομένοντας, δίνει δεῖγμα κακοῦ χαρακτῆρα. Διότι ὅλα πρέπει νὰ τὰ ὑπομένει ἐκεῖνος ποὺ ἔχει πεποίθηση πρῶτα στὸ Θεὸ καὶ ἔπειτα στὴ δική του συνείδηση· ὅταν μάλιστα μπορεῖ νὰ γυμνάζεται στὴν ὑπομονὴ ὁ καλὸς καὶ ἀγαθὸς καὶ νὰ μὴ καταβάλλεται, γιατὶ προφυλάσσουν τὴ σκέψη του οἱ θεῖες Γραφές. Καὶ εἶναι γεμάτα ὑποδείγματα τὰ ἱερὰ κείμενα, ποὺ διδάσκουμε στοὺς λαϊκούς, τὰ ὁποῖα βεβαιώνουν ὅτι ὅλοι σχεδὸν οἱ ἅγιοι ἔχουν κατὰ διαφορετικὸ τρόπο καὶ κατ' ἐξακολούθηση καταπονηθεῖ καὶ δοκιμασθεῖ, σὰν σὲ κάποια ἐξέταση, καὶ ἔτσι ἔφθασαν νὰ πάρουν τὸ στεφάνι τῆς ὑπομονῆς.

Ας παρηγορεῖ τὴν ἀγάπη σου αὐτὴ ἡ συνείδηση, ἐντιμότατε ἀδελφέ, ἡ ὁποία μέσα στὶς θλίψεις ἔχει τὴν παρηγοριὰ τῆς ἀρετῆς. Διότι μὲ τὴν ἐποπτεία τοῦ Δεσπότη Χριστοῦ, ἀφοῦ καθαρισθεῖ ἡ συνείδηση, θὰ σταθεῖ στὸ λιμάνι τῆς εἰρήνης.

νουπόλεως, παρατίθενται στὴν ἔκδοση τοῦ Migne (P.G. 52,537) σὲ μετάφραση ἀπὸ τὸ λατινικὸ πρωτότυπο.

ΙΝΝΟΚΕΝΤΙΟΣ ΕΠΙΣΚΟΠΟΣ

Πρεσβυτέροις καὶ διακόνοις καὶ παντὶ τῷ κλήρῳ καὶ τῷ λαῷ τῆς Κωνσταντινουπόλεως Ἐκκλησίας, τοῖς ὑπὸ τὸν ἐπίσκοπον Ἰωάννην, ἀγαπητοῖς ἀδελφοῖς, χαίρειν.

Ἐκ τῶν γραμμάτων τῆς ὑμετέρας ἀγάπης, ἅτινα διὰ Γερμανοῦ τοῦ πρεσβυτέρου καὶ Κασιανοῦ τοῦ διακόνου ἀπεστάλκατε, τὴν σκηνὴν τῶν κακῶν, ἣν πρὸ τῶν ὀφθαλμῶν ἐθήκατε, ἐμμερίμνῳ φροντίδι κατέμαθον, ὅσαις τε ἡ πίστις κάμνει ταλαιπωρίαις τε καὶ πόνοις, ἐπαναληφθείσῃ πολλάκις τῇ ἀναγνώσει κατεῖδον, ὅπερ πρᾶγμα μόνη ἡ παράκλησις τῆς ὑπομονῆς ἰᾶται· δώσει γὰρ ἐν τάχει ὁ ἡμέτερος Θεὸς ταῖς τοσαύταις θλίψεσι τέλος καὶ ταῦτα συνοίσει ὑπενηνοχέναι. Ἀλλὰ γὰρ αὐτὴν τὴν ἀναγκαίαν παράκλησιν, ἐν ἀρχῇ τῆς ἐπιστολῆς τῆς ὑμετέρας ἀγάπης κειμένην, ἐγκωμιάζοντες ὑμῶν τὴν πρόθεσιν ἐπεγνώκαμεν, πολλὰς πρὸς τὸ ὑπομένειν μαρτυρίας περιέχουσαν· τὴν γὰρ ἡμετέραν πράκλησιν, ἣν ὀφείλομεν ὑμῖν ἐπιστεῖλαι, τοῖς ὑμετέροις γράμμασι προεφθάσατε. Ταύτην γὰρ τοῖς κάμνουσιν ὁ ἡμέτερος Δεσπότης ὑπομονὴν παρέχειν εἴωθεν, ἵνα καὶ ἐν ταῖς θλίψεσι τυγχάνοντες, ἑαυτοὺς οἱ τοῦ Χριστοῦ δοῦλοι παραμυθῶνται, ἀναλογιζόμενοι ἐν ἑαυτοῖς, καὶ πρότερον γεγενῆσθαι τοῖς ἁγίοις, ἅπερ αὐτοὶ πάσχουσι.

Καὶ ἡμεῖς δὲ ἐξ αὐτῶν τῶν ὑμετέρων γραμμάτων δυνάμεθα ἡμῖν προσενέγκαι παράκλησιν· οὐ γὰρ τοῦ συναλγεῖν ὑμῖν ἐσμεν ἀλλότριοι, ἐπειδήπερ καὶ ἡμεῖς κολαζόμεθα ἐν ὑμῖν. Τίς γὰρ ἐνέγκαι δυνήσεται τὰ ἐξαμαρτανόμενα ὑπ᾽ ἐκείνων, οὕστινας ἐχρῆν μάλιστα τοῦ γαληνοῦ τῆς εἰρήνης καὶ αὐτῆς σπουδαστὰς εἶναι τῆς ὁμονοίας; Νῦν ἐνηλλαγμένῳ τρόπῳ ἀπὸ τῆς προεδρίας τῶν ἰδίων Ἐκκλησιῶν ἐξωθοῦνται ἀθῶοι ἱερεῖς, ὃ δὴ καὶ πρῶτος ὁ ἀδελφὸς

Ο ΕΠΙΣΚΟΠΟΣ ΙΝΝΟΚΕΝΤΙΟΣ

Πρὸς τοὺς πρεσβυτέρους καὶ διακόνους καὶ πρὸς ὁλόκληρο τὸν κλῆρο καὶ τὸ λαὸ τῆς Ἐκκλησίας τῆς Κωνσταντινουπόλεως, ποὺ βρίσκονται ὑπὸ τὸν ἐπίσκοπον Ἰωάννην, ἀγαπητοὺς ἀδελφούς, εὔχομαι νὰ χαίρουν.

Ἀπὸ τὰ γράμματα τῆς ἀγάπης σας, τὰ ὁποῖα στείλατε μὲ τὸν πρεσβύτερο Γερμανὸ καὶ τὸν διάκονο Κασιανό, μὲ ἰδιαίτερη φροντίδα ἔμαθα καλὰ τὴν ἐκδίπλωση τῶν κακῶν, τὴν ὁποία θέσατε πρὸ τῶν ὀφθαλμῶν μου, καὶ εἶδα καθαρά, ἐπαναλαμβάνοντας τὴν ἀνάγνωση πολλὲς φορές, σὲ πόσες ταλαιπωρίες καὶ πόνους ὑποβάλλει ἡ πίστη, πρᾶγμα ποὺ μόνη ἡ παρηγοριὰ τῆς ὑπομονῆς θεραπεύει. Εἴθε ὁ Θεός μας νὰ δώσει σύντομα τέλος στὶς τόσο πολλὲς θλίψεις, καὶ θὰ σᾶς ὠφελήσουν ὅσα ὑπομένετε. Ἀλλὰ αὐτὴ τὴν ἀπαραίτητη παρηγοριὰ τὴ διακρίναμε στὴν ἀρχὴ τῆς ἐπιστολῆς τῆς ἀγάπης σας, καὶ σᾶς ἐπαινοῦμε γιὰ τὴν πρόθεσή σας, περιέχει δὲ πολλὲς μαρτυρίες γιὰ τὴν ὑπομονή. Ἑπομένως τὴ δική μας παρηγοριά, τὴν ὁποία ὀφείλαμε νὰ γράψουμε σὲ σᾶς, τὴν προλάβατε μὲ τὰ δικά σας γράμματα. Γιατὶ αὐτὴ τὴν ὑπομονὴ συνηθίζει νὰ δίνει σὲ ὅσους ὑποφέρουν ὁ Δεσπότης μας, γιὰ νὰ παρηγοροῦν τοὺς ἑαυτούς τους οἱ δοῦλοι τοῦ Χριστοῦ, ὅταν βρίσκονται σὲ θλίψεις, ἀναλογιζόμενοι μέσα τους ὅτι καὶ παλαιότερα συνέβαιναν στοὺς ἁγίους αὐτὰ τὰ ὁποῖα ὑποφέρουν αὐτοί.

Καὶ ἐμεῖς λοιπὸν ἀπὸ τὰ ἴδια τὰ γράμματά σας μποροῦμε νὰ σᾶς προσφέρουμε παρηγοριά, γιατὶ δὲν εἴμαστε ξένοι στὸ νὰ συμπονοῦμε μαζί σας, ἐπειδὴ καὶ ἐμεῖς τιμωρούμαστε μὲ σᾶς. Γιατὶ ποιός θὰ μπορέσει νὰ ὑποφέρει ὅσα σφαλερὰ γίνονται ἀπὸ ἐκείνους, ποὺ θὰ ἔπρεπε κυρίως νὰ εἶναι σπουδαστὲς τῆς ἡσυχίας τῆς εἰρήνης καὶ τῆς ἴδιας τῆς ὁμόνοιας; Τώρα μὲ διαφορετικὸ τρόπο ἀπομακρύνονται ἀπὸ τὴν προεδρία τῶν ἐκκλησιῶν τους ἀθῶοι ἱερεῖς, πρᾶγμα ποὺ πρῶτος ἔπαθε ἄδικα ὁ ἀδελφός μας καὶ συλλει-

ἡμῶν καὶ συλλειτουργὸς Ἰωάννης ὁ ὑμέτερος ἐπίσκοπος ἀδίκως πέπονθε, μηδεμιᾶς τυχὼν ἀκροάσεως· οὐδὲν ἔγκλημα ἐπιφέρεται, οὐδ' εἰσακούεται. Καὶ τίς ἡ ἀπηγορευμένη ἐπίνοια; Ἵνα μὴ πρόφασις κρίσεως γένηται ἢ ζητηθῇ, εἰς τόπους ζώντων ἱερέων ἄλλοι ἀποκαθίστανται, ὡς δυναμένων τῶν ἐκ τοιούτου πλημμελήματος ὁρμωμένων, ὀρθῶς τι εχειν ἢ πεπρᾶχθαι, ὑπό τινος κριθῆναι. Οὐδὲ γὰρ πώποτε παρὰ τῶν πατέρων τῶν ἡμετέρων τοιαῦτα τετολμῆσθαι ἐγνώκαμεν, ἀλλὰ μᾶλλον κεκωλῦσθαι τῷ μηδενὶ εἰς τόπον ζῶντος χειροτονεῖν ἄλλον δεδόσθαι ἐξουσίαν. Οὐ γὰρ χειροτονία ἀδόκιμος τὴν τιμὴν δύναται ἀφελέσθαι τοῦ ἱερέως ἐπειδήπερ οὐδὲ ἐπίσκοπος δύναται εἶναι ἐκεῖνος, ὃς ἀδίκως ὑποκαθίσταται. Ὅ τι καὶ περὶ τῆς τῶν κανόνων παραφυλακῆς, τούτοις δεῖν ἕπεσθαι γράφομεν, οἵτινες ἐν Νικαίᾳ εἰσὶν ὡρισμένοι, οἷς μόνοις ὀφείλει ἐξακολουθεῖν ἡ καθολικὴ Ἐκκλησία, καὶ τούτους γνωρίζειν.

Εἰ δὲ ἕτεροι ὑπό τινων προφέρονται, οἵτινες ἀπὸ τῶν κανόνων τῶν ἐν Νικαίᾳ διαφωνοῦσι, καὶ ὑπὸ αἱρετικῶν ἐλέγχονται συντετάχθαι, οὗτοι παρὰ τῶν καθολικῶν ἐπισκόπων ἀποβάλλωνται. Τὰ γὰρ ὑπὸ τῶν αἱρετικῶν εὑρεθέντα, ταῦτα οὐκ ἔστι τοῖς καθολικοῖς κανόσι προσάπτειν· ἀεὶ γὰρ διὰ τῶν ἐναντίων καὶ ἀθέσμων τὴν τῶν ἐν Νικαίᾳ μειοῦν βουλὴν ἐθέλουσιν. Οὐ μόνον οὖν λέγομεν τούτοις μὴ δεῖν ἐξακολουθεῖν, ἀλλὰ μᾶλλον αὐτοὺς μετὰ αἱρετικῶν καὶ σχισματικῶν δογμάτων εἶναι κατακριτέους, καθάπερ καὶ πρότερον γέγονεν ἐν τῇ Σαρδικῇ συνόδῳ ὑπὸ τῶν πρὸ ἡμῶν ἐπισκόπων. Τὰ γὰρ καλῶς πραχθέντα κατακρίνεσθαι μᾶλλον προσῆκεν, ἢ ἄντικρυς τῶν κανόνων γενόμενα ἔχειν τινὰ βεβαιότητα, ἀδελφοὶ τιμιώτατοι.

Ἀλλὰ τί κατὰ τῶν τοιούτων νῦν ἐν τῷ παρόντι ποιήσωμεν; Ἀναγκαία ἐστὶ διάγνωσις συνοδική, ἣν καὶ πάλαι ἔφημεν συναθροιστέαν, μόνη γάρ ἐστιν ἥτις δύναται τὰς κινήσεις τῶν τοιούτων καταστεῖλαι καταιγίδων, ἧς ἵνα τύχωμεν, χρήσιμόν ἐστι τέως

τουργὸς Ἰωάννης, ὁ ἐπίσκοπός σας, χωρὶς νὰ τύχει καμμιᾶς ἀκροάσεως. Κανένα ἔγκλημα δὲν καταγγέλλεται ἐναντίον του, οὔτε εἰσακούεται. Καὶ ποιά εἶναι ἡ παράνομη ἐπινόηση; Γιὰ νὰ μὴ γίνει πρόφαση κρίσεως, ἢ γιὰ νὰ μὴ ζητηθεῖ κρίση, στὴ θέση ἱερέων, ποὺ ζοῦν, τοποθετοῦνται ἄλλοι, σὰν νὰ μποροῦν, ἐκεῖνοι ποὺ κινοῦνται ἀπὸ ἕνα τέτοιο πλημμέλημα νὰ θεωρηθεῖ ὅτι κάτι ἔχουν σωστό, ἢ ὅτι ὀρθῶς ἔκαναν ὅ,τι ἔκαναν. Ἐξάλλου ποτὲ ἀπὸ τοὺς πατέρας μας δὲν γνωρίζουμε νὰ ἔχουν ἀποτολμηθεῖ τέτοια πράγματα. Ἀντίθετα μάλιστα γνωρίζουμε ὅτι δὲν δινόταν ἐξουσία νὰ χειροτονεῖται ἄλλος στὴ θέση κάποιου ποὺ βρίσκεται στὴ ζωή. Γιατὶ δὲν μπορεῖ ἀντικανονικὴ χειροτονία νὰ ἀφαιρέσει τὴν τιμὴ τοῦ ἱερέα, ὅπως οὔτε ἐπίσκοπος μπορεῖ νὰ εἶναι ἐκεῖνος ὁ ὁποῖος ἄδικα χειροτονεῖται στὴ θέση ἄλλου. Τὸ ἴδιο γράφουμε καὶ γιὰ τὴν τήρηση τῶν κανόνων οἱ ὁποῖοι ἔχουν ὁρισθεῖ στὴ Νίκαια, τοὺς ὁποίους καὶ μόνους ὀφείλει νὰ ἀκολουθεῖ ἡ καθολικὴ Ἐκκλησία καὶ αὐτοὺς νὰ ἀναγνωρίζει.

Ἐὰν ὅμως ἀπὸ μερικοὺς προβάλλονται ἄλλοι κανόνες, ποὺ δὲν συμφωνοῦν μὲ τοὺς κανόνες τῆς Νικαίας καὶ ἀποδεικνύεται ὅτι ἔχουν συνταχθεῖ ἀπὸ αἱρετικούς, οἱ κανόνες αὐτοὶ νὰ ἀπορρίπτονται ἀπὸ τοὺς καθολικοὺς ἐπισκόπους. Γιατὶ ὅσα ἐφευρέθηκαν ἀπὸ τοὺς αἱρετικούς, αὐτὰ δὲν εἶναι δυνατὸ νὰ τὰ προσαρτοῦμε στοὺς καθολικοὺς κανόνες, οἱ ὁποῖοι μὲ τὰ ἀντίθετα καὶ ἀθεσμοθέτητα θέλουν πάντοτε νὰ μειώνουν τὴν ἀπόφαση τῆς Νικαίας. Δὲ λέμε, λοιπόν, μόνο ὅτι δὲν πρέπει τοὺς κανόνες αὐτοὺς νὰ τοὺς ἀκολουθοῦμε, ἀλλὰ μᾶλλον ὅτι οἱ κανόνες αὐτοὶ εἶναι ἀξιοκατάκριτοι μαζὶ μὲ τὰ αἱρετικὰ καὶ σχισματικὰ δόγματα, ὅπως ἔγινε καὶ πρὶν στὴ σύνοδο τῆς Σαρδικῆς ἀπὸ τοὺς πρὶν ἀπὸ μᾶς ἐπισκόπους. Γιατὶ ὅσα καλῶς[1] ἔγιναν μᾶλλον θὰ ταίριαζε νὰ κατακρίνονται, παρὰ νὰ ἔχουν κάποια ἐπικύρωση ὅσα ἔγιναν ἀντίθετα πρὸς τοὺς κανόνες, ἐντιμότατοι ἀδελφοί.

Ἀλλὰ τί νὰ κάνουμε τώρα πρὸς τὸ παρὸν ἐναντίον αὐτῶν; Εἶναι ἀπαραίτητη ἐξέταση συνοδική, ἡ ὁποία καὶ παλιότερα εἴπαμε ὅτι πρέπει νὰ συγκληθεῖ, διότι μόνο αὐτὴ μπορεῖ νὰ κατευνάσει τὶς κινήσεις αὐτῶν τῶν καταιγίδων. Γιὰ νὰ τὴν κατορθώσουμε ὅμως

1. Φαίνεται πὼς ἀπὸ κάποιο λάθος ἀναγράφεται «*καλῶς*» ἀντὶ κακῶς, γιατί, ἐφόσον μιλάει γιὰ κατάκριση, δὲν μπορεῖ νὰ κατακρίνονται ὅσα «καλῶς» ἔγιναν!

ὑπερτίθεσθαι τὴν ἰατρείαν τῇ βουλήσει τοῦ μεγάλου Θεοῦ καὶ τοῦ Χριστοῦ αὐτοῦ τοῦ Κυρίου ἡμῶν. Πάντα ὅσα οὖν τῷ φθόνῳ τοῦ διαβόλου πρὸς τὴν τῶν πιστῶν δοκιμασίαν τετάρακται, πραϋνθήσεται· οὐδὲν ὀφείλομεν τῇ στερρότητι τῆς πίστεως παρὰ τοῦ Κυρίου ἀπελπίσαι. Καὶ γὰρ ἡμεῖς πολλὰ σκεπτόμεθα, ὃν τρόπον ἡ σύνοδος οἰκουμενικὴ συναχθείη, ὅπως τῇ βουλήσει τοῦ Θεοῦ αἱ ταραχώδεις κινήσεις παύσωνται. Ὑπομείνωμεν οὖν τέως καί, τῷ τείχει τῆς ὑπομονῆς ὀχυρούμενοι, ἐλπίσωμεν πάντα τῇ βοηθείᾳ τοῦ Θεοῦ ἡμῶν ἀποκατασταθῆναι. Πάντα δὲ ὅσα ὑμᾶς ὑφίστασθαι εἰρήκατε καὶ πρότερον συνδραμόντων εἰς τὴν Ρώμην τῶν ἡμετέρων συνεπισκόπων, εἰ καὶ τὰ μάλιστα διαφόροις χρόνοις, τουτέστι Δημητρίου, Κυριακοῦ, Εὐλυσίου καὶ Παλλαδίου, οἵτινες σύνεισι μεθ' ἡμῶν, τελείᾳ ἐρωτήσει μεμαθήκαμεν.

αὐτὴ εἶναι καλὸ νὰ ἀναθέσουμε πρῶτα τὴ θεραπεία στὴ θέληση τοῦ μεγάλου Θεοῦ καὶ τοῦ Χριστοῦ του καὶ Κυρίου μας. Ὅλα λοιπὸν ὅσα ἀπὸ τὸν φθόνο τοῦ διαβόλου διαταράχτηκαν, γιὰ τὴ δοκιμασία τῶν πιστῶν, θὰ καταπραϋνθοῦν. Ἔχοντας σταθερότητα στὴν πίστη μας δὲν πρέπει νὰ χάνουμε τὴν ἐλπίδα μας πρὸς τὸν Κύριο. Ἄλλωστε καὶ ἐμεῖς πολλὰ σκεπτόμαστε, μὲ ποιό τρόπο δηλαδὴ θὰ συγκληθεῖ ἡ οἰκουμενικὴ σύνοδος, πῶς μὲ τὴ θέληση τοῦ Θεοῦ θὰ πάψουν οἱ ταραχώδεις κινήσεις. Ἂς κάνουμε λοιπὸν ὑπομονὴ μέχρι τότε καὶ ὀχυρωμένοι στὸ τεῖχος τῆς ὑπομονῆς ἂς ἐλπίσουμε ὅτι μὲ τὴ βοήθεια τοῦ Θεοῦ μας ὅλα θὰ ἀποκατασταθοῦν. Καὶ ὅλα ὅσα εἴπατε ὅτι ὑφίστασθε, καὶ προηγουμένως ὅταν ἦρθαν στὴ Ρώμη οἱ συνεπίσκοποί μας, ἂν καὶ σὲ πολὺ διαφορετικοὺς χρόνους, δηλαδὴ ὁ Δημήτριος, ὁ Κυριακός, ὁ Εὐλύσιος καὶ ὁ Παλλάδιος, οἱ ὁποῖοι εἶναι μαζί μας, τὰ μάθαμε μὲ κάθε λεπτομέρεια.

ΤΟΙΣ ΕΓΚΕΚΛΕΙΣΜΕΝΟΙΣ ΕΠΙΚΟΠΟΙΣ, ΠΡΕΣΒΥΤΕΡΟΙΣ ΚΑΙ ΔΙΑΚΟΝΟΙΣ ΕΝ ΔΕΣΜΩΤΗΡΙΩι ΔΙ' ΕΥΣΕΒΕΙΑΝ

Μακάριοι τοῦ δεσμωτηρίου καὶ τῆς ἁλύσεως καὶ τῆς τῶν δεσμῶν ὑποθέσεως ὑμεῖς· μακάριοι καὶ τρισμακάριοι καὶ πολλάκις τοῦτο, οἳ πᾶσαν ἀνηρτήσασθε τὴν οἰκουμένην τῷ περὶ ὑμᾶς φίλτρῳ, ἐραστὰς ὑμῶν καὶ τοὺς πόρρωθεν ὄντας πεποιήκατε. Πανταχοῦ γῆς καὶ θαλάττης ᾄδεται ὑμῶν τὰ κατορθώματα, ἡ ἀνδρεία, ἡ ἀπερίτρεπτος γνώμη, τὸ ἀδούλωτον φρόνημα. Οὐδὲν ὑμᾶς κατέπληξε τῶν δοκούντων εἶναι δεινῶν, οὐ δικαστήριον, οὐ δήμιος, οὐ βασάνων νιφάδες, οὐκ ἀπειλαὶ μυρίων γέμουσαι θανάτων, οὐ δικαστὴς πῦρ ἀπὸ τοῦ στόματος ἀφιείς, οὐκ ἐχθροὶ θήγοντες τοὺς ὀδόντας καὶ μυρία εἴδη κινοῦντες ἐπιβουλῆς, οὐ συκοφαντίαι τοσαῦται, οὐκ ἀναίσχυντοι κατηγορίαι, οὐ θάνατος πρὸ τῶν ὀφθαλμῶν καθ' ἑκάστην ἡμέραν φαινόμενος, ἀλλ' ἤρκεσεν ὑμῖν εἰς παράκλησιν τῶν γινομένων ἡ τῶν γινομένων ὑπόθεσις. Διὰ ταῦτα φανερῶς μὲν ὑμᾶς πάντες στεφανοῦσι καὶ ἀνακηρύττουσι, οὐ φίλοι μόνον, ἀλλὰ καὶ αὐτοὶ οἱ ἐχθροὶ καὶ ταῦτα κατασκευάζοντες· εἰ καὶ μὴ φανερῶς, κἂν τις αὐτῶν ἀναπτύξειε τὸ συνειδός, πολὺ καὶ παρ' ἐκείνοις ὑμῶν εὑρήσει τὸ θαῦμα. Τοιοῦτον γὰρ ἀρετή, καὶ παρὰ τοῖς πολεμοῦσιν αὐτὴν θαυμάζεται· τοιοῦτον κακία, καὶ παρὰ τοῖς μετιοῦσιν αὐτὴν καταγινώσκεται.

Καὶ τὰ μὲν ἐνταῦθα τοιαῦτα, τὰ δὲ ἐν οὐρανοῖς τίς παραστῆσαι δυνήσεται λόγος; Ἐγγέγραπται ὑμῶν τὰ ὀνόματα ἐν βίβλῳ ζωῆς, μετὰ τῶν ἁγίων κατηριθμήθητε μαρτύρων. Οἶδα ταῦτα ἐγὼ σαφῶς, οὐκ εἰς τὸν οὐρανὸν ἀναβάς, ἀλλ' ἀπὸ θείων αὐτὰ μαθὼν χρησμῶν. Εἰ γὰρ ὁ γάμῳ παρανομουμένῳ παραστὰς καὶ μὴ διορθῶσαι δυνη-

ΣΤΟΥΣ ΦΥΛΑΚΙΣΜΕΝΟΥΣ ΓΙΑ ΤΗΝ ΕΥΣΕΒΕΙΑ ΕΠΙΣΚΟΠΟΥΣ, ΠΡΕΣΒΥΤΕΡΟΥΣ ΚΑΙ ΔΙΑΚΟΝΟΥΣ

Μακάριοι σεῖς γιὰ τὴ φυλακὴ καὶ τὶς ἁλυσίδες καὶ τὴν ὅλη στάση σας ἀπέναντι στὰ δεσμά. Μακάριοι καὶ τρισμακάριοι καὶ πολλὲς φορὲς τὸ ἴδιο, σεῖς ποὺ κρεμάσατε ὅλη τὴν οἰκουμένη γύρω ἀπὸ τὴν δική σας ἀγάπη, ἀφοῦ κάνατε ἐραστές σας ἀκόμα καὶ ἐκείνους ποὺ βρίσκοντια μακριά. Παντοῦ σ' ὅλη τὴ γῆ καὶ τὴ θάλασσα τραγουδιοῦνται τὰ κατορθώματά σας, ἡ ἀνδρεία, ἡ ἀμετάβλητη γνώμη, τὸ ἀδούλωτο φρόνημα. Τίποτε ἀπὸ ἐκεῖνα ποὺ θεωροῦνται δεινὰ δὲν σᾶς ἔκανε νὰ τρομάξετε, οὔτε τὸ δικαστήριο, οὔτε ὁ δήμιος, οὔτε τὸ πλῆθος τῶν βασάνων, οὔτε οἱ ἀπειλὲς ποὺ ἦταν γεμάτες ἀπὸ μύριους θανάτους, οὔτε ὁ δικαστὴς ποὺ ἔβγαζε φωτιὰ ἀπὸ τὸ στόμα του, οὔτε οἱ ἐχθροὶ ποὺ ἀκόνιζαν τὰ δόντια τους καὶ ἐπιχειροῦσαν μύρια εἴδη σκευωρίας, οὔτε οἱ τόσες πολλὲς συκοφαντίες, οὔτε οἱ ἀδιάντροπες κατηγορίες, οὔτε ὁ θάνατος, ποὺ κάθε μέρα τὸν βλέπατε μὲ τὰ μάτια σας. Σᾶς ἀρκοῦσε ὡς παρηγοριὰ τῶν ὅσων γίνονταν ἡ ὑπόθεση τῶν ἴδιων τῶν γεγονότων. Γι' αὐτὸ φανερὰ ὅλοι σᾶς στεφανώνουν καὶ σᾶς ἀναγνωρίζουν, ὄχι μόνο οἱ φίλοι, ἀλλὰ καὶ οἱ ἴδιοι οἱ ἐχθροί, ποὺ τὰ ὀργανώνουν αὐτά. Ἂν καὶ ὄχι φανερά, ἐὰν ὅμως κανεὶς ἀπὸ αὐτοὺς ἀναλύσει τὴ συνείδησή τους, θὰ βρεῖ καὶ σ' ἐκείνους πολὺν θαυμασμό. Γιατὶ τέτοια εἶναι ἡ ἀρετή· θαυμάζεται ἀκόμα καὶ ἀπὸ ἐκείνους ποὺ τὴν πολεμοῦν. Τέτοια εἶναι ἡ κακία· κατηγορεῖται ἀκόμα καὶ ἀπὸ ἐκείνους ποὺ τὴ διαπράττουν.

Καὶ τὰ ἐδῶ βέβαια εἶναι τέτοια. Ποιός ὅμως λόγος θὰ μπορέσει νὰ περιγράψει τὰ οὐράνια; Ἔχουν γραφεῖ τὰ ὀνόματά σας στὸ βιβλίο τῆς ζωῆς, ἔχετε συγκαταλεχθεῖ μεταξὺ τῶν ἁγίων μαρτύρων. Τὰ γνωρίζω ἐγὼ αὐτὰ πολὺ καλά, ὄχι ἐπειδὴ ἀνέβηκα στὸν οὐρανό[1], ἀλλὰ ἐπειδὴ τὰ ἔμαθα ἀπὸ τὰ θεῖα λόγια. Γιατί, ἐὰν ἐκεῖνος ποὺ

1. Ὑπαινιγμὸς στὸ *Β' Κορινθ.* 12,2 «οἶδα ἄνθρωπον... ἁρπαγέντα τὸν τοιοῦτον ἕως τρίτου οὐρανοῦ...».

θεὶς τὴν παρανομίαν, ἀλλ' ἐλέγξαι αὐτὴν μόνον, ὁ τῆς στείρας καρπός, ὁ τῆς ἐρήμου πολίτης, ἐπειδὴ διὰ τοῦτο τὸ δεσμωτήριον ᾤκησε καὶ ἀπετμήθη, καὶ μάρτυς, καὶ μαρτύρων ὁ πρῶτός ἐστιν, ὑμεῖς οἱ νόμοις πατέρων καὶ θεσμοῖς παραβαθεῖσι, καὶ ἱερωσύνῃ ἐπηρεαζομένῃ καὶ παρανομουμένῃ παραστάντες, καὶ τοσαῦτα παθόντες ὑπὲρ ἀληθείας, καὶ τοῦ λῦσαι συκοφαντίας ἀναισχύντους οὕτως, ἐννοήσατε ἡλίκην λήψεσθε τὴν ἀμοιβήν. «Οὐκ ἔξεστί σοι ἔχειν τὴν γυναῖκα Φιλίππου τοῦ ἀδελφοῦ σου», εἶπε τοῦτο ὁ γενναῖος ἐκεῖνος καὶ ὑψηλὸς ἀνήρ, καὶ ἤρκεσεν αὐτῷ πρὸς παρρησίαν ἄφατον.

Εἴπατε καὶ ὑμεῖς, πρόκειται ἡμῶν τὰ σώματα κολάσεσι, τιμωρίαις, βασάνοις· ἀνάλισκε, δαπάνα ταῦτα τιμωρίαις οἵαις βούλει· συκοφαντεῖν οὐχ αἱρούμεθα, ἀλλὰ ἀποθνήσκειν μυριάκις. Ἀλλ' οὐκ ἀπετμήθητε, ἀλλὰ πολλῷ χαλεπώτερα πεπόνθατε. Οὐ γάρ ἐστιν ἴσον ἐν βραχείᾳ καιροῦ ῥοπῇ κεφαλὴν ἀποθέσθαι, καὶ τοσαύταις ἐπὶ τοσούτῳ χρόνῳ παλαίειν ὀδύναις, φόβοις, ἀπειλαῖς, δεσμωτηρίοις, ἀπαγωγαῖς, δικαστηρίοις, δημίων χερσί, συκοφαντῶν ἀναισχύντοις γλώτταις, ὀνείδεσι, λοιδορίαις, σκώμμασι. Καὶ γὰρ καὶ τοῦτο μέγιστον ἄθλου εἶδος, καὶ τίθησιν αὐτὸ ἐν τάξει μεγάλον ἀγώνων ὁ μακάριος Παῦλος, οὕτω λέγων· «ἀναμιμνήσκεσθε τὰς πρότερον ἡμέρας, ἐν αἷς φωτισθέντες πολλὴν ἄθλησιν ὑπεμείνατε παθημάτων». Εἶτα λέγων τὴν ἄθλησιν, τοῦτο τέθεικεν, οὕτως εἰπών· «τοῦτο μὲν ὀνειδισμοῖς καὶ θλίψεσι θεατριζόμενοι, τοῦτο δὲ κοινωνοὶ τῶν οὕτω πασχόντων γενηθέντες». Εἰ δὲ οἱ κοινωνήσαντες ἤθλησαν, πολλῷ μᾶλλον οἱ ὑπομείναντες. Οὐδὲ γὰρ ἕνα καὶ δύο καὶ τρεῖς, ἀλλὰ πολλοὺς ὑπομεμνήκατε θανάτους τῇ γνώμῃ, εἰ καὶ μὴ τῇ πείρᾳ.

«Χάρητε τοίνυν καὶ σκιρτήσατε»· τοῦτο γὰρ ὁ τῶν οὐρανῶν Δεσπότης ἐκέλευσε, μὴ μόνον μὴ ἀλγεῖν, μηδὲ καταπίπτειν, ἀλλὰ καὶ σκιρτᾶν καὶ ἥδεσθαι, ὅταν ὄνομα πονηρὸν ὑμῶν ἐκβάλλωσιν.

---

2. Ὁ Ἰωάννης ὁ Πρόδρομος (*Ματθ.* 14,6–12).
3. *Ματθ.* 14,4.
4. *Ἑβρ.* 10,32.

ἀντιστάθηκε σὲ παράνομο γάμο, ἔστω καὶ ἂν δὲν μπόρεσε νὰ διορθώσει τὴν παρανομία, παρὰ μόνο νὰ τὴν ἐλέγξει, ὁ καρπὸς τῆς στείρας, ὁ πολίτης τῆς ἐρήμου, ἐπειδὴ ἐξ αἰτίας αὐτοῦ φυλακίσθηκε καὶ ἀποκεφαλίσθηκε, εἶναι μάρτυρας καὶ πρῶτος μεταξὺ τῶν μαρτύρων[2], ἐσεῖς ποὺ προβάλατε ἀντίσταση γιὰ νόμους τῶν πατέρων καὶ θεσμοὺς οἱ ὁποῖοι ἀθετήθηκαν καὶ γιὰ ἱερωσύνη ἀπειλούμενη καὶ παρανομοῦσα καὶ πάθατε τόσα πολλὰ γιὰ τὴν ἀλήθεια καὶ γιὰ νὰ ξεδιαλύνετε τὶς τόσο ἀδιάντροπες συκοφαντίες, φαντασθεῖτε πόσο μεγάλη ἀμοιβὴ θὰ λάβετε. «Δὲν σοῦ ἐπιτρέπεται νὰ ἔχεις τὴ γυναίκα τοῦ ἀδελφοῦ σου Φιλίππου»[3], αὐτὸ εἶπε ὁ γενναῖος καὶ ὑψηλὸς ἄνδρας καὶ ἦταν ἀρκετὸ γι' αὐτὸν νὰ ἔχει παρρησία ἀπερίγραπτη. Εἴπατε καὶ σεῖς· Τὰ σώματά μας εἶναι ἕτοιμα γιὰ κολάσεις, τιμωρίες καὶ βασανισμούς. Κακοποίησέ τα, ὑπόβαλέ τὰ σὲ τιμωρίες ὅποιες θέλεις. Δὲν δεχόμαστε νὰ συκοφαντήσουμε, ἀλλὰ μύριες φορὲς νὰ πεθάνουμε. Βέβαια δὲν ἀποκεφαλισθήκατε, ἀλλὰ πάθατε πολὺ χειρότερα. Γιατὶ δὲν εἶναι ἴσο τὸ νὰ χάσεις τὸ κεφάλι σου μέσα σὲ μιὰ στιγμιαία κλίση, μὲ τὸ νὰ παλεύεις ἐπὶ τόσο πολὺ χρόνο μὲ τόσους πόνους, φόβους, ἀπειλές, φυλακές, ἀπαγωγές, δικαστήρια, χέρια δημίων, ἀδιάντροπες γλῶσσες συκοφαντῶν, προσβολές, ὕβρεις, κοροϊδίες. Γιατὶ καὶ αὐτὸ εἶναι πολὺ μεγάλο εἶδος ἄθλου, καὶ τὸ τοποθετεῖ σὲ κατηγορία μεγάλων ἀγώνων ὁ μακάριος Παῦλος λέγοντας τὰ ἑξῆς· «νὰ θυμᾶστε τὶς μέρες ποὺ πέρασαν, τότε ποὺ γνωρίσατε τὴν ἀλήθεια, κατὰ τὶς ὁποῖες ἀγωνιστήκατε καὶ ὑπομείνατε πολλὰ παθήματα»[4]. Ἔπειτα, ἀναφέροντας τὴν ἄθληση πρόσθεσε καὶ αὐτὰ λέγοντας· «ἄλλοτε μὲ προσβολὲς καὶ στενοχώριες σᾶς διαπόμπευαν, καὶ ἄλλοτε συμπαραστεκόσασταν σ' ἐκείνους ποὺ περνοῦσαν τέτοιες στιγμές»[5]. Ἐὰν λοιπὸν ἐκεῖνοι ποὺ συμπαραστάθηκαν ἄθλησαν, πολὺ περισσότερο ἄθλησαν ἐκεῖνοι ποὺ ὑπόφεραν. Γιατὶ δὲν ὑπομείνατε ἕνα καὶ δύο καὶ τρεῖς, ἀλλὰ πολλοὺς θανάτους μὲ τὴ διάθεσή σας, ἂν καὶ ὄχι στὴν πράξη.

«Χαρεῖτε, λοιπόν, καὶ πηδήξετε ἀπὸ χαρά»[6], γιατὶ αὐτὸ διέταξε ὁ Δεσπότης τῶν οὐρανῶν· ὄχι μόνο νὰ μὴ πονᾶτε, οὔτε νὰ χάνετε τὸ θάρρος σας, ἀλλὰ καὶ νὰ πηδᾶτε ἀπὸ χαρὰ καὶ νὰ εὐχαριστιέστε

5. *Ἑβρ.* 10,33.
6. *Λουκᾶ* 6,23.

Εἰ δὲ ἐπὶ συκοφαντίᾳ χαίρειν δεῖ, ὅταν καὶ τοσαῦτα προσῇ, συκοφαντίαι, πληγαί, βάσανοι, ξίφη ἠκονημένα, δεσμωτήρια, ἀλύσεις, ἀπαγωγαί, περιαγωγαί, ἐχθρῶν στίφη τοσαῦτα, ἐννόησον ἡλίκος ὁ μισθός, ποῦ κορυφοῦται τὰ τῆς ἀμοιβῆς. «Χαίρετε τοίνυν, σκιρτᾶτε», ἀνδρίζεσθε, κραταιοῦσθε, ἐννοήσατε πόσους ἠλείψατε δι' ὧν ἐπάθετε, πόσων φρονήματα ἀνεστήσατε, πόσους ἐστηρίξατε σαλευομένους, οὐχὶ παρόντας, ἀλλὰ καὶ ἀπόντας, οὐ διὰ τῆς ὄψεως ὧν ὑπομεμενήκατε, ἀλλὰ καὶ διὰ μόνης τῆς ἀκοῆς καὶ τοὺς πόρρωθεν τὰ μέγιστα ὠφελήσαντες. Συνεχῶς ἐκεῖνο περιφέρετε τὸ ἀποστολικόν· «ὅτι οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλύπτεσθαι εἰς ἡμᾶς».

Προσδοκᾶτε δὲ καὶ τὴν ταχίστην τῶν πειρασμῶν λύσιν καὶ τελείαν ἀπαλλαγήν, καὶ εὔχεσθε συνεχῶς ὑπὲρ ἡμῶν. Εἰ γὰρ καὶ πολλῷ διῳκίσμεθα ὑμῶν τῷ μήκει τῆς ὁδοῦ καὶ ἐπὶ πολὺ ἐχωρίσθημεν ὑμῶν χρόνον, ἀλλ' ὡς παρόντες καὶ συνόντες ὑμῖν, οὕτως ὑμᾶς περιπτυσσόμεθα, οὕτως ὑμῶν ἑκάστου τὴν φίλην καταφιλοῦμεν κεφαλήν, ὑπτίαις χερσὶ τοὺς στεφανίτας δεχόμενοι, καὶ μέγιστον καὶ ἐντεῦθεν προσδοκῶντες ἡμῖν ἔσεσθαι κέρδος ἀπὸ τῆς πολλῆς περὶ ἡμᾶς ἀγάπης. Εἰ γὰρ τοὺς ἀγαπῶντας ὑμᾶς πολὺν ἀναμένειν δεῖ τὸν μισθόν, ἐννοήσατε ἡλίκα ὑμῖν τὰ τῆς ἀντιδόσεως τοῖς ἐν τοσούτοις διαλάμψασιν ἀγῶσιν.

ὅταν σᾶς βγάλουν ὄνομα κακό[7]. Ἐὰν λοιπὸν γιὰ τὴ συκοφαντία πρέπει νὰ χαιρόμαστε, ὅταν ἐπὶ πλέον ὑπάρχουν καὶ τόσα ἄλλα, σκευωρίες, τραύματα, βασανιστήρια, ἀκονισμένα ξίφη, δεσμωτήρια, ἁλυσίδες, ἐξορίες, διαπομπεύσεις, τόσα στίφη ἐχθρῶν, φαντάσου πόσος θὰ εἶναι ὁ μισθός, σὲ ποιό ὕψος φθάνει ἡ ἀμοιβή. «Χαίρετε, λοιπόν, πηδᾶτε ἀπὸ χαρά», ἔχετε ἀνδρεῖο φρόνημα, γίνεστε δυνατοί· σκεφθεῖτε πόσους προτρέψατε σὲ ἀγῶνες μὲ ὅσα πάθατε, πόσων τὰ φρονήματα ἀνορθώσατε, πόσους ταλαντευόμενους στηρίξατε, ὄχι παρόντες, ἀλλὰ καὶ ἀπόντες, ὄχι μὲ τὴ θέα αὐτῶν ποὺ ἔχετε ὑπομείνει, ἀλλὰ καὶ μόνο μὲ τὴν ἀκοή, καὶ τοὺς μακρινοὺς τοὺς ὠφελήσατε πάρα πολύ. Συνεχῶς νὰ περιφέρετε τὸ ἀποστολικὸ ἐκεῖνο· «διότι δὲν εἶναι ἰσάξια τὰ ὅσα τώρα ὑποφέρουμε πρὸς τὴ δόξα ποὺ πρόκειται νὰ μᾶς ἀποκαλυφθεῖ»[8].

Νὰ περιμένετε ἐπίσης καὶ τὴν πολὺ σύντομη κατάπαυση τῶν δοκιμασιῶν καὶ τὴν τέλεια ἀπαλλαγὴ καὶ νὰ προσεύχεσθε συνεχῶς γιὰ μᾶς. Γιατί, μολονότι κατοικοῦμε σὲ μεγάλη ἀπόσταση ἀπὸ σᾶς καὶ γιὰ πολὺ χρονικὸ διάστημα σᾶς ἀποχωριστήκαμε, ὅμως σᾶς ἀγκαλιάζουμε σὰν νὰ εἴμαστε παρόντες κοντά σας, καὶ καταφιλοῦμε τοῦ καθενὸς τὴν ἀγαπητὴ κεφαλή, μὲ ἁπλωμένα τὰ χέρια ὑποδεχόμενοι τοὺς στεφανωμένους καὶ περιμένοντας νὰ ἔχουμε πάρα πολὺ μεγάλο κέρδος ἀπὸ τὴ μεγάλη ἀγάπη σας γιὰ μᾶς. Γιατί, ἐὰν αὐτοὺς ποὺ σᾶς ἀγαποῦν πολὺ πρέπει νὰ τοὺς περιμένει μισθός, φαντασθεῖτε πόσο μεγάλα θὰ εἶναι τὰ ἀγαθὰ τῆς ἀνταπόδοσης σὲ σᾶς ποὺ διαπρέψατε σὲ τόσους ἀγῶνες.

---

7. «Μακάριοί ἐστε ὅταν ὀνειδίσωσιν ὑμᾶς καὶ διώξωσι καὶ εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ' ὑμῶν ψευδόμενοι ἕνεκεν ἐμοῦ. Χαίρετε καὶ ἀγαλλιᾶσθε, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς» (*Ματθ.* 5,11–12).

8. *Ρωμ.* 8,18.

ΙΗ'.

ΚΑΡΤΕΡΙΑι

Κἂν πολλάκις κἂν ὀλιγάκις ἐπιστείλῃς, ἡμεῖς, ἥνπερ ἐξ ἀρχῆς ἔχομεν ψῆφον περὶ τῆς ἀγάπης τῆς σῆς, ταύτην ἀκίνητον διατηροῦμεν. Ἴσμεν γὰρ ὅτι καὶ γράφουσα καὶ σιγῶσα ὁμοίως περὶ ἡμᾶς διακεῖσθαι ἐσπούδακας. Ὁ Θεός σοι ταχίστην παράσχοι τὴν ὑγείαν καὶ πάσης ἀπαλλάξειε ἀρρωστίας. Καὶ γὰρ οὐχ ὡς ἔτυχεν ἐν φροντίδι καθεστήκαμεν περὶ τῆς ἀρρωστίας τῆς σῆς ἀκούοντες. Διὸ καὶ παρακαλοῦμέν σου τὴν ἐμμέλειαν, ἡνίκα ἂν ἐξῇ συνεχῶς ἡμῖν δηλοῦν τὰ περὶ τῆς ῥώσεως τῆς σῆς καὶ εἴ τινα πρὸς τὸ βέλτιον ἐπίδοσιν ἔλαβέ σου τὸ σῶμα. Οἶσθα γὰρ καὶ πῶς ἀλγοῦμεν ἀκούοντές σε ἐν ἀρρωστίᾳ εἶναι, καὶ πῶς εὐφραινόμεθα καὶ πτερούμεθα ὑπὸ τῆς ἡδονῆς, ἐπειδὰν ἀκούσωμεν ἐν ὑγείᾳ σε καθεστάναι.

Ταῦτ' οὖν εἰδυῖα, κυρία μου κοσμιωτάτη καὶ εὐγενεστάτη, ὁσάκις ἂν δυνατὸν ᾖ, γράφειν ἡμῖν μὴ κατόκνει καὶ δηλοῦν τὰ περὶ τῆς ῥώσεως τῆς σῆς. Οὐ γὰρ τὴν τυχοῦσαν ἡμῖν χαριῇ χάριν, τοιαύτας πέμπουσα ἡμῖν ἐπιστολάς.

ΙΘ'.

ΜΑΡΚΙΑΝΩι ΚΑΙ ΜΑΡΚΕΛΛΙΝΩι

Ἐβουλόμεθα μὲν ὑμᾶς, σφοδροὺς ἡμῶν ὄντας οὕτως ἐραστάς, καὶ παρόντας ἰδεῖν, ἀλλὰ ἐπειδὴ τοῦτο οὐκ ἔνι (τό τε γὰρ τῆς ὁδοῦ μῆκος, ἥ τε τοῦ χειμῶνος ὥρα, καὶ ὁ τῶν λῃστῶν φόβος ἱκανὰ διατειχίσαι τὴν ἀποδημίαν), τοὺς γοῦν τὰ γράμματα κομίζοντας παρ' ἡμῶν πρὸς ὑμᾶς ἐπιθυμοῦμεν συνεχέστερον ἡμῖν περιτυγχάνειν, ὥστε δύνασθαι μετὰ δαψιλείας πληρῶσαι τὴν ἐπιθυμίαν τὴν ἡμετέραν. Ἀλλ' ἐπειδὴ καὶ τοῦτο παρείλετο ἡμᾶς ἡ ἐρημία τοῦ χωρίου ἐν ᾧ διατρίβομεν, καὶ τὸ σφόδρα αὐτὸ ἀπῳκίσθαι τῆς δημοσίας ὁδοῦ,

1. Στὴν ἀρίθμηση τῶν ἐπιστολῶν τοῦ ἰ. Χρυσοστόμου ποὺ δημοσιεύουμε ἐδῶ, ἀκολουθώντας τὴ σειρὰ κατατάξεως τοῦ Migne, ὅπου τοὺς ἀριθμοὺς 1–17 φέρουν οἱ ἰσάριθμες ἐπιστολὲς ποὺ ἀπευθύνονται πρὸς τὴ διακόνισσα Ὀλυμπιάδα, συ-

18[1]

ΣΤΗΝ ΚΑΡΤΕΡΙΑ

Εἴτε πολλὲς φορὲς μοῦ γράψεις εἴτε λίγες, ἐγὼ διατηρῶ ἀμετακίνητη τὴ γνώμη ποὺ εἶχα ἐξαρχῆς γιὰ τὴν ἀγάπη σου. Γιατὶ γνωρίζω ὅτι καὶ ὅταν μοῦ γράφεις καὶ ὅταν σιωπᾶς, ὅμοια πρὸς ἐμένα ἔμαθες νὰ αἰσθάνεσαι. Εἴθε ὁ Θεὸς νὰ σοῦ δώσει πολὺ γρήγορα τὴν ὑγεία καὶ νὰ σὲ ἀπαλλάξει ἀπὸ κάθε ἀρρώστια. Γιατὶ δὲν ἔδειξα τυχαῖο ἐνδιαφέρον ἀκούοντας γιὰ τὴν ἀρρώστια σου. Γι' αὐτὸ καὶ παρακαλῶ τὴ χάρη σου ὅταν μπορεῖ νὰ μὲ ἐνημερώνει γιὰ τὴν ἀποκατάσταση τῆς ὑγείας σου καὶ ἐὰν τὸ σῶμα σου παρουσίασε κάποια βελτίωση. Γιατὶ πρέπει νὰ γνωρίζεις πόσο πονῶ ἀκούοντας ὅτι εἶσαι ἄρρωστη καὶ πόσο χαίρομαι καὶ πετῶ ἀπὸ τὴν εὐχαρίστηση, ὅταν ἀκούσω ὅτι ἀποκαταστάθηκε ἡ ὑγεία σου.

Γνωρίζοντας λοιπὸν αὐτά, σεμνότατη καὶ εὐγενεστάτη κυρία μου, ὅσες φορὲς θὰ εἶναι δυνατόν, μὴ ἀδιαφορεῖς νὰ μοῦ γράφεις καὶ νὰ μὲ ἐνημερώνεις γιὰ τὴν ὑγεία σου. Γιατὶ δὲν θὰ μοῦ χαρίσεις τυχαία χάρη, στέλνοντάς μου τέτοια γράμματα.

19

ΣΤΟΝ ΜΑΡΚΙΑΝΟ ΚΑΙ ΣΤΟΝ ΜΑΡΚΕΛΛΙΝΟ

Ἤθελα βέβαια ἐσᾶς ποὺ μὲ ἀγαπᾶτε τόσο πολὺ νὰ σᾶς δῶ καὶ παρόντες, ἀλλ' ἐπειδὴ αὐτὸ δὲν εἶναι δυνατὸ (διότι τὸ μῆκος τοῦ δρόμου, ἡ ἐποχὴ τοῦ χειμώνα καὶ ὁ φόβος τῶν ληστῶν εἶναι ἀρκετὰ γιὰ νὰ ἀποκλείσουν τὴν ἀποδημία), γι' αὐτὸ ἐπιθυμῶ, αὐτοὶ ποὺ μεταφέρουν τὰ γράμματα ἀπὸ ἐμένα πρὸς ἐσᾶς, νὰ μὲ συναντοῦν συχνότερα, γιὰ νὰ μπορῶ πλουσιοπάροχα νὰ ἐκπληρώνω τὴν ἐπιθυμία μου. Ἀλλὰ ἐπειδὴ καὶ αὐτὸ μοῦ τὸ στέρησε ἡ ἐρημιὰ τοῦ χωριοῦ στὸ ὁποῖο διαμένω καὶ τὸ ὅτι αὐτὸ βρίσκεται πολὺ μακριὰ ἀπὸ τὸ

νεχίζουμε ἀπὸ τὸν ἀριθμὸ 18 καὶ ἑξῆς. Οἱ ἐπιστολὲς 1–17 τῆς Ὀλυμπιάδας δημοσιεύονται στὸν προηγούμενο τόμο 37.

παρακαλῶ, ἂν μὴ συνεχῶς τοῦτο ποιῶμεν, συγγνώμην ἡμῖν νέμειν, καὶ γραφόντων ἡμῶν καὶ σιγώντων, τὴν αὐτὴν ἔχειν περὶ τῆς ἀγάπης τῆς ἡμετέρας ψῆφον, λογιζομένους ὅτι τὴν σιγὴν ἡμῖν πολλάκις μακροτέραν ἡ ἐρημία τοῦ τόπου, οὐχ ἡ τοῦ τρόπου ῥᾳθυμία ἐργάζεται.

Κ'.

ΑΓΑΠΗΤΩι

Οἶδά σου τὴν ἀγάπην τὴν γνησίαν καὶ θερμήν, τὴν ἄδολον καὶ εἰλικρινῆ, καὶ οὔτε πραγμάτων ὄχλῳ, οὔτε χρόνου πλήθει, οὔτε ὁδοῦ μήκει μαραινομένην· οἶδα καὶ ὅπως ἐπιθυμεῖς καὶ αὐτοψεὶ ἡμᾶς θεάσασθαι καὶ τῆς κατὰ πρόσωπον ἀπολαῦσαι συνουσίας. Ἀλλ' ἐπειδὴ τοῦτο ἤδη ἐργῶδες, καὶ διὰ τὸ τῆς ὁδοῦ μῆκος καὶ διὰ τὴν τοῦ ἔτους ὥραν καὶ τὸν τῶν Ἰσαύρων φόβον, τὴν διὰ τῶν γραμμάτων πάρεχε ἡμῖν εὐφροσύνην, συνεχῶς δηλῶν τὰ περὶ τῆς ὑγιείας τῆς σῆς καὶ τοῦ οἴκου σου παντός. Ἂν γὰρ τοιαῦτα δεχώμεθα συνεχῶς γράμματα παρὰ τῆς σῆς εὐγενείας καὶ θαυμασιότητος, οὐ τὴν τυχοῦσαν, καὶ ἐν ἐρημίᾳ διατρίβοντες, καρπωσόμεθα τὴν παράκλησιν. Καὶ γὰρ οὐκ ἀγνοεῖς ὅπως ἡμῖν περισπούδαστον τὸ ἐν ὑγιείᾳ σε εἶναι, δέσποτά μου αἰδεσιμώτατε καὶ θαυμασιώτατε.

ΚΑ'.

ΑΛΦΙΩι

Μακάριος καὶ τρισμακάριος εἶ καὶ πολλάκις τοῦτο, τοιαῦτα ἐργαζόμενος καὶ τοιαύταις ἐπιτρέχων πραγματείαις, αἳ πολὺν ἐν οὐρανοῖς προαποτίθενταί σοι τὸν μισθόν τε καὶ θησαυρόν. Οὐδὲ γὰρ ὡς ἔτυχεν ἡμᾶς ἀνεπτέρωσας, τὰ κατὰ τὸν Κύριόν μου Ἰωάννην τὸν πρεσβύτερον ἀπαγγείλας, ὅτι πολλὴν ἐποίησας σπουδὴν ἀναστῆσαι αὐτὸν καὶ ἐκπέμψαι εἰς τὴν Φοινίκην. Ὅτι δὲ καὶ χρυσίον αὐτῷ δέ-

δημόσιο δρόμο, παρακαλῶ, ἂν δὲν τὸ κάνω αὐτὸ συνεχῶς, νὰ μὲ συγχωρεῖτε, γιατὶ καὶ ὅταν γράφω καὶ ὅταν σιωπῶ, ἔχω τὴν ἴδια γνώμη γιὰ τὴν ἀγάπη σας, καὶ νὰ σκέφτεσθε ὅτι τὴ σιωπή μου πολλὲς φορὲς τὴν κάνει πιὸ μακριὰ ἡ ἐρημιὰ τοῦ τόπου καὶ ὄχι ἡ ὀκνηρία τῆς διαθέσεως.

20

ΣΤΟΝ ΑΓΑΠΗΤΟ

Γνωρίζω τὴν ἀγάπη σου τὴ γνήσια καὶ θερμή, τὴν ἄδολη καὶ εἰλικρινῆ, ποὺ δὲν μαραίνεται οὔτε ἀπὸ τὸ πλῆθος τῶν περιστάσεων, οὔτε ἀπὸ τὸν πολὺ χρόνο, οὔτε ἀπὸ τὸ μῆκος τοῦ δρόμου. Γνωρίζω ἐπίσης πόσο ἐπιθυμεῖς νὰ μὲ δεῖς καὶ μὲ τὰ ἴδια σου τὰ μάτια καὶ νὰ ἀπολαύσεις καὶ τὴν προσωπικὴ συναναστροφή μου. Ἐπειδὴ ὅμως αὐτὸ εἶναι δύσκολο καὶ ἐξαιτίας τοῦ μήκους τοῦ δρόμου καὶ ἐξαιτίας τῆς ἐποχῆς τοῦ ἔτους καὶ ἐξαιτίας τοῦ φόβου τῶν Ἰσαύρων, γι' αὐτὸ δίνε μου τὴ χαρὰ τῶν γραμμάτων, ἀναφέροντας συνεχῶς τὰ τῆς ὑγείας τῆς δικῆς σου καὶ ὅλου τοῦ σπιτιοῦ σου. Γιατί, ἂν παίρνω συνεχῶς τέτοια γράμματα ἀπὸ τὴ δική σου εὐγένεια καὶ ἄξια θαυμασμοῦ προσωπικότητα, ἂν καὶ διαβιῶ στὴν ἐρημιά, θὰ ἀποκομίζω πολὺ μεγάλη παρηγοριά. Καὶ βέβαια δὲν ἀγνοεῖς πόσο σπουδαῖο εἶναι γιὰ μένα τὸ νὰ εἶσαι ὑγιής, δεσπότη μου σεβάσμιε καὶ ἀξιοθαύμαστε.

21

ΣΤΟΝ ΑΛΦΙΟ

Εἶσαι μακάριος καὶ τρεῖς φορὲς μακάριος, καὶ πολλὲς φορὲς αὐτό, κάνοντας αὐτὰ καὶ τρέχοντας πίσω ἀπὸ τέτοιες ὑποθέσεις, ποὺ σοῦ ἐξασφαλίζουν ἐκ τῶν προτέρων πολὺ μισθὸ καὶ θησαυρό. Γιατὶ δὲν μὲ ἀναπτέρωσες λίγο ἀπαγγέλλοντάς μου τὰ σχετικὰ μὲ τὸν κύριό μου Ἰωάννη, τὸν πρεσβύτερο, ὅτι δηλαδὴ κατέβαλες πολλὴ προσπάθεια νὰ τὸν σηκώσεις καὶ νὰ τὸν στείλεις στὴ Φοινίκη.

δωκας, αὐτὸς μὲν ἐσίγησας, καὶ τοῦτο πρέπον τῇ εὐλαβείᾳ σου ποιῶν, ἡμᾶς δὲ οὐκ ἔλαθες, ἀλλὰ καὶ τοῦτο ἔγνωμεν καὶ τὴν δαψίλειαν, ἣν παρέσχες. Καὶ διὰ τοῦτό σε θαυμάζοντες καὶ μακαρίζοντες οὐ παυόμεθα, ὅτι ἐν οἷς δεῖ πλουτεῖν, ἐν τούτοις πλουτεῖς· καὶ σὲ παρακαλοῦμεν γράμματα συνεχῶς ἡμῖν ἐπιστέλλειν. Εἰ μὲν γὰρ δυνατὸν ἦν καὶ κατ' ὄψιν σε ἰδεῖν, πολλοῦ ἂν ἐπριάμεθα τοῦτο. Ἐπειδὴ δὲ τοῦτο τέως οὐκ ἔνι, γράφε συνεχῶς ἡμῖν, περὶ τῆς ὑγιείας τῆς σῆς εὐαγγελιζόμενος καὶ τοῦ οἴκου σου παντός. Οὐ γὰρ τὴν τυχοῦσαν καρπωσόμεθα παράκλησιν ταῦτα μανθάνοντες.

Εἰδὼς οὖν ἡλίκα ἡμῖν χαριῇ, μὴ ἀποστερήσῃς ἡμᾶς τῆς τοσαύτης εὐφροσύνης.

ΚΒ'.

ΚΑΣΤΩι, ΟΥΑΛΕΡΙΩι, ΔΙΟΦΑΝΤΩι, ΚΥΡΙΑΚΩι, ΠΡΕΣΒΥΤΕΡΟΙΣ ΑΝΤΙΟΧΕΙΑΣ

Οὐ θαυμάζω, ὅτι τὴν μακρὰν ἡμῶν ἐπιστολὴν βραχεῖαν ἐκαλέσατε. Τοιοῦτον γὰρ οἱ ἐρῶντες· οὐκ ἴσασι κόρον, οὐ δέχονται πλησμονήν, ἀλλ' ὅσα ἂν λάβωσι παρὰ τῶν ἐρωμένων, πλείονα ἐπιζητοῦσι. Διά τοι τοῦτο, εἰ καὶ δεκαπλασίων ὑμῖν ἦλθεν ἐπιστολὴ τῆς ἔμπροσθεν, οὐκ ἂν οὐδὲ ἐκείνη τὸ τῆς βραχύτητος διέφυγεν ὄνομα, ἀλλὰ καὶ αὐτὴ μικρὰ ἂν ἐκλήθη· μᾶλλον δὲ οὐκ ἐκλήθη μόνον, ἀλλὰ καὶ μικρὰ ἂν ὑμῖν ἐφάνη. Ἐντεῦθεν καὶ ὑμεῖς, ὅπουπερ ἂν ἀφίκησθε φιλοῦντες ἡμᾶς, οὐδὲ αὐτοὶ κόρον λαμβάνομεν, ἀλλ' ἀεὶ προσθήκας ἐπιζητοῦμεν ὑμῶν τοῦ φίλτρου, καὶ τὸ χρέος τῆς ἀγάπης τὸ ἀεὶ μὲν ἐκτιννύμενον, ἀεὶ δὲ ὀφειλόμενον (μηδενί, γάρ φησι, μηδὲν ὀφείλετε, εἰ μὴ τὸ ἀλλήλους ἀγαπᾶν), καθ' ἑκάστην παρ' ἡμῶν ἀπαιτοῦμεν ἡμέραν· ἀεὶ μὲν αὐτὸ μετὰ πολλῆς λαμβάνοντες τῆς δαψιλείας, οὐδέποτε δὲ ἀπειληφέναι τὸ πᾶν ἡγούμενοι.

---

1. Ὁ Χρυσόστομος, παρὰ τὶς ἰδιαίτερα δυσμενεῖς περιστάσεις κάτω ἀπὸ τὶς ὁποῖες βρισκόταν, τὶς ὁποῖες περιγράφει σὲ κάθε σχεδὸν ἐπιστολή του, δὲν ἔπαυε νὰ φροντίζει, νὰ ἐνδιαφέρεται καὶ νὰ παρακολουθεῖ μὲ ἀγωνία ὅλα ὅσα συνέβαιναν στὸ χῶρο τῆς Ἐκκλησίας καὶ ἰδιαίτερα στὸν τομέα τῆς ἱεραποστολῆς, καὶ νὰ συγχαίρει ὅσους συνέβαλλαν μὲ κάθε τρόπο σ' αὐτήν.

῞Ομως ὅτι τοῦ ἔδωσες καὶ χρυσάφι, ἐσὺ βέβαια τὸ ἀποσιώπησες, ἐνεργώντας ὅπως ταιριάζει στὴν εὐλάβειά σου, ἐμένα ὅμως δὲν μοῦ διέφυγες, κι' ἔτσι ἔμαθα καὶ αὐτὸ καὶ τὸ ποσὸν ποὺ ἔδωσες[1]. Γι' αὐτὸ καὶ δὲν παύω νὰ σὲ θαυμάζω καὶ νὰ σὲ μακαρίζω, διότι σ' αὐτὰ ποὺ πρέπει νὰ πλουτίζουμε, σ' αὐτὰ πλουτίζεις, καὶ σὲ παρακαλῶ νὰ μοῦ στέλνεις συνεχῶς γράμματα. Βέβαια, ἂν ἦταν δυνατὸ νὰ σὲ δῶ καὶ στὴν ὄψη, θὰ τὸ προτιμοῦσα αὐτὸ περισσότερο. Ἐπειδὴ ὅμως μέχρι στιγμῆς αὐτὸ δὲν εἶναι δυνατό, γράφε μου συνεχῶς, πληροφορώντας μου γιὰ τὰ εὐχάριστα τῆς ὑγείας τῆς δικῆς σου καὶ ὁλόκληρου τοῦ σπιτιοῦ σου. Γιατὶ δὲν θὰ δοκιμάζω λίγη παρηγοριὰ μαθαίνοντας αὐτά.

Γνωρίζοντας λοιπὸν πόσα θὰ μοῦ χαρίσεις, μὴ μοῦ στερήσεις αὐτὴ τὴν τόσο μεγάλη χαρά.

22

ΣΤΟΥΣ ΠΡΕΣΒΥΤΕΡΟΥΣ ΤΗΣ ΑΝΤΙΟΧΕΙΑΣ ΚΑΣΤΟ, ΟΥΑΛΕΡΙΟ, ΔΙΟΦΑΝΤΟ ΚΑΙ ΚΥΡΙΑΚΟ

Δὲν ἀπορῶ ποὺ τὴ μεγάλη μου ἐπιστολὴ τὴν ὀνομάσατε μικρή. Διότι τέτοιοι εἶναι ὅσοι ἀγαποῦν. Δὲν γνωρίζουν κορεσμό, δὲ δέχονται ἀφθονία, ἀλλά, ὅσα καὶ ἂν πάρουν ἀπὸ αὐτοὺς ποὺ ἀγαποῦν, ζητοῦν περισσότερα. Γι' αὐτὸ ἀκριβῶς, ἂν καὶ σᾶς ἦρθε ἐπιστολὴ δεκαπλάσια τῆς προηγούμενης, οὔτε κι ἐκείνη ξέφυγε τὸν χαρακτηρισμὸ τῆς βραχύτητας, ἀλλὰ καὶ αὐτὴ ὀνομάστηκε μικρή. Ἢ μᾶλλον δὲν χαρακτηρίστηκε μόνο, ἀλλὰ καὶ σᾶς φάνηκε μικρή. Γιὰ τὸν ἴδιο λόγο καὶ ἐγώ, ὅπου καὶ ἂν φθάνετε ἐπειδὴ μὲ ἀγαπᾶτε, οὔτε ἐγὼ χορταίνω, ἀλλὰ διαρκῶς ἐπιζητῶ συμπληρώματα τῆς στοργῆς σας. Καὶ τὸ χρέος τῆς ἀγάπης, ποὺ διαρκῶς ξεπληρώνεται καὶ διαρκῶς ὀφείλεται (διότι λέει, «σὲ κανένα δὲν ὀφείλετε τίποτα, παρὰ μόνο νὰ ἀγαπᾶτε ὁ ἕνας τὸν ἄλλον»[1]), τὸ ἀπαιτῶ ἀπὸ σᾶς κάθε μέρα. Καὶ ἐνῶ πάντοτε τὸ παίρνω μὲ μεγάλη ἀφθονία, ποτὲ δὲν πιστεύω ὅτι τὸ ἀπόλαυσα ὅλο.

1. *Ρωμ.* 13,8.

Μὴ δὴ παύσησθε κατατιθέντες ἡμῖν τὸ καλὸν τοῦτο ὄφλημα καὶ διπλῆν ἔχον ἡδονήν. Οἵ τε γὰρ καταβάλλοντες, οἵ τε ὑποδεχόμενοι τὴν ἴσην καρποῦνται εὐφροσύνην, ἐπειδήπερ ἀμφότεροι τῇ καταβολῇ ὁμοίως γίνονται εὔποροι. Ὅπερ ἐπὶ τῶν χρημάτων οὐκ ἔνι, ἀλλ' ὁ μὲν καταθεὶς πενέστερος ταύτῃ γίνεται, ὁ δὲ ὑποδεξάμενος εὐπορώτερος. Ἀλλ' οὐκ ἐπὶ τοῦ συμβολαίου τῆς ἀγάπης τοῦτο συμβαίνειν εἴωθεν. Οὐδὲ γὰρ ἀφίησιν ἔρημον αὐτῆς τὸν καταθέντα, ὅπερ ποιεῖ τὸ ἀργύριον πρὸς τὸν ὑποδεχόμενον μεταστάν, ἀλλὰ τότε μᾶλλον αὐτὸν εὐπορώτερον καθίστησιν, ὅταν αὐτὴν καταβάλῃ.

Ταῦτ' οὖν εἰδότες, κύριοί μου τιμιώτατοι καὶ εὐλαβέστατοι, μὴ διαλίπητε διηνεκῶς ἀκμάζουσαν περὶ ἡμᾶς τὴν διάθεσιν ἐπιδεικνύμενοι. Εἰ γὰρ καὶ μηδὲν δεῖσθε εἰς τοῦτο τῆς παρ' ἡμῶν παρακλήσεως, ἀλλ' ἐπειδὴ σφόδρα ἐρῶμεν ὑμῶν τῆς ἀγάπης, καὶ μὴ δεομένους ἀναμιμνήσκομεν τούτου ἕνεκεν, καὶ τοῦ συνεχῶς ἐπιστέλλειν, καὶ τὰ περὶ τῆς ὑγιείας τῆς ὑμετέρας δηλοῦν. Εἰ γὰρ μηδὲ τούτου χάριν δεῖσθε τοῦ ἀναμνήσοντος, ἀλλ' ἡμεῖς καὶ τοῦτο, ἐπειδὴ σφόδρα περισπούδαστον ἡμῖν, οὐ παυσόμεθα διηνεκῶς παρ' ὑμῶν ἐπιζητοῦντες. Ὅτι μὲν γὰρ ἐργῶδες τοῦτο λοιπόν, καὶ διὰ τὴν τοῦ ἔτους ὥραν καὶ διὰ τὴν τῆς ὁδοῦ δυσκολίαν, οὐ πολλῶν φαινομένων τῶν ὁδοιπόρων τῶν πρὸς τοῦτο διακονησομένων ὑμῖν, οὐδὲ ἡμεῖς ἀγνοοῦμεν· πλὴν ἀλλ' ὡς ἔνι, καὶ οἷόν τέ ἐστι καὶ ἐν τοσαύτῃ δυσκολίᾳ, συνεχῶς ἐπιστέλλειν παρακαλοῦμεν καὶ παρὰ τῆς ὑμετέρας ἀγάπης ταύτην αἰτοῦμεν τὴν χάριν.

Καὶ τῷ κυρίῳ δέ μου τῷ εὐλαβεστάτῳ πρεσβυτέρῳ Ρωμανῷ, καθὼς ἐκελεύσατε, ἀπεστάλκαμεν καὶ τούτου χάριν ὑμῖν εἰδότες πολλήν. Ἐπεὶ καὶ τοῦτο σφόδρα ἡμᾶς ἀγαπώντων ἐστὶ καὶ μεθ' ὑπερβολῆς φιλούντων, τὸ τηλικούτοις ἀνδράσι καὶ διὰ τῶν γραμμάτων πειρᾶσθαι καὶ πολλὴν ποιεῖσθαι σπουδὴν ἀκριβέστερον συνάπτειν ἡμᾶς. Δεξάμενοι τοίνυν ἡμῶν τὴν πρὸς αὐτὸν ἐπιστολήν, καὶ δοῦναι παρακλήθητε, καὶ χωρὶς τῆς ἐπιστολῆς προσειπεῖν αὐτὸν πάλιν ἐξ ἡμῶν. Καὶ γὰρ οὐχ ὡς ἔτυχεν ἄνωθεν καὶ ἐξ ἀρχῆς ἐρασταὶ γεγόναμεν αὐτοῦ σφοδρότατοι· καὶ τοῦτο μανθανέτω διὰ τῆς

---

2. Ἕνας ἄλλος τρόπος διακινήσεως τῶν ἐπιστολῶν τοῦ Χρυσοστόμου ἦταν καὶ αὐτὸς ποὺ βλέπουμε ἐδῶ. Οἱ ἴδιοι οἱ ἀποδέκτες ἐπιστολῶν του, ἀναλάμβαναν νὰ διαβιβάσουν σὲ ἄλλους ἐπιστολὲς ποὺ προορίζονταν γιὰ ἐκείνους. Ἡ ἐπιστολὴ πρὸς

Μὴ πάψετε λοιπὸν νὰ καταβάλετε τὸ καλὸ αὐτὸ χρέος, ποὺ παρέχει διπλῆ εὐχαρίστηση. Γιατὶ καὶ αὐτοὶ ποὺ τὸ καταβάλλουν καὶ αὐτοὶ ποὺ τὸ δέχονται δοκιμάζουν τὴν ἴδια χαρά, ἀφοῦ μὲ τὴν καταβολὴ γίνονται πλούσιοι κατὰ τὸν ἴδιο τρόπο καὶ οἱ δύο, πρᾶγμα ποὺ δὲν συμβαίνει μὲ τὰ χρήματα, ἀλλὰ ἐκεῖνος ποὺ καταβάλλει γίνεται μὲ αὐτὸ φτωχότερος, ἐνῶ ἐκεῖνος ποὺ τὰ εἰσπράττει πλουσιώτερος. Συνήθως ὅμως δὲ συμβαίνει τὸ ἴδιο καὶ μὲ τὸ συμβόλαιο τῆς ἀγάπης. Γιατὶ αὐτὴ δὲν ἐγκαταλείπει ἐκεῖνον ποὺ τὴν καταθέτει, ὅπως κάνει τὸ χρῆμα ποὺ μεταβιβάζεται σ' ἐκεῖνον ποὺ τὸ εἰσπράττει, ἀλλὰ ὅσο καταθέτει κανεὶς αὐτήν, τόσο πιὸ πλούσιο τὸν κάνει.

Γνωρίζοντας λοιπὸν αὐτά, ἐντιμότατοι καὶ εὐλαβέστατοι κύριοί μου, μὴ παραλείπετε νὰ δείχνετε διαρκῶς ἀκμαῖα τὰ πρὸς ἐμένα αἰσθήματά σας. Καὶ μολονότι δὲν ἔχετε ἀνάγκη νὰ σᾶς παρακαλέσω γι' αὐτό, ἐπειδὴ ὅμως θέλω πάρα πολὺ τὴν ἀγάπη σας, γι' αὐτὸ καὶ χωρὶς νὰ εἶναι ἀπαραίτητο σᾶς θυμίζω καὶ νὰ μοῦ γράφετε συνεχῶς καὶ νὰ μὲ πληροφορεῖτε γιὰ τὴν ὑγεία σας. Ἐὰν ὅμως οὔτε ἐξαιτίας αὐτοῦ ἔχετε ἀνάγκη ἐκείνου ποὺ νὰ σᾶς τὸ θυμίζει, ἐγὼ καὶ πάλι, ἐπειδὴ αὐτὸ γιὰ μένα εἶναι περιπόθητο, δὲν θὰ παύσω συνεχῶς νὰ τὸ ζητῶ ἀπὸ σᾶς. Βέβαια, ὅτι αὐτὸ εἶναι πολὺ δύσκολο ἐξαιτίας τῆς ἐποχῆς τοῦ ἔτους, καὶ ἐπειδὴ ὁ δρόμος εἶναι ἐπικίνδυνος, ἐξαιτίας τοῦ ὁποίου δὲν παρουσιάζονται πολλοὶ ὁδοιπόροι, ποὺ θὰ μποροῦσαν νὰ σᾶς ξυπηρετήσουν γιὰ τὸ σκοπὸ αὐτό, οὔτε καὶ ἐγὼ τὸ ἀγνοῶ. Πλὴν ὅμως, ὅσο εἶναι δυνατὸ καὶ ὅπως εἶναι δυνατὸ καὶ παρὰ τὴν τόση δυσκολία, σᾶς παρακαλῶ νὰ μοῦ γράφετε συνεχῶς καὶ ἀπὸ τὴν ἀγάπη σας αὐτὴ τὴ χάρη ζητῶ.

Καὶ στὸν κύριό μου τὸν εὐλαβέστατο πρεσβύτερο Ρωμανὸ ἔγραψα, ὅπως παραγγείλατε, καὶ σᾶς χρωστῶ πολλὴ χάρη γι' αὐτό. Γιατὶ καὶ αὐτὸ εἶναι δεῖγμα ἀνθρώπων ποὺ μὲ ἀγαποῦν καὶ μὲ συμπαθοῦν ὑπερβολικά, τὸ νὰ φροντίζουν καὶ νὰ καταβάλλουν πολλὴ προσπάθεια νὰ μὲ συνδέσουν στενότερα καὶ μὲ ἐπιστολὲς μὲ τόσο σπουδαίους ἄνδρες. Ὅταν πάρετε λοιπὸν τὴν ἐπιστολή μου ποὺ ἀπευθύνεται πρὸς ἐκεῖνον, παρακαλεῖσθε νὰ τὴ δώσετε[2], ἀλλὰ καὶ χωρὶς τὴν ἐπιστολὴ νὰ τὸν χαιρετίσετε ἀπὸ ἐμένα. Γιατὶ ἀπὸ παλιὰ καὶ ἐξ ἀρχῆς ἔχω γίνει, ὄχι τυχαίως, πολὺ φίλος του. Καὶ ἂς μάθει

τὸν πρεσβύτερο Ρωμανό, γιὰ τὴν ὁποία γίνεται λόγος ἐδῶ, πρέπει νὰ εἶναι ἡ ἑπόμενη (23η)

γλώττης τῆς ὑμετέρας, ὅτι τὴν αὐτὴν ἀγάπην μένομεν διατηροῦντες, ἡμῖν αὐτοῖς τὰ μέγιστα χαριζόμενοι· καὶ ὅτι τὴν μεταξὺ σιγὴν οὐ ῥᾳθυμίᾳ πεποιήκαμεν, ἀλλὰ τῷ γράμματα ἀναμένειν δέξασθαι παρὰ τῆς εὐλαβείας αὐτοῦ. Ἐπειδὴ δὲ προτέρους ἡμᾶς ᾔτησεν ἐπιστεῖλαι, ἰδοὺ καὶ τοῦτο ποιοῦμεν, καὶ παρακαλοῦμεν καὶ αὐτὸν συνεχῶς τοῦτο πρὸς ἡμᾶς ποιεῖν.

ΚΓ'

ΡΩΜΑΝΩι ΠΡΕΣΒΥΤΕΡΩι

Οἶσθα καὶ αὐτός, κύριέ μου τιμιώτατε καὶ εὐλαβέστατε, πῶς ἀεὶ περὶ τὴν σὴν εὐλάβειαν διετέθημεν καὶ πῶς ἀεὶ συνδεδεμένοι σοι τῷ νόμῳ τῆς ἀγάπης διετελέσαμεν, θαυμάζοντές σου τὴν τῶν τρόπων ἐπιείκειαν καὶ ἐκπληττόμενοι τῆς ἀρετῆς σου τὴν εὐμορφίαν, δι' ἧς πάντας τοὺς ἐντυγχάνοντας χειροῦσαι. Διὰ δὴ τοῦτο καὶ ἐκ μακροῦ καθήμενοι διαστήματος, ἀεί σε ἐπὶ τῆς διανοίας περιφέρομεν, καὶ ὅπουπερ ἂν ἐρημίας ἀπενεχθῶμεν, ἐπιλαθέσθαι σου τῆς ἀγάπης οὐ δυνάμεθα, ἀλλ' ὡς παρόντα καὶ πλησίον ὄντα, οὕτω καὶ ὁρῶμεν καὶ φανταζόμεθα, τοῖς τῆς ἀγάπης ὀφθαλμοῖς συνεχῶς, μᾶλλον δὲ διηνεκῶς σε βλέποντες καὶ πρὸς ἅπαντας ἀνακηρύττοντές σου τὴν εὐλάβειαν.

Παρακαλοῦμεν δὴ καὶ αὐτὸν μεμνῆσθαι ἡμῶν διηνεκῶς, καὶ τὴν ἀγάπην, ἣν ἐξ ἀρχῆς περὶ ἡμᾶς ἐπεδείξω, ταύτην καὶ νῦν ἀκμάζουσαν διατηρεῖν, καὶ εὔχεσθαι μετὰ πολλῆς ἐκτενείας ὑπὲρ τῆς ταπεινώσεως τῆς ἡμετέρας, καὶ ἐπιστέλλειν ἡνίκα ἂν ἐξῇ καὶ τὰ περὶ τῆς ὑγιείας τῆς σῆς δηλοῦν, ἵνα, καὶ ἐν ἐρημίᾳ καθήμενοι, πολλὴν καρπωσώμεθα τὴν παράκλησιν, τῆς ἀπὸ τῶν εὐχῶν σου συμμαχίας ἐκ τοσούτου ἀπολαύοντες διαστήματος.

ΚΔ'

ΗΣΥΧΙΩι

Αὐτὸς μὲν συγγνώμης ἀξιοῖς τυχεῖν ὑπὲρ τοῦ μὴ παραγενέσθαι,

καὶ τοῦτο ἀπὸ τὴ δική σας γλώσσα, ὅτι ἐξακολουθῶ νὰ διατηρῶ τὴν ἴδια ἀγάπη, δοκιμάζοντας ἐγὼ ὁ ἴδιος πολὺ μεγάλη χαρὰ γι' αὐτό, καὶ ὅτι ἡ σιωπὴ ποὺ μεσολάβησε δὲν ὀφείλεται σὲ ὀκνηρία, ἀλλὰ στὸ ὅτι περιμένω νὰ πάρω γράμματα ἀπὸ τὴν εὐλάβειά του. Ἐπειδὴ ὅμως ζήτησε ἐγὼ πρῶτος νὰ τοῦ γράψω, τὸ κάνω λοιπὸν καὶ αὐτὸ καὶ τὸν παρακαλῶ καὶ αὐτὸς νὰ τὸ κάνει πρὸς ἐμένα.

23

ΣΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟ ΡΩΜΑΝΟ

Γνωρίζεις καὶ σύ, κύριέ μου ἐντιμότατε καὶ εὐλαβέστατε, πῶς συμπεριφέρθηκα πάντοτε πρὸς τὴν εὐλάβειά σου καὶ πῶς πάντοτε ἤμουν συνδεδεμένος μαζί σου μὲ τὸ νόμο τῆς ἀγάπης, θαυμάζοντας τὴν πραότητα τῶν τρόπων σου καὶ δοκιμάζοντας ἔκπληξη ἀπὸ τὴν ὀμορφιὰ τῆς ἀρετῆς σου, μὲ τὴν ὁποία αἰχμαλωτίζεις ὅλους ὅσους συναντᾶς. Γι' αὐτὸ λοιπόν, ἂν καὶ διαμένω σὲ μακρινὴ ἀπόσταση, σὲ ἔχω διαρκῶς στὴ σκέψη μου, ἀλλὰ καὶ ἐὰν ὁδηγηθοῦμε σὲ ὁποιοδήποτε μέρος τῆς ἐρημιᾶς, δὲν μπορῶ νὰ λησμονήσω τὴν ἀγάπη σου, καὶ σὰν νὰ εἶσαι παρὼν καὶ κοντά, ἔτσι σὲ βλέπω καὶ σὲ φαντάζομαι μὲ τὰ μάτια τῆς ἀγάπης συνεχῶς, ἢ μᾶλλον σὲ βλέπω διαρκῶς καὶ διακηρύσσω πρὸς ὅλους τὴν εὐλάβειά σου.

Παρακαλῶ λοιπὸν καὶ ἐσένα νὰ μὲ θυμᾶσαι διαρκῶς καὶ νὰ διατηρεῖς ἀκμαία τὴν ἀγάπη ποὺ ἀπὸ τὴν ἀρχὴ εἶχες ἐπιδείξει, καὶ νὰ προσεύχεσαι μὲ πολλὴ ζῆλο γιὰ τὴν ταπεινότητά μου καὶ νὰ μοῦ γράφεις ὅταν εἶναι δυνατὸ καὶ νὰ μὲ ἐνημερώνεις γιὰ τὴν ὑγεία σου, ὥστε, ἂν καὶ διαμένω στὴν ἐρημιά, νὰ δοκιμάζω πολλὴ παρηγοριά, ἀπολαμβάνοντας τὴ συμμαχία τῶν προσευχῶν σου ἀπὸ τόσο διάστημα.

24

ΣΤΟΝ ΗΣΥΧΙΟ

Σὺ βέβαια ἀπαιτεῖς νὰ τύχεις συγγνώμης γιὰ τὸ ὅτι δὲν ἦρθες,

τὴν ἀρρωστίαν προβαλλόμενος, εγὼ δέ σε καὶ στεφανῶ καὶ ἀνακηρύττω τῆς γνώμης, ἀφ' ἧς καὶ παραγέγονας καὶ τῶν ἐλθόντων οὐδὲν ἔλαττον ἔχεις παρ' ἡμῖν κατὰ τὸν τῆς ἀγάπης λόγον. Ἱκανὸς δὲ ὁ Θεὸς καὶ τῆς κατεχούσης σε ἀπαλλάξαι ἀρρωστίας καὶ πρὸς καθαρὰν ὑγείαν ἐπαναγαγεῖν, ἵνα σου καὶ τῆς κατ' ὄψιν ἀπολαύσωμεν συντυχίας. Καὶ γὰρ σφόδρα ἐπιθυμοῦμέν σε ἰδεῖν καὶ περιπτύξασθαι καὶ τὴν φίλην ἡμῖν φιλῆσαι κεφαλήν. Ἕως δ' ἂν ταῦτα τό τε ἀρρωστεῖν σου τὴν εὐγένειαν καὶ ἡ τοῦ ἔτους ὥρα διακωλύῃ, οὐ παυσώμεθα συνεχῶς ἐπιστέλλοντές σου τῇ τιμιότητι καὶ τὴν ἐντεῦθεν ἡμῖν αὐτοῖς πραγματευόμενοι ἡδονήν.

ΚΕ'

ΕΛΠΙΔΙΩι ΕΠΙΣΚΟΠΩι

Ἡμεῖς μὲν ἐβουλόμεθα συνεχῶς ἐπιστέλλειν τῇ εὐλαβείᾳ τῇ σῇ, καὶ οἶσθα τοῦτο καὶ αὐτός, δέσποτα τιμιώτατε· ἀλλ' ἐπειδὴ τοῦτο ἡμᾶς παραιρεῖται τὸ μηδένα συνεχῶς ἡμῖν ἐπιχωριάζειν (ἥ τε γὰρ ἐρημία τοῦ χωρίου τούτου, ὅ τε τῶν λῃστῶν φόβος ταύτην ἐπιτείνων, λοιπὸν δὲ καὶ ἡ τοῦ ἔτους ὥρα τὰς ὁδοὺς ἀποτειχίζουσα, πᾶσιν ἄβατον ποιεῖ τὴν Κουκουσόν), ἀλλ' ἡνίκα ἂν ἐπιτύχωμεν γραμματηφόρων, πληροῦμεν ἡμῶν τὴν ἐπιθυμίαν, ἡμῖν αὐτοῖς τὰ μέγιστα χαριζόμενοι, ὃ δὲ καὶ νῦν πεποιήκαμεν διὰ τῶν κυρίων μου τῶν τιμιωτάτων πρεσβυτέρων, τήν τε ὀφειλομένην ἀποδιδόντες πρόσρησιν τῇ θεοσεβείᾳ σου, καὶ παρακαλοῦντες ἡνίκα ἂν ἐξῇ καὶ αὐτὸν ἡμῖν ἐπιστέλλειν καὶ τὰ περὶ τῆς ὑγείας δηλοῦν τῆς σῆς. Οὐ γὰρ ἀγνοεῖς, δέσποτά μου τιμιώτατε καὶ εὐλαβέστατε, ὅπως ἡμῖν περισπούδαστον ἀεὶ περὶ ταύτης μανθάνειν. Εἰ γὰρ καὶ πρὸς αὐτὰς ἀπῳκίσθημεν τῆς καθ' ἡμᾶς οἰκουμένης τὰς ἐσχατιάς, ἀλλ' ὅμως τῆς ἀγάπης σου τῆς γνησίας καὶ θερμῆς, τῆς εἰλικρινοῦς καὶ ἀδόλου ἐπιλαθέσθαι οὐ δυνάμεθα, ἀλλ', ὅπουπερ ἂν ἀπίωμεν, περιφέροντες αὐτὴν ἄπιμεν, μεγίστην ἐντεῦθεν καρπούμενοι τὴν παραμυθίαν.

προβάλλοντας ὡς αἰτία τὴν ἀρρώστια. Ἐγὼ ὅμως καὶ σὲ στεφανώνω καὶ σὲ ἀνακηρύσσω γιὰ τὴ πρόθεσή σου, μὲ τὴν ὁποία καὶ ἦρθες, καὶ δὲν ἔχεις νὰ ζηλέψεις σὲ τίποτε ἐκείνους ποὺ ἦρθαν, ὅσον ἀφορᾶ τὴν ἀγάπη. Ὁ δὲ Θεὸς εἶναι ἱκανὸς νὰ σὲ ἀπαλλάξει καὶ ἀπὸ τὴν ἀρρώστια ποὺ σὲ βρῆκε καὶ νὰ σὲ ἐπαναφέρει σὲ πλήρη ὑγεία γιὰ νὰ χαρῶ καὶ τὴν προσωπική σου συνάντηση. Γιατὶ πάρα πολὺ ἐπιθυμῶ νὰ σὲ δῶ καὶ νὰ σὲ ἀγκαλιάσω καὶ νὰ φιλήσω τὴν ἀγαπητὴ κεφαλή σου. Ὅσο καιρὸ ὅμως αὐτὰ θὰ σὲ ἐμποδίζουν, καὶ ἡ ἀρρώστια τῆς εὐγένειάς σου καὶ ἡ ἐποχὴ τοῦ ἔτους, δὲ θὰ πάψω νὰ γράφω στὴν ἐντιμότητά σου καὶ νὰ περιμένω τὴν ἀπὸ ἐκεῖ γιὰ μένα τὸν ἴδιο εὐχαρίστηση.

25

ΣΤΟΝ ΕΠΙΣΚΟΠΟ ΕΛΠΙΔΙΟ

Ἐγὼ βέβαια ἤθελα νὰ γράφω συνεχῶς στὴν εὐλάβειά σου καὶ τὸ γνωρίζεις αὐτὸ καὶ ὁ ἴδιος, δεσπότη ἐντιμότατε. Ὅμως ἐπειδὴ αὐτὸ μοῦ τὸ ἀποκλείει τὸ ὅτι κανεὶς δὲν μᾶς ἐπισκέπτεται συχνὰ (ἐπειδὴ καὶ ἡ ἐρημιὰ τοῦ χωριοῦ αὐτοῦ, ποὺ τὴν ἐπαυξάνει ὁ φόβος τῶν ληστῶν, ἀλλὰ καὶ ἡ ἐποχὴ τοῦ ἔτους ποὺ ἀποκλείει τοὺς δρόμους, κάνει ἀπλησίαστη τὴν Κουκουσό), γι' αὐτὸ ὅταν ποτὲ βρῶ γραμματοκομιστές, ἐκπληρώνω τὴν ἐπιθυμία μου, δοκιμάζοντας ὁ ἴδιος μεγάλη χαρά. Αὐτὸ ἀκριβῶς ἔκανα καὶ τώρα μὲ τοὺς κυρίους μου, τοὺς ἐντιμότατους πρεσβυτέρους, καὶ ἀνταποδίδοντας τὸν ὀφειλόμενο πρὸς τὴ θεοσέβειά σου χαιρετισμό, καὶ παρακαλώντας ὅταν εἶναι δυνατὸ καὶ ὁ ἴδιος νὰ μοῦ γράφεις καὶ νὰ μὲ ἐνημερώνεις γιὰ τὴν ὑγεία σου. Γιατὶ δὲν ἀγνοεῖς, δεσπότη μου ἐντιμότατε καὶ εὐλαβέστατε, πόσο σπουδαῖο εἶναι γιὰ μένα νὰ μαθαίνω πάντοτε γι' αὐτήν. Καὶ μπορεῖ βέβαια νὰ ἐξορίσθηκα σ' αὐτὰ τὰ ἔσχατα τῆς οἰκουμένης, ἀλλ' ὅμως τὴν ἀγάπη σου τὴ γνήσια καὶ θερμή, τὴν εἰλικρινῆ καὶ ἄδολη, δὲν μπορῶ νὰ τὴ λησμονήσω, ἀλλὰ ὁπουδήποτε καὶ ἂν πηγαίνω, πηγαίνω φέρνοντάς την μαζί μου, ἀντλώντας πολλὴ παρηγοριὰ ἀπὸ αὐτήν.

ΚS'

ΜΑΓΝΩι ΕΠΙΣΚΟΠΩι

Εἰ καὶ αὐτὸς ἡμῖν οὐκ ἀπέσταλκας, καίτοι τῶν κυρίων μου τῶν πρεσβυτέρων παραγενομένων, ἀλλ' ἡμεῖς τῆς τε ἄνωθέν σου φιλίας μεμνημένοι καὶ τὴν τῶν τρόπων σου θαυμάζοντες ἐπιείκειαν καὶ τὴν τῆς ψυχῆς ἀνδρείαν, εἰδότες δὲ καὶ τὸ φίλτρον, ὃ ἀεὶ περὶ ἡμᾶς ἐπεδείξω, πρότεροι τοῖς πρὸς τὴν σὴν ἐμμέλειαν ἐπεπηδήσαμεν γράμμασι, χάριτάς τέ σοι ὁμολογοῦμεν τῆς διαθέσεως, ἣν περὶ ἡμᾶς ἐπιδείκνυσαι· οὐ γὰρ ἔλαθεν ἡμᾶς τοῦτο, καίτοι γέ ἐκ τοσούτου καθημένους διαστήματος. Παρακαλοῦμεν οὖν, ἡνίκα ἂν ἐξῇ, γράφειν ἡμῖν συνεχῶς καὶ τὰ περὶ τῆς ὑγιείας τῆς σῆς εὐαγγελίζεσθαι. Ὅταν γὰρ ἀκούσωμεν τοὺς σφοδροὺς ἡμῶν ἐραστὰς καὶ γενναίους, οὕτω διεγηγερμένους, νήφοντάς τε καὶ ἐγρηγορότας περὶ τὴν τῶν Ἐκκλησιῶν πρόνοιαν, ἐν ὑγιείᾳ διάγειν, πολλὴν καὶ ἐντεῦθεν καρπούμεθα τὴν παράκλησιν.

Ταῦτ' οὖν εἰδώς, δέσποτά μου τιμιώτατε καὶ εὐλαβέστατε, μὴ κατόκνει συνεχῶς ταῦτα ἡμῖν δηλοῦν. Οὕτω γάρ, κἂν πρὸς αὐτὰς ἀπενεχθῶμεν τῆς οἰκουμένης τὰς ἐσχατιάς, πολλὴν καρπωσόμεθα τὴν παράκλησιν, ταύτης συνεχῶς ἀπολαύοντες τῆς παραμυθίας.

ΚΖ'

ΔΟΜΝΩι ΕΠΙΣΚΟΠΩι

Καὶ τοῦ πέμψαι τὸν τιμιώτατον πρεσβύτερον εἰς ἐπίσκεψιν ἡμετέραν καὶ τοῦ γράψαι, πολλὰς ἔχω χάριτας τῇ εὐλαβείᾳ τῇ σῇ, δέσποτα τιμιώτατε. Ἀμφότερα γὰρ γνησίας ἀγάπης καὶ θερμῆς διαθέσεως. Διὰ τοῦτο, καὶ ἐν ἐρημίᾳ διατρίβοντες, πολλὴν ἐντεῦθεν ἐδεξάμεθα τὴν παράκλησιν. Τὸ γὰρ τοιούτους ἄνδρας οὕτω σφοδροὺς ἐραστὰς ἔχειν, οὐ τὴν τυχοῦσαν φέρει τοῖς ἀγαπωμένοις παραμυθίαν. Καὶ ἐβουλόμην μὲν κατ' ὄψιν συντυχεῖν τῇ εὐλαβείᾳ τῇ σῇ καὶ ἐμφορηθῆναι τῆς ἡδίστης σου διαθέσεως, ἀλλ' ἐπειδὴ τοῦτο οὐκ ἔνι (οὔτε γὰρ ἡμῖν δυνατόν, οὔτε τῇ τιμιότητί σου ῥᾴδιον, διὰ τὴν

26

ΣΤΟΝ ΕΠΙΣΚΟΠΟ ΜΑΓΝΟ

Ἂν καὶ ἐσὺ δὲν μοῦ ἔγραψες, παρ' ὅλο ποὺ ἦρθαν οἱ κύριοι μου πρεσβύτεροι, ἐγὼ ὅμως καὶ τὴν παλιά σου φιλία ἐνθυμούμενος καὶ τὴν καλωσύνη τῶν τρόπων σου, καθὼς καὶ θαυμάζοντας τὴν ἀνδρεία τῆς ψυχῆς σου καὶ γνωρίζοντας καὶ τὴν ἀγάπη ποὺ πάντοτε ἔδειχνες πρὸς ἐμένα, πρῶτος ὅρμησα μὲ τὰ γράμματα πρὸς τὴ χάρη σου καὶ σοῦ χρωστῶ καὶ χάρη γιὰ τὰ αἰσθήματα ποὺ δείχνεις πρὸς ἐμένα, γιατὶ δὲν μοῦ διέφυγε αὐτό, ἂν καὶ βρίσκομαι σὲ τόση ἀπόσταση. Παρακαλῶ λοιπόν, ὅταν εἶναι δυνατό, νὰ μοῦ γράφεις συνεχῶς καὶ νὰ μοῦ ἀναγγέλλεις τὰ εὐχάριστα τῆς ὑγείας σου. Γιατὶ ὅταν ἀκούσω ὅτι οἱ πολὺ πιστοὶ καὶ γενναῖοι φίλοι μου, οἱ τόσο ζωντανοί, νηφάλιοι καὶ ἄγρυπνοι στὴ φροντίδα τους γιὰ τὶς Ἐκκλησίες, εἶναι ὑγιεῖς, δέχομαι πολλὴ καὶ ἀπὸ αὐτὸ παρηγοριά.

Γνωρίζοντας λοιπὸν αὐτά, ἐντιμότατε καὶ εὐλαβέστατε δεσπότη μου, μὴν ἀποφεύγεις νὰ μοῦ τὰ πληροφορεῖς συνεχῶς. Γιατὶ ἔτσι, καὶ ἂν ἀκόμα μεταφερθῶ στὶς ἐσχατιὲς τῆς οἰκουμένης, θὰ ἔχω πολλὴ παρηγοριά, δεχόμενος συνεχῶς αὐτὴ τὴν ἐνθάρρυνση.

27

ΣΤΟΝ ΕΠΙΣΚΟΠΟ ΔΟΜΝΟ

Καὶ γιὰ τὸ ὅτι ἔστειλες τὸν ἐντιμότατο πρεσβύτερο νὰ μὲ ἐπισκεφθεῖ καὶ γιὰ τὸ ὅτι μοῦ ἔγραψες, ὀφείλω πολλὲς εὐχαριστίες στὴν εὐλάβειά σου, δεσπότη ἐντιμότατε. Γιατὶ καὶ τὰ δύο ἀποτελοῦν δείγματα πηγαίας ἀγάπης καὶ θερμῆς διαθέσεως. Γι' αὐτό, μολονότι διαμένω στὴν ἐρημιά, δέχτηκα πολλὴ ἀπὸ αὐτὰ παρηγοριά. Γιατὶ τὸ νὰ ἔχει κανεὶς τέτοιους ἄνδρες τόσο πιστοὺς φίλους, δὲν φέρνει τυχαία παρηγοριὰ σ' αὐτὸν ποὺ ἀγαπιέται. Καὶ θὰ ἤθελα βέβαια νὰ συναντήσω προσωπικὰ τὴν εὐλαβειά σου γιὰ νὰ γεμίσω ἀπὸ τὴν εὐχάριστη διάθεσή σου, ἀλλ' ἐπειδὴ αὐτὸ δὲν εἶναι οὔτε σ' ἐμένα δυνατό, οὔτε στὴν ἐντιμότητά σου εὔκολο, ἐξαιτίας τῆς φρο-

τῆς ἐκκλησίας τῆς αὐτόθι πρόνοιαν), ἐπὶ τὸν δεύτερον ἀναγκαίως ἤλθομεν πλοῦν, τὴν ἀπὸ τῶν γραμμάτων παραψυχὴν ἑαυτοῖς χαριζόμενοι. Οὐ γὰρ μικρὸν καὶ ἐπιστολὴ δύναιτ' ἄν, γνησίας ἀγάπης ἀνακεχρωσμένη, εἰς παράκλησιν τῶν τῷ σώματι κεχωρισμένων.

Ἵν' οὖν ταύτης συνεχῶς ἀπολαύωμεν τῆς παραμυθίας, ὁσάκις ἂν ἐξῇ καὶ δυνατὸν ᾖ, γράφειν ἡμῖν τὰ περὶ τῆς ὑγείας τῆς σῆς μὴ κατόκνει. Καὶ γὰρ θησαυρὸν μέγιστον καὶ πλοῦτον ἄφατον ἀγαθῶν τὴν σὴν ἡγούμεθα ἡμῖν εἶναι φιλίαν. Κἂν συνεχῶς τοιούτων ἀπολαύωμεν ἀγαθῶν, ἤγουν τῶν γραμμάτων, οὐδὲ τῆς ἐνταῦθα ἐρημίας ληψόμεθα αἴσθησιν, ἀπὸ τῶν ἐπιστολῶν τῶν σῶν πολλὴν καρπούμενοι τὴν εὐφροσύνην.

ΚΗ'

ΒΑΣΙΛΕΙΩι ΠΡΕΣΒΥΤΕΡΩι

Εἰ καὶ τῆς κατ' ὄψιν σου συντυχίας οὐκ ἀπηλαύσαμεν, ἀλλὰ τὴν ἀρετήν σου τῆς ψυχῆς ἀκούοντες καὶ τὸν ζῆλον ὃν ἔχεις κατὰ τῶν Ἑλλήνων, καταλύων αὐτῶν τὴν πλάνην καὶ πρὸς ἀλήθειαν χειραγωγῶν, ὡς παρόντες καὶ συγγενόμενοι καὶ πολύν σοι συντραφέντες χρόνον, οὕτως σε αἰδούμεθα καὶ τιμῶμεν. Διὸ καὶ πρότερον ἐπεπηδήσαμεν τοῖς πρὸς σὲ γράμμασι, μακαρίζοντές σε ὑπὲρ ὧν κατορθοῖς καὶ θαυμάζοντες, καὶ αἰτοῦντες καὶ αὐτὸν ἡμῖν ἐπιστέλλειν ἡνίκα ἂν ἐξῇ. Καὶ γὰρ εἰ καὶ τῷ σώματί σου κεχωρίσμεθα, ἀλλὰ τῇ ἀγάπῃ σοι συνδεδέμεθα, ἐννοοῦντες τὴν σὴν εὐλάβειαν.

Ταῦτ' οὖν εἰδώς, μὴ κατόκνει συνεχῶς ἡμῖν ἐπιστέλλειν καὶ τὰ κατορθώματα τὰ σὰ δηλοῦν, ἵνα, καὶ ἐν ἐρημίᾳ διατρίβοντες, πολλὴν ἐντεῦθεν καρπωσώμεθα τὴν παράκλησιν.

---

1. Ἂν καὶ δὲν ἀναφέρεται στὴν ἐπιστολή, ὅμως εἶναι προφανὲς ὅτι ὁ πρεσβύτερος Βασίλειος πρέπει νὰ ἦταν μεταξὺ τῶν ἱεραποστόλων τῆς Φοινίκης, γιὰ τὴν

ντίδας γιὰ τὴν ἐκεῖ Ἐκκλησία, ἔφθασα κατ' ἀνάγκη στὸ δεύτερο μέσο, χαρίζοντας στὸν ἑαυτό μου τὴν παρηγοριὰ τῶν γραμμάτων. Γιατὶ δὲν θὰ μποροῦσε νὰ συμβάλει λίγο μιὰ ἐπιστολή, ποὺ εἶναι χρωματισμένη μὲ πηγαία ἀγάπη, στὴν παρηγοριὰ ἐκείνων ποὺ εἶναι σωματικὰ χωρισμένοι.

Γιὰ νὰ ἀπολαμβάνω λοιπὸν συνεχῶς αὐτὴ τὴν παρηγοριά, ὅταν ἐπιτρέπεται καὶ εἶναι δυνατό, μὴ ἀμελεῖς νὰ μοῦ γράφεις γιὰ τὴν ὑγεία σου. Γιατὶ τὴ φιλία σου τὴ θεωρῶ ὅτι εἶναι γιὰ μένα θησαυρὸς πάρα πολὺ μεγάλος καὶ ἀπερίγραπτος πλοῦτος ἀγαθῶν. Καὶ ἐὰν δέχομαι συνεχῶς τέτοια ἀγαθά, δηλαδὴ τὰ γράμματα, οὔτε τὴν ἐδῶ ἐρημιὰ θὰ νοιώσω, παίρνοντας ἀπὸ τὶς ἐπιστολές σου πολλὴ εὐχαρίστηση.

28

ΣΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟ ΒΑΣΙΛΕΙΟ

Ἂν καὶ δὲν ἀπόλαυσα τὴν προσωπική σου συνάντηση, ὅμως ἀκούοντας τὴν ἀρετὴ τῆς ψυχῆς σου καὶ τὸν ζῆλο ποὺ ἔχεις ἐναντίον τῶν ἐθνικῶν, διαλύοντας τὴν πλάνη τους καὶ χειραγωγώντας τους πρὸς τὴν ἀλήθεια[1], σὲ σέβομαι καὶ σὲ ἐκτιμῶ σὰν νὰ ἤμουν παρὼν μαζί σου καὶ σὲ συναστράφηκα γιὰ πολὺ χρονικὸ διάστημα. Γι' αὐτὸ καὶ ὅρμησα πρῶτος μὲ τὰ γράμματα πρὸς ἐσένα, μακαρίζοντάς σε γιὰ αὐτὰ ποὺ κατορθώνεις καὶ θαυμάζοντάς σε καὶ παρακαλώντας καὶ σὺ νὰ μοῦ γράφεις ὅταν εἶναι δυνατό. Γιατί, ἂν καὶ εἶμαι χωρισμένος ἀπὸ τὸ σῶμα σου, ὅμως εἶμαι συνδεδεμένος μαζί σου μὲ τὴν ἀγάπη κατανοώντας τὴν εὐλάβειά σου.

Γνωρίζοντας λοιπὸν αὐτά, μὴ ἀμελεῖς νὰ μοῦ γράφεις συνεχῶς καὶ νὰ μοῦ ἀναφέρεις τὰ κατορθώματά σου, ὥστε, ἂν καὶ διαμένω στὴν ἐρημιά, νὰ παίρνω ἀπὸ αὐτὰ πολλὴ παρηγοριά.

ὁποία ἔδειχνε ἰδιαίτερο ἐνδιαφέρον ὁ ἱ. Χρυσόστομος. Πρβλ. καὶ *Ἐπιστ.* 123 «πρὸς τοὺς ἐν Φοινίκῃ πρεσβυτέρους καὶ μονάζοντας, τοὺς κατηχοῦντας τοὺς Ἕλληνας».

ΚΘ'

ΧΑΛΚΙΔΙΑι ΚΑΙ ΑΣΥΓΚΡΙΤΙΑι

Μηδὲν ὑμᾶς ταραττέτω τῶν συμβαινόντων λυπηρῶν, μηδὲ τὰ ἐπάλληλα τῶν πραγμάτων κύματα θορυβείτω ὑμῶν τὴν διάνοιαν. Τοιαύτη γὰρ ἡ στενὴ καὶ τεθλιμμένη ὁδός, πολλὴν ἔχουσα τὴν δυσκολίαν, πολλοὺς τοὺς ἱδρῶτας καὶ τοὺς πόνους. Ἀλλὰ ταῦτα μὲν παροδεύεται καὶ τῷ παρόντι συγκαταλύεται βίῳ (καὶ γὰρ στενὴ ἡ ὁδός, ἀλλ' ὁδὸς ἐστιν), τὰ δὲ ἐκ τοῦ ταῦτα φέρειν πρᾴως καὶ γενναίως βραβεῖα διηνεκῆ καὶ ἀθάνατα καὶ πολλῷ μείζονα τῶν ἱδρώτων. Ἐννοοῦσαι τοίνυν καὶ τὸ ἐπίκηρον καὶ τὸ πρόσκαιρον τῆς θλίψεως, καὶ τὸ διηνεκὲς καὶ ἀθάνατον τῶν ἀμοιβῶν, φέρετε πάντα γενναίως, μηδενὶ τῶν συμπιπτόντων δυσχερῶν ταραττόμεναι. Ἓν γάρ ἐστι λυπηρόν, ἁμαρτία μόνον, τὰ δὲ ἄλλα πάντα, ἐξορίαι, δημεύσεις, ἀπαγωγαί, ἐπιβουλαὶ καὶ ὅσα τοιαῦτα, σκιά τίς ἐστιν καὶ καπνὸς καὶ ἀράχνη καὶ εἴ τι τούτων εὐτελέστερον.

Ἅτε οὖν καὶ κατὰ τὸν ἔμπροσθεν χρόνον πολλοὺς μελετήσασαι φέρειν πειρασμούς, καὶ νῦν τὴν ἁρμόττουσαν ὑμῖν ἐπιδείκνυσθε ὑπομονήν. Αὕτη γὰρ ἐν ἀσφαλείᾳ καὶ ἀδείᾳ καὶ γαλήνῃ πολλῇ καταστῆσαι ὑμᾶς δυνήσεται καὶ δοκιμωτέρας ποιῆσαι. Καὶ γράφετε συνεχῶς ἡμῖν τὰ περὶ τῆς ὑγείας τῆς ὑμετέρας, ἄν τινας εὕρητε δι' ἰδίαν χρείαν παραγενομένους ἐνταῦθα. Ἴστε γὰρ ὅπως αὐτῆς ἀντεχόμεθα καὶ ὅπως βουλόμεθα πυκνότερον περὶ ταύτης μανθάνειν.

Λ'

ΕΟΡΤΙΩι ΕΠΙΣΚΟΠΩι

Ἐγὼ μὲν ἐπεθύμουν καὶ γράμματα δέξασθαι τῆς σῆς τιμιότητος

---

1. *Ματθ.* 7,14.

2. «Σκιά», «καπνός», «ὄναρ», «ἄνθη ἢ φύλλα ἐαρινά», λέξεις μὲ τὶς ὁποῖες ὁ ἱερὸς Χρυσόστομος συνηθίζει νὰ χαρακτηρίζει ὅλα τὰ ἐπίγεια πράγματα, εἴτε αὐτὰ εἶναι ἐξορίες, δημεύσεις, ἀπαγωγές, συκοφαντίες κ.τ.δ. (βλ. *Ἐπιστολὴ* 106, 117 κ.ἄ.),

29

ΣΤΗ ΧΑΛΚΙΔΙΑ ΚΑΙ ΑΣΥΓΚΡΙΤΙΑ

Τίποτε ἀπὸ τὰ θλιβερὰ ποὺ συμβαίνουν νὰ μὴ σᾶς συνταράσσει, οὔτε τὰ ἀλλεπάλληλα κύματα τῶν περιστάσεων νὰ θορυβοῦν τὴ διάνοιά σας. Γιατὶ τέτοια εἶναι ἡ «στενὴ καὶ τεθλιμμένη ὁδός»[1]· ἔχει πολλὴ δυσκολία, πολλοὺς ἱδρῶτες καὶ κόπους. Ὅμως αὐτὰ ξεπερνιοῦνται καὶ ἐξαφανίζονται μαζὶ μὲ τὴν παρούσα ζωή. Γιατί, κι ἂν ἀκόμα εἶναι στενὸς ὁ δρόμος, ἀλλ' εἶναι δρόμος. Τὰ βραβεῖα ὅμως, ὅταν ὑποφέρουμε μὲ ὑπομονὴ καὶ γενναιότητα, εἶναι συνεχῆ καὶ ἀθάνατα καὶ πολὺ ἀνώτερα ἀπὸ τοὺς ἱδρῶτες. Κατανοώντας λοιπόν, ὅτι ἡ θλίψη εἶναι φθαρτὴ καὶ προσωρινή, ἐνῶ οἱ ἀμοιβὲς συνεχεῖς καὶ ἀθάνατες, ὑπομείνετε ὅλα γενναῖα, χωρὶς νὰ συνταρράσσεσθε ἀπὸ τὶς δυσκολίες ποὺ συμβαίνουν. Γιατὶ ἕνα μόνο εἶναι λυπηρό, ἡ ἁμαρτία. Ἐνῶ τὰ ἄλλα ὅλα, ἐξορίες, κατασχέσεις περιουσιῶν, ἀπαγωγές, σκευωρίες καὶ ὅσα ἄλλα τέτοια, εἶναι κάποια σκιὰ καὶ καπνὸς καὶ ἀράχνη καὶ ὁτιδήποτε ἄλλο ὑπάρχει πιὸ εὐτελὲς ἀπὸ αὐτά[2].

Ὅπως λοιπὸν καὶ κατὰ τὸν προηγούμενο χρόνο ἀσκηθήκατε νὰ ὑπομένετε πολλὲς δοκιμασίες, ἔτσι καὶ τώρα δείξετε τὴν ὑπομονὴ ποὺ σᾶς ταιριάζει. Γιατὶ αὐτὴ θὰ μπορέσει νὰ σᾶς ὁδηγήσει σὲ ἀσφάλεια καὶ ἀφοβία καὶ γαλήνη πολλὴ καὶ θὰ σᾶς κάνει πιὸ δοκιμασμένες. Καὶ γράφετε συνεχῶς σ' ἐμένα τὰ τῆς ὑγείας σας, ἂν βρεῖτε κάποιους ποὺ ἔρχονται ἐδῶ γιὰ δική τους ἀνάγκη. Γιατὶ γνωρίζετε πόσο ἐνδιαφέρομαι γι' αὐτὴν καὶ πόσο θέλω πιὸ συχνὰ νὰ μαθαίνω γι' αὐτήν.

30

ΣΤΟΝ ΕΠΙΣΚΟΠΟ ΕΟΡΤΙΟ

Ἐγὼ βέβαια θὰ ἐπιθυμοῦσα νὰ πάρω καὶ γράμματα τῆς ἐντιμό-

εἴτε εἶναι στιγμὲς πρόσκαιρης εὐτυχίας. Βλ. *Ὁμιλία εἰς Εὐτρόπιον πατρίκιον καὶ ὕπατον*, P. G. 52, 391, κ.ἑ.

περὶ τῆς ὑγείας τῆς σῆς ἡμῖν δηλοῦντα. Οἶσθα γὰρ ὅπως ἀεὶ περὶ τὴν σὴν διετέθημεν εὐλάβειαν, δέσποτα τιμιώτατε. Ἀλλ' ἐπειδὴ τοῦτο ἴσως τῶν γραμματηφόρων ὑμᾶς περιείλετο ἡ σπάνις, ἡμεῖς, ἐπιτυχόντες τῶν πρὸς τὴν σὴν εὐλάβειαν ἀφικνουμένων, πρότεροι τοῖς γράμμασιν ἐπεπηδήσαμεν τοῖς πρὸς τὴν σὴν τιμιότητα, καὶ σὲ παρακαλοῦμεν, ἡνίκα ἂν ἐξῇ, καὶ αὐτὸν συνεχῶς ἡμῖν ἐπιστέλλειν, καὶ περὶ τῆς ὑγείας τῆς σῆς δηλοῦν. Οἰκοῦμεν γὰρ χωρίον ἐρημότατον καὶ πάσης τῆς καθ' ἡμᾶς οἰκουμένης ἐρημότερον· πολιορκούμεθα καὶ φόβῳ λῃστῶν, καὶ πολλὰς ὡς ἐν ἀλλοτρίᾳ καὶ ἐν τοσαύτῃ ἐρημίᾳ θλίψεις ὑπομένομεν· πλήν, ἐὰν ὑμῶν τῶν σφόδρα ἡμᾶς ἀγαπώντων πυκνῶς ἐπιτυγχάνωμεν γραμμάτων τὰ περὶ τῆς ὑγείας τῆς ὑμετέρας δηλούντων, πολλήν, καὶ ἐν τοσαύταις περιστάσεσιν ὄντες, καρπωσόμεθα παράκλησιν. Οἶσθα γὰρ ὅση ἀγάπης δύναμις καὶ ὡς οὐ παρουσία τῶν φιλούντων μόνον, ἀλλὰ καὶ γράμματα πολλὴν φέρει τὴν παραμυθίαν.

Ταῦτ' οὖν εἰδὼς ἐπιδαψιλεύου ταύτην ἡμῖν τὴν εὐφροσύνην, συνεχέστερον τὰ περὶ τῆς ὑγείας τῆς σῆς δηλῶν, περὶ ἧς μάλιστα περισπούδαστον ἡμῖν μανθάνειν.

ΛΑ'

ΜΑΡΚΕΛΛΙΝΩι

Μακρὰν μὲν ἐσιγήσαμεν ἀφμότεροι σιγὴν πρὸς ἀλλήλους, τῆς δὲ ἀγάπης σου τῆς ἀρχαίας καὶ γνησίας ἡμῖν ἐκείνης οὐκ ἐπιλελήσμεθα, ἀλλ' ἀκμάζουσαν αὐτὴν διατηροῦμεν, καὶ ὅπουπερ ἂν ἀπίωμεν, αὐτὴν περιφέρομεν, μεγίστην ἐντεῦθεν καρπούμενοι τὴν παράκλησιν. Διὸ δὴ καὶ νῦν ἐπιτυχόντες τῶν πρὸς τὴν σὴν εὐγένειαν ἀφικνουμένων, τήν τε ὀφειλομένην ἀποδιδόαμεν πρόσρησιν, καὶ δηλοῦμεν, ὅτι, κἂν πρὸς αὐτὰς ἀπενεχθῶμεν τῆς οἰκουμένης τὰς ἐσχατιάς, ἔχοντές σε ἄπιμεν ἐν διανοίᾳ ἐγκεκολαμμένον ἡμῶν τῷ συνειδότι.

Ἀλλ' ἐπειδὴ τοῖς οὕτω διακειμένοις οὐ τὸ γράφειν μόνον, ἀλλὰ

τητάς σου ποὺ νὰ μὲ πληροφοροῦν γιὰ τὴν ὑγεία σου. Γιατὶ γνωρίζεις πόσο πάντοτε ἐνδιαφερόμουν γιὰ τὴν εὐλάβειά σου, ἐντιμότατε δεσπότη. Ἀλλ' ἐπειδὴ αὐτὸ μᾶς τὸ στέρησε ἴσως ἡ ἔλλειψη τῶν γραμματοκομιστῶν, ἐγώ, ἀφοῦ ἐπέτυχα αὐτοὺς ποὺ ἔρχονται πρὸς τὴν εὐλάβειά σου, ἀπευθύνομαι πρῶτος μὲ τὰ γράμματα πρὸς τὴν ἐντιμότητά σου καὶ σὲ παρακαλῶ, ὅταν εἶναι δυνατὸ καὶ σὺ συνεχῶς νὰ μοῦ γράφεις καὶ νὰ μοῦ ἀναφέρεις γιὰ τὴν ὑγεία σου. Διότι κατοικοῦμε σ' ἕνα πολὺ ἐρημικὸ χωριό, τὸ πιὸ ἐρημικὸ ὅλης τῆς οἰκουμένης. Μᾶς περισφίγγει καὶ ὁ φόβος τῶν ληστῶν καὶ ἀντιμετωπίζουμε πολλὲς στενοχώριες, σὰν νὰ εἴμαστε σὲ ξένη χώρα καὶ σὲ τόση ἐρημιά. Ἐὰν ὅμως παίρνω συχνὰ ἀπὸ σᾶς ποὺ μὲ ἀγαπᾶτε πολλὰ γράμματα, ποὺ νὰ μὲ ἐνημερώνουν γιὰ τὴν ὑγεία σας, θὰ δοκιμάζω πολλὴ παρηγοριά, ἔστω καὶ ἂν βρίσκομαι σὲ τόσο δύσκολες περιστάσεις. Γιατὶ γνωρίζεις πόση εἶναι ἡ δύναμη τῆς ἀγάπης καὶ ὅτι ὄχι μόνο ἡ παρουσία τῶν προσώπων ποὺ μᾶς ἀγαποῦν, ἀλλὰ καὶ τὰ γράμματά τους μοῦ φέρνουν πολλὴ ἀνακούφιση.

Γνωρίζοντας λοιπὸν αὐτά, δίνε μου μὲ ἀφθονία αὐτὴ τὴ χαρά, ἐνημερώνοντάς μου πιὸ συχνὰ γιὰ τὴν ὑγεία σου, γιὰ τὴν ὁποία εἶναι πολὺ σπουδαῖο γιὰ μένα νὰ μαθαίνω.

31

ΣΤΟΝ ΜΑΡΚΕΛΛΙΝΟ

Γιὰ μακρὸ χρονικὸ διάστημα κρατήσαμε καὶ οἱ δύο σιωπὴ μεταξύ μας, τὴν ἀγάπη σου ὅμως γιὰ μένα ἐκείνη τὴν παλιὰ καὶ εἰλικρινῆ δὲν τὴν ἔχω λησμονήσει, ἀλλὰ τὴν διατηρῶ ἀκμαία καὶ τὴν φέρνω μαζί μου ὅπου καὶ ἂν μεταβοῦμε, παίρνοντας ἀπὸ αὐτὴν μεγάλη παρηγοριά. Γι' αὐτὸ λοιπὸν καὶ τώρα ποὺ βρῆκα αὐτοὺς ποὺ θὰ ἔρθουν πρὸς τὴν εὐγένειά σου, σοῦ ἀποδίδω τὸν ὀφειλόμενο χαιρετισμὸ καὶ δηλώνω ὅτι, καὶ ἂν ἀκόμη μεταφερθῶ σ' αὐτὲς τὶς ἴδιες τὶς ἐσχατιὲς τῆς οἰκουμένης, θὰ μεταβῶ ἔχοντας ἐσένα στὸ νοῦ μου χαραγμένο στὴ συνείδησή μου.

Ἐπειδὴ ὅμως γιὰ ἐκείνους ποὺ διάκεινται ἔτσι, ὄχι μόνο τὸ νὰ

καὶ τὸ δέχεσθαι γράμματα παρὰ τῶν οὕτω φιλουμένων, πολλὴν φέρει τὴν ἡδονήν, διπλασίασον ἡμῖν τὴν εὐφροσύνην, δέσποτα τιμιώτατε, καὶ ἡνίκα ἂν ἐξῇ, γράφε συνεχῶς ἡμῖν, τὰ περὶ τῆς ὑγιείας τῆς σῆς δηλῶν. Οἶσθα γὰρ ὅπως ἡμῖν περισπούδαστον ταῦτα μανθάνειν, καὶ ὅσην καὶ ἐν ἀλλοτρίᾳ διατρίβοντες, ἐντεῦθεν καρπωσόμεθα τὴν παράκλησιν.

ΛΒ'

ΕΥΘΑΛΙΑι

Κἂν ἐλάττους δέχωμαι ἐπιστολὰς παρὰ τῆς κοσμιότητος τῆς σῆς, ὧν αὐτὸς πέμπω πρὸς τὴν σὴν ἐμμέλειαν, οὐκ ἀποστήσομαι συνεχῶς γράφων. Ἐμαυτῷ γὰρ χαρίζομαι τοῦτο ποιῶν, πρὸς ψυχὴν οὕτω γνησίως περὶ ἡμᾶς διακειμένην καὶ θερμῶς καὶ συνεχῶς ἐπιστέλλων. Πλὴν ἀλλ' ἐπειδὴ σφόδρα ἡμῖν περισπούδαστον μανθάνειν ἐν τίσιν ὁρμᾷ τὰ σά, συνεχῶς καὶ γραμμάτων ἐπιθυμοῦμεν ἀπολαύειν, ἵνα μανθάνωμεν διηνεκῶς ἅπερ ἐπιθυμοῦμεν, ὅτι ἐν εὐθυμίᾳ καὶ ἀσφαλείᾳ διάγεις πολλῇ. Τούτων γὰρ ἀπολαύουσα, ὅτι πολλὴν ποιῇ τῆς ψυχῆς τῆς σῆς ἐπιμέλειαν καὶ τῶν βιωτικῶν ὑπερορῶσα, τὴν εἰς τὸν οὐρανὸν ὁδὸν βαδίζεις, οὐδὲν οἶμαι δεῖν ἀμφιβάλλειν. Οἶδα γάρ σου τῆς ψυχῆς τὸ εὐγενὲς καὶ ἐλευθέριον καὶ ἀπραγμοσύνης γέμον καὶ τῶν βιωτικῶν ἀπηλλαγμένον φροντίδων.

Ἐννοοῦσα τοίνυν ἡλίκα ἡμῖν χαρίζῃ τοῦτο ποιοῦσα, ἡνίκα ἂν ἐξῇ καὶ δυνατὸν ᾖ, συνεχῶς ἡμῖν ἐπιστέλλειν, καθάπερ προειρήκαμεν, παρακλήθητι, ὥστε πολλὴν ἡμᾶς καὶ ἐντεῦθεν τῆς ἐρημίας ταύτης, ἐν ᾗ διατρίβομεν, λαβεῖν παραμυθίαν. Τὰ γὰρ ὑμῶν τῶν ἀγαπώντων ἡμᾶς γράμματα ὅταν συνεχῶς φέρηται πρὸς ἡμᾶς, τὰ περὶ τῆς ὑγιείας ὑμῶν δηλοῦντα, οὐ τῆς τυχούσης ἡμᾶς ἐμπίπλησιν εὐφροσύνης, ἀλλὰ τοσαύτην ἡμῖν ἐμποιεῖ τὴν ἡδονήν, ὡς μηδὲ μικρὰν αἴσθησιν τῆς ἐρημίας ταύτης, ἐν ᾗ διατρίβομεν, λαμβάνειν.

γράφουν, ἀλλὰ καὶ νὰ δέχονται γράμματα ἀπὸ ἐκείνους ποὺ τόσο ἀγαποῦν, φέρνει πολλὴ εὐχαρίστηση, διπλασίασε τὴ χαρά μου, ἐντιμότατε δεσπότη, καὶ ὅταν σοῦ εἶναι ἐπιτρεπτὸ γράφε μου συνεχῶς, ἀναφέροντάς μου τὰ τῆς ὑγείας σου. Γιατὶ γνωρίζεις πόσο σπουδαῖο εἶναι γιὰ μένα νὰ μαθαίνω γι' αυτὴν καί, διαμένοντας στὰ ξένα, πόση ἀπὸ αὐτὸ θὰ παίρνω παρηγοριά.

32

ΣΤΗΝ ΕΥΘΑΛΙΑ

Καὶ ἂν ἀκόμα δέχομαι ἀπὸ τὴ σεμνότητά σου λιγότερες ἀπὸ ὅσες ἐπιστολὲς στέλνω ἐγὼ στὴ χάρη σου, δὲν θὰ πάψω νὰ σοῦ γράφω συνεχῶς. Γιατὶ στὸν ἑαυτό μου προκαλῶ εὐχαρίστηση, κάνοντάς το αὐτό, δηλαδὴ νὰ γράφω συνεχῶς σὲ μιὰ ψυχὴ ποὺ τόσο εἰλικρινὰ καὶ θερμὰ συμπεριφέρεται ἀπέναντί μου. Ἐπειδὴ ὅμως εἶναι πολὺ σπουδαῖο νὰ μαθαίνω πρὸς τὰ ποῦ στρέφονται οἱ δραστηριότητές σου, ἐπιθυμῶ νὰ παίρνω συνεχῶς γράμματα, γιὰ νὰ μαθαίνω αὐτὰ ποὺ ἐπιθυμῶ, ὅτι δηλαδὴ ζεῖς μὲ γαλήνη καὶ ἀσφάλεια πολλή. Γιατί, ἂν ἀπολαμβάνεις αὐτά, ποὺ πολὺ φροντίζουν γιὰ τὴν ψυχή σου, καὶ παραβλέπεις τὰ βιωτικά, δὲν πρέπει νομίζω νὰ ἀμφιβάλλεις ὅτι βαδίζεις τὸ δρόμο ποὺ ὁδηγεῖ στὸν οὐρανό. Καὶ τὰ γράφω αὐτὰ γιατὶ γνωρίζω ὅτι ἡ ψυχή σου εἶναι εὐγενὴς καὶ γενναιόδωρη καὶ γεμάτη ἡσυχία καὶ ἀπαλλαγμένη ἀπὸ τὶς βιωτικὲς φροντίδες.

Κατανοώντας λοιπὸν πόσα μοῦ χαρίζεις κάνοντας αὐτό, ὅταν ἐπιτρέπεται καὶ εἶναι δυνατό, παρακαλῶ, ὅπως εἶπα καὶ στὴν ἀρχή, νὰ μοῦ γράφεις συνεχῶς, γιὰ νὰ παίρνω ἀπὸ αὐτά, στὴν ἐρημιὰ αὐτὴ ποὺ ζῶ, παρηγοριά. Γιατὶ ὅταν τὰ γράμματα τὰ δικά σας ποὺ μὲ ἀγαπᾶτε ἔρχονται συνεχῶς σὲ μένα πληροφορώντας μου γιὰ τὴν ὑγεία σας, δὲν μὲ γεμίζουν ἁπλῶς χαρά, ἀλλὰ μοῦ προκαλοῦν τόση εὐχαρίστηση, ὥστε νὰ μὴ ἔχω τὴν παραμικρὴ αἴσθηση τῆς ἐρημιᾶς στὴν ὁποία ζῶ.

ΛΓ'

ΑΔΟΛΙΑι

Καὶ ταύτῃ σου τὴν ἀγάπην ἔδειξας, τὴν γνησίαν καὶ θερμήν, ὅτι καὶ ἐν ἀρρωστίᾳ οὖσα, οὕτω συνεχῶς ἡμῖν ἐπιστέλλεις. Ἡμεῖς δὲ ἐπιθυμοῦμεν τῆς τε ἀρρωστίας σε ἀπαλλαγῆναι, καὶ ἐνταῦθα παραγενομένην, ὅταν ἐξῇ, θεάσασθαι. Καὶ τοῦτο οἶσθα καὶ αὐτή, κυρία μου κοσμιωτάτη καὶ εὐλαβεστάτη. Ἐπεὶ οὖν, ὅπερ καὶ ἔμπροσθεν ἐπέσταλκα, νῦν ἐν φροντίδι μείζονι καθεστήκαμεν (καὶ γὰρ ἀπὸ τῶν γραμμάτων ἐστοχασάμεθά σου τῆς ἀρρωστίας τὴν ὑπερβολήν), διά τοι τοῦτο, ἡνίκα ἂν πρὸς τὸ βέλτιον ἐπιδῷ σοι τὸ σῶμα, διὰ τάχους ὡς βούλει δηλῶσαι ἡμῖν παρακλήθητι τοῦτο αὐτό, ἵνα βαρυτάτης ἡμᾶς ἀνεθῆναι ποιήσῃς φροντίδος. Ὅτι γὰρ καὶ νῦν οὐκ ἐν μικρᾷ καθεστήκαμεν ἀθυμίᾳ τῆς ἀρρωστίας ἕνεκεν τῆς σῆς, οὐδὲ αὐτῆς ἀγνοεῖς.

Εἰδυῖα τοίνυν τὴν φροντίδα ἐν ᾗ νῦν ἐσμεν, ὅπερ παρεκαλέσαμεν, ποιῆσαι σπούδασον. Εἰ καὶ τὰ μάλιστα οὐδέν σοι εἰς τοῦτο δεῖ παρακλήσεως, ἀλλ' εὖ οἶδ' ὅτι ὅσων ἂν ἐπιτύχῃς γραμματηφόρων, οὐ παύσῃ δι' ἑκάστου ἡμῖν ἐπιστέλλουσα.

ΛΔ'

ΚΑΡΤΕΡΙΑι

Καὶ τοῦτο τῆς ἀγάπης τῆς σῆς, τῆς μεριμνημένης ψυχῆς τῆς σφοδρῶς περὶ ἡμᾶς διακειμένης, τὸ μὴ μόνον ἀποστεῖλαι τὸ πολυάρχιον, ἀλλὰ καὶ σκοπῆσαι ὅπως ἂν γένοιτο χρήσιμον, προσθεῖναί τε αὐτῷ τό τε νάρδινον καὶ τὸ γλεύκινον ἔλαιον, διορθοῦντα αὐτοῦ τὴν ἀπὸ τῆς μακρᾶς ἀποδημίας ξηρότητα. Καὶ τὸ αὐτὴν καὶ κα-

1. Τὸ πολυάρχιο ἦταν ἕνα εἶδος καταπλάσματος ἢ ἀλοιφῆς (*Γαλην.* 19,714,15).
2. Τὸ νάρδινο ἦταν αἰθέριο ἔλαιο ποὺ παραγόταν ἀπὸ τὸ φυτὸ νάρδος.

33

ΣΤΗΝ ΑΔΟΛΙΑ

Καὶ μὲ αὐτό σου τὸ γράμμα ἔδειξες τὴν ἀγάπη σου τὴ γνήσια καὶ θερμή, γιατί, μολονότι εἶσαι ἄρρωστη, μοῦ γράφεις τόσο συχνά. Ἐγὼ ὅμως ἐπιθυμῶ νὰ ἀπαλλαγεῖς ἀπὸ τὴν ἀρρώστια καὶ νὰ σὲ δῶ νὰ ἔρχεσαι ἐδῶ, ὅταν θὰ εἶναι ἐπιτρεπτό. Καὶ αὐτὸ τὸ γνωρίζεις καὶ ἡ ἴδια, κυρία μου σεμνοτάτη καὶ εὐλαβεστάτη. Ἐπειδὴ λοιπόν, ὅπως ἔγραψα καὶ στὴν ἀρχή, τώρα μπῆκα σὲ μεγαλύτερη ἀγωνία (γιατὶ ἀπὸ τὰ γράμματά σου ὑπολόγισα τὴ σοβαρότητα τῆς ἀρρώστιας σου), γι' αὐτὸ ἀκριβῶς ὅταν τὸ σῶμά σου πάει πρὸς τὸ καλύτερο, παρακαλῶ νὰ μοῦ τὸ ἀναφέρεις αὐτὸ ὅσο γίνεται γρηγορότερα ὅπως θέλεις, γιὰ νὰ μὲ κάνεις νὰ ἀπαλλαγῶ ἀπὸ τὴ στενοχώρια. Ὅτι βέβαια καὶ τώρα μπῆκα ὄχι σὲ μικρὴ λύπη ἐξαιτίας τῆς ἀρρώστιας σου, οὔτε ἐσὺ τὸ ἀγνοεῖς.

Γνωρίζοντας λοιπὸν τὴ στενοχώρια στὴν ὁποία βρίσκομαι τώρα, κάνε πρόθυμα αὐτὸ γιὰ τὸ ὁποῖο σὲ παρακάλεσα. Ἂν καὶ βέβαια δὲν χρειάζεται νὰ σὲ παρακαλέσω γι' αὐτό. Γιατὶ γνωρίζω καλὰ ὅτι, ὅσους γραμματοκομιστὲς βρεῖς, δὲν θὰ πάψεις μὲ τὸν καθένα νὰ μοῦ γράφεις.

34

ΣΤΗΝ ΚΑΡΤΕΡΙΑ

Καὶ αὐτὸ εἶναι καρπὸς τῆς ἀγάπης σου, τῆς γεμάτης μέριμνα ψυχῆς, ποὺ φροντίζει πάρα πολὺ γιὰ μένα, τὸ νὰ μὴ μοῦ στείλεις μόνο τὸ πολυάρχιο[1], ἀλλὰ καὶ τὸ ὅτι σκέφτηκες μὲ ποιό τρόπο θὰ μοῦ ἦταν χρήσιμο καὶ τὸ ὅτι πρόσθεσες σ' αὐτὸ καὶ τὸ νάρδινο[2] καὶ τὸ γλεύκινο[3] λάδι, γιὰ νὰ διορθώσουν τὴν ξηρότητά του ἀπὸ τὸ μακρινὸ ταξίδι. Ἀκόμα καὶ τὸ ὅτι τὸ κατασκεύασες ἡ ἴδια καὶ δὲν τὸ

3. Τὸ γλεύκινο, ἦταν κι αὐτὸ αἰθέριο ἔλαιο ποὺ παρασκευαζόταν ἀπὸ τὸ γλεῦκος (μοῦστο).

τασκευάσαι τοῦτο καὶ μὴ ἑτέροις ἐπιτρέψαι καὶ μὴ τῆς ταχύτητος γενέσθαι, ἀλλὰ τοῦ γενέσθαι σπουδαῖον αὐτό, καὶ τοῦτο μάλιστα ἐκπλήττεσθαι ἡμᾶς τὴν διάθεσιν τὴν περὶ ἡμᾶς πεποίηκε. Διὰ τοῦτό σοι χάριτας ὁμολογοῦμεν, ἓν μόνον ἐγκαλοῦντες, ὅτι, ὃ μάλιστα περισπούδαστον ἦν ἡμῖν, τοῦτο οὐκ ἔπεμψας διὰ τῶν γραμμάτων, τὰ εὐαγγέλια λέγω τῆς σῆς ὑγείας. Καὶ ὡς νῦν ἐν φροντίδι καθεστήκαμεν, οὐκ εἰδότες οἷα τῆς ἀρρωστίας ἕστηκε τῆς σῆς, οὕτως, ἂν διὰ τάχους ἡμῖν πέμψῃς γράμματα ἀπαγγέλλοντα ἡμῖν, ὅτι λέλυται τὰ τῆς νόσου, τὰ μέγιστα ἡμῖν χαριῇ.

Εἰδυῖα τοίνυν ὅπως σφόδρα ἐπιθυμοῦμεν μαθεῖν, ὅτι δὴ ἐκ τῆς ἀσθενείας ταύτης ἀνήνεγκας, χαρίζου ἡμῖν ταύτην τὴν εὐφροσύνην, ἐν τῇ χαλεπωτάτῃ ταύτῃ ἐρημίᾳ τε καὶ πολιορκίᾳ οὐ μικρὰν ἐσομένην ἡμῖν παράκλησιν.

ΛΕ'

ΑΛΦΙΩι

Ὁ Θεός σοι τὸν μισθὸν δῴη καὶ ἐν τῷ παρόντι βίῳ καὶ ἐν τῷ μέλλοντι αἰῶνι, τῆς γνησίας καὶ θερμῆς περὶ ἡμᾶς ἀγάπης, τῆς εἰλικρινοῦς καὶ ἀνυποκρίτου, τῆς ἀκινήτου καὶ ἀπεριτρέπτου. Οὐ γὰρ μικρὰ δείγματα τῆς περὶ ἡμᾶς διαθέσεως, καὶ ταῦτα ἐκ τοσούτου καθήμενος διαστήματος, ἐπεδείξω, κύριέ μου τιμιώτατε καὶ εὐγενέστατε, ἀλλὰ καὶ πολλὰ καὶ μεγάλα. Διὰ τοῦτό σοι χάριτας ἴσμεν καὶ συνεχῶς ἐπιστέλλειν βουλόμεθα, ἀλλ' οὐ δυνάμεθα, ὁσάκις ἂν βουλώμεθα, γράφομεν δὲ ὁσάκις ἂν δυνώμεθα. Οἶσθα γὰρ καὶ τὴν ἀπὸ τοῦ χειμῶνος καὶ τὴν ἀπὸ τῶν ληστρικῶν ἐφόδων γινομένην ἐν ταῖς ὁδοῖς δυσκολίαν.

Μὴ τοίνυν νομίσῃς ῥᾳθυμεῖν ἡμᾶς, ὅταν μακρὰν σιγήσωμεν σιγήν, ἀλλὰ τῇ σπάνει τῶν γραμματηφόρων τοῦτο λογίζου, μὴ τῇ ὀλιγωρίᾳ τῇ ἡμετέρᾳ. Ὡς, εἴ γε δυνατὸν ἦν συνεχέστερον ἐπιστέλλειν, οὐκ ἂν ὠκνήσαμεν πυκνὰ πέμποντές σοι γράμματα. Ἡμῖν γὰρ ἑαυτοῖς ἐχαριζόμεθα, τὴν ὀφειλομένην σοι πρόσρησιν συνεχέστερον ἀποδιδόντες.

Ταῦτ' οὖν εἰδώς, γράφε ἡμῖν συνεχῶς καὶ αὐτὸς τὰ περὶ τῆς

ἀνέθεσες σὲ ἄλλους, καὶ φρόντισες ὄχι νὰ γίνει γρήγορα, ἀλλὰ νὰ γίνει τοῦτο ἐξαίρετο, αὐτὸ μοῦ ἔκανε νὰ ἐκπλαγῶ περισσότερο γιὰ τὴ διάθεσή σου πρὸς ἐμένα. Γι' αὐτὸ σοῦ ἐκφράζω τὶς εὐχαριστίες μου καὶ σὲ κατηγορῶ γιὰ ἕνα μόνο, ὅτι αὐτὸ ποὺ ἦταν πιὸ σημαντικὸ γιὰ μένα, αὐτὸ δὲν μοῦ τὸ ἔστειλες μὲ τὰ γράμματα, ἐννοῶ τὰ εὐχάριστα νέα τῆς ὑγείας σου. Καὶ ὅπως τώρα μπῆκα σὲ ἀγωνία, μὴ γνωρίζοντας τὴν κατάσταση τῆς ἀρρώστιας σου, ἔτσι, ἐὰν μοῦ στείλεις τὸ ταχύτερο γράμματα ποὺ νὰ μοῦ ἀναγγέλλουν ὅτι ἔπαυσε ἡ νόσος, θὰ μὲ χαροποιήσεις πάρα πολύ.

Γνωρίζοντας λοιπὸν πόσο πολὺ ἐπιθυμῶ νὰ μάθω ὅτι συνῆλθες ἀπὸ τὴν ἀσθένεια αὐτή, χάρισέ μου αὐτὴ τὴ χαρά, ἡ ὁποία στὴν τραχύτατη αὐτὴ ἐρημιὰ καὶ πολιορκία θὰ μοῦ προσφέρει ὄχι λίγη παρηγοριά.

35

ΣΤΟΝ ΑΛΦΙΟ

Εἴθε ὁ Θεὸς νὰ σοῦ δώσει τὸ μισθὸ καὶ στὴν παροῦσα ζωὴ καὶ στὸ μέλλοντα αἰώνα γιὰ τὴ γνήσια καὶ θερμή σου πρὸς ἐμένα ἀγάπη, τὴν εἰλικρινῆ καὶ ἀνυπόκριτη, τὴν ἀμετακίνητη καὶ ἀμετάβλητη. Γιατὶ δὲν ἔδειξες μικρὰ δείγματα τῆς πρὸς ἐμένα διαθέσεώς σου, κύριέ μου ἐντιμότατε καὶ εὐγενέστατε, καὶ αὐτὸ ἐνῶ βρίσκεσαι σὲ τόση ἀπόσταση, ἀλλὰ καὶ πολλὰ καὶ μεγάλα. Γι' αὐτὸ σοῦ χρεωστῶ χάρη καὶ θέλω νὰ σοῦ γράφω συνεχῶς, ἀλλὰ δὲν μπορῶ κάθε φορὰ ποὺ θὰ ἤθελα, γι' αὐτὸ σοῦ γράφω κάθε φορὰ ποὺ μπορῶ. Γνωρίζεις ἄλλωστε τὴ δυσκολία ποὺ δημιουργεῖται καὶ ἀπὸ τὸν χειμώνα καὶ ἀπὸ τὶς ληστρικὲς ἐπιθέσεις στοὺς δρόμους.

Μὴ νομίσεις λοιπὸν ὅτι τεμπελιάζω, ὅταν τηρῶ σιγὴ ἐπὶ πολὺ διάστημα, ἀλλὰ νὰ τὸ καταλογίζεις αὐτὸ στὴν ἔλλειψη γραμματοκομιστῶν καὶ ὄχι στὴν ὀλιγωρία τὴ δική μου, καὶ ὅτι, ἂν ἦταν δυνατὸ νὰ σοῦ γράφω πιὸ συχνά, δὲν θὰ ἀδιαφοροῦσα νὰ σοῦ στέλνω πυκνὰ γράμματα. Γιατὶ θὰ χαιρόμουν ἐγὼ ὁ ἴδιος, ἂν σοῦ ἀνταπέδιδα τὸν ὀφειλόμενο χαιρετισμὸ πιὸ συχνά.

Γνωρίζοντας λοιπὸν αὐτά, γράφε μου συνεχῶς καὶ σὺ γιὰ τὴν

ὑγιείας τῆς σῆς. Ὅπερ ἔφης ἀπεσταλκέναι ἡμῖν, τοῦτο οὐδεὶς ἐκόμισεν ἐνταῦθα, ἀλλ' ὑπέστρεψεν ὁ ἔχων διὰ τὸν τῶν ληστῶν φόβον. Πλὴν παρακαλοῦμέν σε μὴ ποιεῖν τοῦτο, μηδὲ δυσκολίας σαὐτῷ παρέχειν καὶ πράγματα. Τὰ γὰρ μεγάλα σου δῶρα, τὸ γνήσιόν σου καὶ θερμὸν τῆς διαθέσεως, οὗ διηνεκῶς ἀπολαύοντες, ἐντρυφῶμεν ἀεὶ τῇ μνήμῃ τῆς σῆς ἀγάπης.

ΛϚ'

ΜΑΡΩΝΙ ΠΡΕΣΒΥΤΕΡΩι ΚΑΙ ΜΟΝΑΖΟΝΤΙ

Ἡμεῖς τῇ μὲν ἀγάπῃ συνδεδέμεθά σοι καὶ τῇ διαθέσει καὶ ὡς παρόντα σε ἐνταῦθα οὕτως ὁρῶμεν. Τοιοῦτοι γὰρ τῆς ἀγάπης οἱ ὀφθαλμοί· οὐχ ὁδῷ διακόπτονται, οὐ χρόνῳ μαραίνονται. Ἐβουλόμεθα δὲ καὶ συνεχέστερον ἐπιστέλλειν τῇ εὐλαβείᾳ σου, ἀλλ' ἐπειδὴ τοῦτο οὐκ ἔνι ῥᾴδιον διὰ τὴν τῆς ὁδοῦ δυσκολίαν καὶ τὴν ἀπορίαν τῶν ὁδοιπόρων, ἡνίκα ἂν ἐξῇ προσαγορεύομέν σου τὴν τιμιότητα, καὶ δῆλόν σοι ποιοῦμεν, ὅτι διηνεκῶς ἐπὶ μνήμης σε ἔχομεν, ἐν τῇ ψυχῇ τῇ ἡμετέρᾳ περιφέροντες, ὅπουπερ ἂν ὦμεν.

Δήλου τοίνυν καὶ αὐτὸς ἡμῖν συνεχέστερον τὰ περὶ τῆς ὑγιείας τῆς σῆς, ἵνα, καὶ τῷ σώματι κεχωρισμένοι, μανθάνοντες συνεχῶς τὰ περὶ τῆς ῥώσεως τῆς σῆς, εὐθυμότεροι γινώμεθα καὶ πολλὴν ἐν ἐρημίᾳ καθήμενοι δεχώμεθα τὴν παράκλησιν. Οὐ μικρὰν γὰρ ἡμῖν εὐφροσύνην κομίζει τὸ ἀκούειν περὶ τῆς ὑγιείας τῆς σῆς. Καὶ πρὸ πάντων εὔχεσθαι ὑπὲρ ἡμῶν παρακλήθητι.

ΛΖ'

ΤΡΑΓΚΥΛΙΝΩι ΕΠΙΣΚΟΠΩι

Τὸν κύριόν μου τὸν τιμιώτατον ἐπίσκοπον Σέλευκον οἴκοθεν

---

1. Ὁ Ἄλφιος φαίνεται πὼς θὰ ἦταν ἀπὸ τοὺς εὔπορους θαυμαστὲς τοῦ ἱ. Χρυσοστόμου καὶ ἐνίσχυε τακτικὰ τὸ ἔργο του. Στὴν 21η ἐπιστολὴ εἴδαμε ὅτι ἔστειλε τὸν πρεσβύτερο Ἰωάννη στὴ Φοινίκη καὶ τοῦ ἔδωσε μάλιστα καὶ σοβαρὴ οἰκονομικὴ ἐνίσχυση γιὰ τὸ ἔργο τῆς ἱεραποστολῆς ποὺ γινόταν ἐκεῖ.

1. Ὁ ἐπίσκοπος Σέλευκος φαίνεται ὅτι, ἀπὸ τὴν μεγάλη ἀγάπη του πρὸς τὸν ἱ. Χρυσόστομο καὶ ἴσως παρακινηθεὶς καὶ ἀπὸ τὸν ἐπίσκοπο Τραγκυλῖνο ἀψηφώντας τὶς δυσμενεῖς καιρικὲς συνθῆκες καὶ τὶς δυσκολίες τοῦ δρόμου, πῆγε καὶ συνάντησε

ὑγεία σου. Αὐτὸ ποὺ εἶπες ὅτι μοῦ ἔστειλες[1], κανεὶς δὲν τὸ ἔφερε ἐδῶ. Προφανῶς αὐτὸς ποὺ τὸ εἶχε γύρισε πίσω ἐξαιτίας τοῦ φόβου τῶν ληστῶν. Ὅμως σὲ παρακαλῶ μὴ τὸ κάνεις αὐτό, οὔτε νὰ δυσκολεύεσαι καὶ νὰ δημιουργεῖς καταστάσεις στὸν ἑαυτό σου. Γιατὶ τὰ μεγάλα σου δῶρα καὶ τὴ γνησιότητα καὶ θερμότητα τῶν αἰσθημάτων σου, τὰ ὁποῖα διαρκῶς ἀπολαμβάνω, τὰ χαίρομαι πάντοτε ἐνθυμούμενος τὴν ἀγάπη σου.

36

ΣΤΟΝ ΜΑΡΩΝΑ, ΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟ ΚΑΙ ΜΟΝΑΧΟ

Ἐγὼ βέβαια εἶμαι συνδεδεμένος μαζί σου μὲ τὴν ἀγάπη καὶ τὴν ψυχικὴ διάθεση καὶ σὲ βλέπω σὰν νὰ εἶσαι παρὼν ἐδῶ. Γιατὶ τέτοια εἶναι τὰ μάτια τῆς ψυχῆς. Δὲν διακόπτονται ἀπὸ τὸ δρόμο, οὔτε μαραίνονται ἀπὸ τὸ χρόνο. Θὰ ἤθελα ὅμως νὰ γράφω συχνότερα στὴν εὐλάβειά σου, ἀλλ' ἐπειδὴ αὐτὸ δὲν εἶναι εὔκολο ἐξαιτίας τῆς δυσκολίας τοῦ δρόμου καὶ τῆς ἔλλειψης τῶν ὁδοιπόρων, ὅποτε εἶναι δυνατὸ στέλνω χαιρετισμοὺς στὴν ἐντιμότητά σου καὶ σοῦ δηλώνω ὅτι σὲ ἔχω διαρκῶς στὴ μνήμη μου καὶ σὲ περιφέρω στὴ ψυχή μου ὅπου καὶ ἂν βρίσκομαι.

Ἐνημέρωνέ μου λοιπὸν καὶ σὺ συχνότερα γιὰ τὴν ὑγεία σου, ὥστε, μολονότι εἴμαστε χωρισμένοι σωματικά, μαθαίνοντας συνεχῶς γιὰ τὴν ἀνάρρωσή σου, νὰ γίνομαι πιὸ εὔθυμος καὶ νὰ αἰσθάνομαι ἀνακούφιση ζώντας στὴν ἐρημιά. Γιατὶ δὲ μοῦ φέρνει μικρὴ χαρὰ τὸ νὰ ἀκούω γιὰ τὴν ὑγεία σου. Καὶ προπαντὸς παρακαλῶ νὰ προσεύχεσαι γιὰ μένα.

37

ΣΤΟΝ ΕΠΙΣΚΟΠΟ ΤΡΑΓΚΥΛΙΝΟ

Τὸν κύριό μου, τὸν ἐντιμότατο ἐπίσκοπο Σέλευκο[1], αὐτοπροαί-

τὸν ἐξόριστο ἐπίσκοπο Κωνσταντινουπόλεως, ἀλλὰ ἔθεσε σὲ κίνδυνο τὴν ἐπισφαλῆ, ὅπως φαίνεται, ὑγεία του. Γι' αὐτό, τώρα ποὺ ἐπιστρέφει, ὁ ἱερὸς Χρυσόστομος γρά-

μὲν ὁ περὶ ἡμᾶς ἀνέστησε πόθος, ἐντεῦθεν δὲ ὁ τῆς σῆς ἀγάπης ἔρως. Οὗτος αὐτὸν καὶ χειμῶνος κατατολμῆσαι καὶ δυσκολίας ὁδοῦ καὶ ἀρρωστίας χαλεπωτάτης ἀνέπεισεν. Ἐπαινέσας τοίνυν αὐτόν, δέσποτά μου τιμιώτατε, τοῦ φίλτρου τῆς σπουδῆς, ἀπόδος αὐτῷ τὴν ἀμοιβὴν τῆς μακρᾶς ταύτης ταλαιπωρίας, τὴν εἰωθυῖαν περὶ αὐτὸν ἀγάπην καὶ νῦν ἐπιδειξάμενος. Ἐπεὶ καὶ ἡμεῖς ὡς εἰς λιμένα αὐτὸν ἀκύμαντον εἰς τὰς σὰς παραπέμψαμεν χεῖρας, εἰδότες σου τὴν πολλὴν φιλοφροσύνην, τὴν γνησίαν ἀγάπην, τὴν θερμὴν καὶ ἀκλινῆ καὶ ἀπερίτρεπτον. Κἂν ἀφικνῆταί τις ἐκεῖθεν καὶ ῥᾴδιον γένηται, καὶ ἐπιστεῖλαι ἡμῖν παρακλήθητι τὰ περὶ τῆς ῥώσεώς σου. Εὐψύχιος γὰρ εἰς τὸ παρὸν οὐκ ἀπήντησε· διὸ οὐδὲ μαθεῖν τι δεδυνήμεθα ὧν ἔφης ἐκεῖνον ἐρεῖν πρώην ἡμῖν ἐπιστέλλων, διὰ τὸ μηδαμοῦ τὸν ἄνθρωπον φαίνεσθαι.

Ταῦτ' οὖν εἰδώς, ἐκεῖνά τε ἅπερ δι' ἐκείνου πρώην ἐδήλωσας καὶ εἴ τι πλέον ἡμᾶς γνῶναι ἀναγκαῖον, νῦν γοῦν γνωρίσαι ἡμῖν παρακλήθητι, καὶ τὰ περὶ τῆς ὑγιείας σήμαινε τῆς σῆς, τῆς σφόδρα ἡμῖν περισπουδάστου, καὶ ὑπὲρ ἧς, ἀεὶ μεριμνῶντες, ἀεὶ μανθάνειν ἐπιθυμοῦμεν.

ΛΗ'

ΥΜΝΗΤΙΩι ΑΡΧΙΗΤΡΩι

Εἰ καὶ μὴ συνεχῶς ἐπεστάλκαμεν τῇ τιμιότητί σου, ἀλλὰ συνεχῶς σε ἐπὶ μνήμης ἔχομεν, πεῖράν σου τῆς σφοδροτάτης, τῆς σπουδαίας, τῆς γνησίας φιλίας πολλὴν ἐν ἡμέραις ὀλίγιας λαβόντες. Διὰ τοῦτο καὶ τὸν κύριον μου τὸν τιμιώτατον ἐπίσκοπον Σέλευκον ὡς εἰς λιμένα τὰς σὰς παραπέμπομεν χεῖρας. Καὶ γὰρ ὑπὸ βηχὸς πολεμεῖται χαλεπωτάτης, ἣν ἡ τοῦ ἔτους ὥρα σφοδρότερον ἐπιτρίβει καὶ χαλεπωτέραν ποιεῖ.

φει πρὸς τὸν Τραγκυλίνο νὰ τὸν δεχθεῖ μὲ ὅλη τὴν ἀγάπη του καὶ νὰ τὸ περιποιηθεῖ. Ὅσο γιὰ τὴν ἀρρώστια του ποὺ ἦταν ἀκατάσχετος βήχας, τὸν παραπέμπει μὲ ἄλλη ἐπιστολή του στὸν ἀρχίατρο Ὑμνήτιο (βλ. *Ἐπιστολὴ* 38η).

ρετα τὸν διήγειρε ὁ πόθος του γιὰ μένα, ἀπὸ ἐδῶ ὅμως φάνηκε ἡ ἀφοσίωση τῆς δικῆς σου ἀγάπης. Αὐτὴ τὸν ἔπεισε νὰ περιφρονήσει καὶ τὸν χειμώνα καὶ τὴ δυσκολία τοῦ δρόμου καὶ τὴν ἐπικίνδυνη ἀρρώστια του.

Ἀφοῦ λοιπὸν τὸν ἐπαινέσεις, ἐντιμότατε δεσπότη μου, γιὰ τὴν προθυμία τῆς ἀγάπης, δῶσε του τὴν ἀμοιβὴ τῆς μεγάλης αὐτῆς ταλαιπωρίας, δείχνοντας καὶ τώρα τὴ συνηθισμένη πρὸς αὐτὸν ἀγάπη. Γιατὶ καὶ ἐγὼ τὸν παρέπεμψα στὰ δικά σου χέρια, σὰν σὲ λιμάνι ἀκύμαντο, γνωρίζοντας τὴν πολλή σου περιποιητικότητα, τὴ γνήσια ἀγάπη, τὴ θερμὴ καὶ ἀμετακίνητη καὶ ἀμετάβλητη. Καὶ ἐὰν ἔρθει κανεὶς ἀπὸ ἐκεῖ καὶ εἶναι εὔκολο, παρακαλῶ γράψε μου γιὰ τὴν ἀνάρρωσή σου. Ὁ Εὐψύχιος πρὸς τὸ παρὸν δὲν ἀπάντησε, γι' αὐτὸ καὶ δὲν μπόρεσα νὰ μάθω κάτι ἀπὸ αὐτὰ ποὺ εἶπες, γράφοντάς μου προηγουμένως, ὅτι θὰ μοῦ ἔλεγε ἐκεῖνος, ἐπειδὴ δὲ φάνηκε πουθενὰ ὁ ἄνθρωπος.

Γνωρίζοντας λοιπὸν αὐτά, παρακαλῶ τώρα νὰ μοῦ γνωρίσεις καὶ ἐκεῖνα ποὺ μοῦ ἀνάφερες προηγουμένως μὲ ἐκεῖνον καὶ ὅ,τι ἄλλο εἶναι ἀναγκαῖο νὰ μάθω καὶ πληροφόρησέ μου καὶ γιὰ τὴν ὑγεία σου, ποὺ εἶναι γιὰ μένα πολὺ σπουδαία, γιὰ τὴν ὁποία φροντίζω πάντοτε καὶ ἐπιθυμῶ πάντοτε νὰ μαθαίνω.

38

ΣΤΟΝ ΥΜΝΗΤΙΟ ΤΟΝ ΑΡΧΙΑΤΡΟ

Ἂν καὶ δὲ ἔγραψα συχνὰ στὴν ἐντιμότητά σου, ὅμως σὲ ἔχω συνεχῶς στὴ μνήμη μου, καὶ μέσα σὲ λίγες μέρες ἀπόκτησα μεγάλη πείρα τῆς πολὺ δυνατῆς, τῆς σπουδαίας, τῆς γνήσιας φιλίας σου. Γι' αὐτὸ καὶ τὸν κύριό μου τὸν ἐντιμότατο ἐπίσκοπο Σέλευκο τὸν στέλνω στὰ χέρια σου σὰν σὲ λιμάνι. Διότι ὑποφέρει ἀπὸ φοβερὸ βήχα, ποὺ ἡ ἐποχὴ τοῦ ἔτους τὸν ἐρεθίζει περισσότερο καὶ τὸν κάνει χειρότερο.

Καταμαθὼν τοίνυν, δέσποτά μου τιμιώτατε, τοῦ νοσήματος τὴν φύσιν, ἐξαρπάσαι αὐτὸν τοῦ κλυδωνίου πειράθητι, τῇ τῆς ἀρρωστίας βλάβῃ τὴν ἀπὸ τῆς ἐπιστήμης τῆς σῆς ἐπιτειχίσας δύναμιν, δι' ἧς πολλοὺς πολλάκις κινδυνεύσαντας ὑπὸ τοιούτων κυμάτων ὑποβρυχίους γενέσθαι τοῦ ναυαγίου ταχέως ἀπήλλαξας.

ΛΘ'

ΧΑΛΚΙΔΙΑ[1]

Οἶδα τὴν ἀγάπην ἣν ἔσχες περὶ ἡμᾶς ἄνωθεν καὶ ἐξ ἀρχῆς, καὶ ὅτι ἀκμάζουσαν αὐτὴν διατηρεῖς, καὶ ὅτι αὐτῇ καὶ προσθήκας ἐργάζῃ, καὶ οὐ μόνον οὐδὲν αὐτὴν εἴασας ἀμαυροτέραν γενέσθαι ἀπὸ τοῦ χωρισμοῦ καὶ τοῦ τοσούτου χρόνου, ἀλλὰ καὶ μᾶλλον αὐτὴν ἀνάπτεις. Οἶδ' ὅτι καὶ μετὰ πολλῆς δέχῃ τῆς εὐφροσύνης τὰ παρ' ἡμῶν γράμματα, καὶ ὅτι καὶ γράφουσα καὶ σιγῶσα ὁμοίως περὶ ἡμᾶς διάκεισαι, πολλὴν τοῦ πράγματος καὶ ἐν πολλῷ τῷ χρόνῳ τὴν πεῖραν εἰληφώς.

Διὸ δὴ παρακαλοῦμεν τὴν τιμότητά σου καὶ περὶ ἡμᾶς οὕτω διακεῖσθαι· πολλὰ γὰρ ἐνέχυρά σου τῆς γνησίας ἀγάπης ἔχομεν, πολλὰ ὑπομνήματα. Διὸ καὶ ἐν τῇ ψυχῇ σε διηνεκῶς περιφέρομεν, ἐγκολάψαντες ἡμῶν τῇ διανοίᾳ, καὶ τὴν μνήμην σου ἄληστον ἔχομεν, κἂν μὴ διηνεκῶς γράφωμεν, διὰ τὴν σπάνιν τῶν γραμματηφόρων ἐγκοπτόμενοι.

Ταῦτ' οὖν εἰδυῖα, κυρία μου κοσμιωτάτη καὶ εὐλαβεστάτη, γράφε καὶ αὐτὴ συνεχῶς ἡμῖν τὸ περὶ τῆς ὑγιείας τῆς σῆς. Ἡμεῖς μὲν γάρ, κἂν μὴ δεξώμεθα γράμματα, τοὺς ἐκεῖθεν ἐρχομένους συνεχῶς ἐρωτῶμεν τοῦτο, βουλόμεθα δὲ καὶ παρὰ τῆς κοσμιότητος τῆς σῆς συνεχῶς δέχεσθαι ἐπιστολάς, εὐαγγελιζομένας ἡμᾶς τὰ Οπερὶ τῆς ῥώσεως τῆς σῆς.

Ἀφοῦ ἔμαθες καλά, ἐντιμότατε δεσπότη μου, τὸ εἶδος τῆς ἀρρώστιας, προσπάθησε νὰ τὸν ἀποσπάσεις ἀπὸ τὸ κύμα, ἀπὸ τὴ βλάβη τῆς ἀρρώστιας, περιτειχίζοντάς τον μὲ τὴ δύναμη τῆς ἐπιστήμης σου, μὲ τὴν ὁποία πολλὲς φορὲς πολλοὺς ποὺ κινδύνευσαν νὰ καταποντισθοῦν ἀπὸ τέτοια κύματα, τοὺς ἀπάλλαξες ἀπὸ τὸ ναυάγιο πολὺ γρήγορα.

39

ΣΤΗ ΧΑΛΚΙΔΙΑ

Γνωρίζω τὴν ἀγάπη ποὺ εἶχες γιὰ μένα ἀπὸ παλιὰ καὶ ἐξαρχῆς, καὶ ὅτι τὴν διατηρεῖς ἀκμαία καὶ ὅτι σ' αὐτὴν κάνεις προσθῆκες καὶ ὄχι μόνο δὲν τὴν ἄφησες νὰ ἀμαυρωθεῖ ἀπὸ τὸν χωρισμὸ καὶ τὸν τόσο πολὺ χρόνο, ἀλλὰ καὶ τὴν ἀνάβεις περισσότερο. Μὲ τὴν πολλὴ πεῖρα τοῦ πράγματος ποὺ ἀπόκτησα καὶ γιὰ πολὺ χρονικὸ διάστημα, γνωρίζω ὅτι καὶ τὰ γράμματά μου τὰ δέχεσαι μὲ πολλὴ χαρὰ καὶ ὅτι εἴτε γράφεις εἴτε σιγεῖς, αἰσθάνεσαι γιὰ μένα τὸ ἴδιο.

Γι' αὐτὸ λοιπὸν παρακαλῶ τὴν ἐντιμότητά σου καὶ γιὰ μένα ἔτσι νὰ αἰσθάνεται, γιατὶ ἔχω πολλὲς ἀποδείξεις τῆς γνήσιας ἀγάπης σου καὶ πολλὲς ἀναμνήσεις. Γι' αὐτὸ καὶ σὲ περιφέρω διαρκῶς στὴν ψυχή, ἔχοντάς σε χαραγμένη στὴ σκέψη μου, καὶ τὴ μνήμη σου τὴν ἔχω ἀλησμόνητη, καὶ ἂν δὲ σοῦ γράφω συνεχῶς, μὲ ἐμποδίζει ἡ ἔλλειψη γραμματοκομιστῶν.

Γνωρίζοντας λοιπὸν αὐτά, σεμνότατη καὶ εὐλαβέστατη κυρία μου, γράφε μου καὶ σὺ συνεχῶς γιὰ τὴν ὑγεία σου. Γιατὶ ἐγώ, καὶ ἂν ἀκόμα δὲν πάρω γράμματα, ἐρωτῶ ὅσους ἔρχονται ἀπὸ ἐκεῖ συνεχῶς γι' αὐτό, θέλω ὅμως καὶ ἀπὸ τὴ σεμνότητά σου νὰ δέχομαι συνεχῶς ἐπιστολές, ποὺ νὰ μοῦ φέρνουν τὴν εὐχάριστη εἴδηση γιὰ τὴν ὑγεία σου.

Μ'

ΑΣΥΓΚΡΙΤΙΑι

Οἶδα ὅτι ἐν πολλῇ θλίψει καθέστηκας νῦν. Ἀλλ' ὥσπερ τοῦτο οἶδα, οὕτως κἀκεῖνο ἐπίσταμαι, ὅτι πολύς σε ἐκ τῶν θλίψεων τούτων ἀναμένει μισθὸς καὶ μεγάλη ἀμοιβὴ καὶ ἀντίδοσις κεῖται. Εἰ γὰρ καὶ ἀθυμία, ἀλλὰ τὴν ψυχὴν ὠφελοῦσα καὶ πολλὰ τὰ βραβεῖα προξενοῦσα.

Ταῦτ' οὖν εἰδυῖα καὶ λογιζομένη, μεγίστην ἐντεῦθεν καρποῦ τὴν παράκλησιν, μὴ τὸ ὀδυνηρὸν μόνον ὁρῶσα τῶν θλίψεων, ἀλλὰ καὶ τὸ ἐκ τούτων συναγόμενον κέρδος· καὶ γράφε συνεχῶς ἡμῖν περὶ τῆς ὑγιείας τῆς σῆς. Ἐπεὶ καὶ νῦν οὐχ ὡς ἔτυχεν ἠλγήσαμεν, ἀκούσαντές σε ἀρρωστεῖν. Διὸ καὶ σφόδρα ἐπιζητοῦμεν μανθάνειν μετὰ πολλοῦ τοῦ τάχους, εἰ ῥᾷόν σοι διετέθη τὰ τῆς ἀρρωστίας, ὥστε τῆς ἐπὶ ταύτῃ φροντίδος ἀνεθῆναι.

ΜΑ'

ΒΑΛΕΝΤΙΝΩι

Τρίτην πέμπω ταύτην ἐπιστολήν, οὐδεμίαν αὐτὸς δεξάμενος παρὰ τῆς μεγαλοπρεπείας τῆς σῆς. Ἀλλ' ὅτι μὲν μετὰ πολλῆς τῆς εὐφροσύνης ἐδέξω ἡμῶν τὰ γράμματα καὶ τὸν ἐγχειρίσαντα ταῦτα τῆς σοι προσαγούσης ἐποίησας ἀπολαῦσαι τιμῆς καὶ τὰ παρὰ σαυτοῦ πάντα εἰσήνεγκας, ἐν οἷς ἐδεῖτό σου τῆς δυνάμεως, ἔγνωμεν καὶ οὐδὲν ἡμᾶς τούτων ἔλαθεν, ἐπιστολὴν δὲ οὐδεμίαν ἐκομισάμεθα. Καὶ εἰ μὲν ἄλλος τις ἦν τῶν οὐ σφόδρα γενναίων ὁ σιωπήσας τοσοῦτον, ἐνομίσαμεν ἂν αὐτῷ πρόφασιν εἰς ἀπολογίαν εἶναι τῶν πραγμάτων τὸν ὄχλον. Ἐπειδὴ δὲ σοῦ τὸ ὑψηλὸν τῆς σῆς διανοίας ἴσμεν, τὸ θερμὸν τῆς ἀγάπης, τὸ γνήσιον, τὸ εἰλικρινές, τὸ διαρκές, τὸ μόνιμον, οὐκ ἂν δεξαίμεθα ταύτην ἀπολογίαν, οὐδ' αὖ τὸ μὴ ἐκεῖσε διατρίβειν σου τὴν θαυμασιότητα· καὶ γὰρ καὶ τοῦτο ἔγνωμεν.

---

1. Ὁ ἰ. Χρυσόστομος, ἀντιμετωπίζοντας καὶ ὁ ἴδιος προβλήματα ὑγείας, δείχνει ἰδιαίτερο ἐνδιαφέρον γιὰ τὴν ὑγεία τῶν συνεργατῶν του καὶ φίλων του, γι' αὐτὸ καὶ κάθε του ἐπιστολὴ τελειώνει μὲ τὴν ἐπίμονη παράκληση νὰ τὸν ἐνημερώνουν συ-

40

ΣΤΗΝ ΑΣΥΓΚΡΙΤΙΑ

Γνωρίζω ὅτι τώρα βρίσκεσαι σὲ πολλὴ στενοχώρια. Ἀλλὰ ὅπως γνωρίζω αὐτό, ἔτσι γνωρίζω πολὺ καλὰ καὶ ἐκεῖνο, ὅτι ἀπὸ τὶς στενοχώριες αὐτὲς σὲ περιμένει πολὺς μισθὸς καὶ ἐπιφυλάσσεται μεγάλη ἀμοιβὴ καὶ ἀνταπόδοση. Ἂν καὶ βέβαια ὑπάρχει καὶ λύπη, ὅμως αὐτὴ ὠφελεῖ τὴν ψυχὴ καὶ γίνεται πρόξενος πολλῶν βραβείων.

Γνωρίζοντας λοιπὸν καὶ ἀναλογιζόμενη αὐτά, θὰ ἔχεις μεγάλη παρηγοριὰ ἀπὸ αὐτά, μὲ τὸ νὰ μὴ βλέπεις μόνο τὸν πόνο τῶν θλίψεων, ἀλλὰ καὶ τὸ κέρδος ποὺ ἀποκομίζεις ἀπὸ αὐτές. Καὶ γράφε μου συνεχῶς γιὰ τὴν ὑγεία σου. Γιατὶ καὶ τώρα δὲν πόνεσα λίγο ὅταν ἄκουσα ὅτι εἶσαι ἄρρωστη[1]. Γι' αὐτὸ καὶ ἐπιζητῶ πολὺ νὰ μαθαίνω μὲ πολλὴ ταχύτητα, ἐὰν πῆγε πρὸς τὸ καλύτερο ἡ ἀρρώστια σου, ὥστε νὰ ἀπαλλαγῶ ἀπὸ τὴν ἀγωνία γι' αὐτήν.

41

ΣΤΟ ΒΑΛΕΝΤΙΝΟ

Εἶναι ἡ τρίτη ἐπιστολὴ ποὺ σοῦ στέλνω, χωρὶς νὰ δεχθῶ ἐγὼ καμμιὰ ἀπὸ τὴ μεγαλοπρέπειά σου. Καὶ ὅτι βέβαια μὲ πολλὴ χαρὰ δέχτηκες τὰ γράμματά μου καὶ αὐτὸν ποὺ σοῦ τὰ ἔφερε τὸν ἔκανες νὰ ἀπολαύσει τὴν τιμὴ ποὺ σοῦ ἀξίζει, καὶ ὅσα ἐξαρτῶνταν ἀπὸ σένα ὅλα τὰ πρόσφερες, ἐκεῖ ποὺ εἶχε ἀνάγκη τῆς δυνάμεώς σου, τὰ ἔμαθα καὶ τίποτα ἀπὸ αὐτὰ δὲ μοῦ διέφυγε. Ἐπιστολὴ ὅμως καμμιὰ δὲν πῆρα. Καὶ ἂν ἦταν κανένας ἄλλος ἀπὸ τοὺς ὄχι πολὺ γενναίους αὐτὸς ποὺ σιώπησε τόσον καιρό, θὰ μποροῦσα νὰ νομίσω ὅτι γι' αὐτὸν πρόφαση γιὰ δικαιολογία εἶναι τὸ πλῆθος τῶν ὑποθέσεων. Ἐπειδὴ ὅμως γνωρίζω τὴν ὑψηλὴ νοημοσύνη σου, τὴ θερμὴ ἀγάπη, τὴ γνήσια, τὴν εἰλικρινῆ, τὴ διαρκῆ, τὴ μόνιμη, δὲν θὰ δεχόμουν τέτοια δικαιολογία, οὔτε ἐπίσης ὅτι ἡ θαυμασιότητά σου δὲν διέμενε ἐκεῖ, γιατὶ κι' αὐτὸ τὸ ἔμαθα.

χνὰ γιὰ τὴν κατάσταση τῆς ὑγείας τους. Πρβλ. καὶ *Ἐπιστολὴ* 33, 47, 52, καὶ πολλὲς ἄλλες).

Ἀλλ' ἑνὶ μόνῳ καρπωσόμεθα τῆς μακρᾶς σιγῆς παραμυθίαν, εἰ βουληθείης εἰς τὸ ἐπιὸν τὸ παροφθὲν ἐν τῷ παρελθόντι χρόνῳ ἀνακτήσασθαι καὶ πέμψαι νιφάδας γραμμάτων ἡμῖν, ἀπὸ τῆς μέλι ρεούσης γλώττης τὰ περὶ τῆς ὑγιείας σοῦ τε καὶ τῆς ἀσφαλείας δηλούντων. Εἰ γὰρ καὶ ἐν ἐρημίᾳ καθήμεθα καὶ πολιορκίᾳ χαλεπῇ καὶ μυρίοις περιεστοιχίσμεθα δεινοῖς, ἀλλ' ὅμως οὐ παυόμεθα μεριμνῶντες τὴν σὴν θαυμασιότητα καὶ καθ' ἑκάστην πυνθανόμεθα ἐν τίσιν ὁρμᾷ τὰ σά.

Ἵν' οὖν μὴ παρ' ἑτέρων, ἀλλὰ καὶ παρὰ τῆς γλυκείας καὶ ποθεινοτάτης ἡμῖν διαθέσεως ταῦτα μανθάνωμεν, γράφε συνεχῶς ἡμῖν τὰ περὶ τῆς ρώσεως τῆς σῆς καὶ τὸ πᾶν ἀπειλήφαμεν, ἣν δεξώμεθα ἐπιστολὰς ταῦτα φερούσας ἡμῖν τὰ εὐαγγέλια.

ΜΒ'

ΚΑΝΔΙΔΙΑΝΩι

Πολὺ τῆς ὁδοῦ τὸ μέσον τὸ διεῖργον ἡμᾶς, ἀλλ' οὐδὲ ὁ χρόνος βρχύς, ἐξ οὗ τῆς θαυμασιότητος ἐχωρίσθημεν τῆς σῆς· καὶ τῶν πραγμάτων δὲ πολὺς ὁ περιεστὼς ἡμᾶς ὄχλος, ἐρημία χωρίου χαλεπωτάτη, πολιορκία ἀφόρητος, ἔφοδοι, καταδρομαὶ λῃστῶν, ἑτέρα στενοχωρία, ἡ τοῦ σώματος ἀρρωστία. Ἀλλ' ὅμως οὐδὲν τούτων ρᾳθυμοτέρους ἡμᾶς περὶ τὴν ἀγάπην τὴν σὴν πεποίηκεν, ἀλλ' ἀκμάζουσαν αὐτὴν καὶ ἀνθοῦσαν διατηροῦμεν, ἐπὶ διανοίας σε περιφέροντες, ὅπουπερ ἂν ὦμεν, καὶ ἄληστόν σου τὴν μνήμην ἔχοντες, καὶ τὸ εὐγενές σου τῆς ψυχῆς, τὸ ἐλευθέριον, τὸ ἄτρεπτον, τὸ ἀκλινὲς τῆς γνησιάς ἀγάπης, τὸ θερμὸν τῆς διαθέσεως ἐγκολάψαντες ἡμῶν τῇ διανοίᾳ.

Οὕτως ἐνταῦθα διάγομεν, μεγίστην παραμυθίαν τῆς τοσαύτης ἐρημίας τὴν μνήμην τῶν σῶν κατορθωμάτων ἔχοντες. Γράφε δὴ καὶ αὐτὸς ἡμῖν συνεχῶς, δέσποτά μου θαυμασιώτατε καὶ μεγαλοπρεπέστατε, τὰ περὶ τῆς ὑγιείας τῆς σῆς εὐαγγελιζόμενος. Οἶσθα γὰρ ὅπως αὐτῆς ἀντεχόμεθα (καὶ γὰρ περισπούδαστον ἡμῖν περὶ ταύτης μανθάνειν), καὶ ὅτι διπλῆν καρπωσόμεθα τὴν εὐφροσύνην, τῷ τε ἐπιστέλλειν αὐτόν, τῷ τε τοιαῦτα δέχεσθαι ἡμᾶς γράμματα παρὰ τῆς μεγαλοπρεπείας τῆς σῆς.

Μόνο μὲ ἕνα πρᾶγμα λοιπὸν θὰ βρῶ παρηγοριὰ ἀπὸ τὴ μακρόχρονη σιωπή, ἂν θελήσεις στὸ ἑξῆς νὰ ἀνακτήσεις αὐτὸ ποὺ παράβλεψες στὸ χρόνο ποὺ πέρασε καὶ μοῦ στείλεις πλῆθος γραμμάτων, ἀπὸ τὴ γλώσσα ποὺ τρέχει μέλι, ποὺ νὰ μὲ πληροφοροῦν γιὰ τὴν ὑγεία καὶ τὴν ἀσφάλειά σου. Γιατί, ἂν καὶ βρίσκομαι σὲ ἐρημιὰ καὶ πολιορκία φοβερὴ καὶ εἶμαι περιστοιχισμένος ἀπὸ μύρια δεινά, ὅμως δὲν παύω νὰ ἐνδιαφέρομαι γιὰ τὴ θαυμασιότητά σου. Καὶ κάθε μέρα ἐρωτῶ καὶ μαθαίνω, πῶς πηγαίνουν τὰ σχετικὰ μὲ σένα.

Γιὰ νὰ μὴ τὰ μαθαίνω λοιπὸν αὐτὰ ἀπὸ ἄλλους, ἀλλὰ καὶ ἀπὸ τὴ γλυκειὰ καὶ περιπόθητη γιὰ μένα ἀγάπη σου, γράφε μου συνεχῶς γιὰ τὴν ὑγεία σου. Καὶ θὰ ἔχω ἀπολαύσει τὸ πᾶν, ἐὰν δεχθῶ ἐπιστολὲς ποὺ νὰ μοῦ μεταφέρουν εὐχάριστες εἰδήσεις.

42

ΣΤΟΝ ΚΑΝΔΙΔΙΑΝΟ

Εἶναι πολλὴ ἡ ἀπόσταση τοῦ δρόμου ποὺ μᾶς χωρίζει, ἀλλὰ καὶ ὁ χρόνος ἀπὸ τότε ποὺ χωρίσθηκα ἀπὸ τὴ θαυμασιότητά σου δὲν εἶναι λίγος. Ἐπίσης πολὺ εἶναι καὶ τὸ πλῆθος τῶν περιστάσεων ποὺ μὲ περιστοιχίζουν, φοβερὴ ἐρημιὰ τοῦ χωριοῦ, πολιορκία ἀφόρητη, ἐπιθέσεις, ἐπιδρομὲς ληστῶν, ἄλλη στενοχώρια, ἢ ἀρρώστια τοῦ σώματος. Ὅμως τίποτε ἀπὸ αὐτὰ δὲ μειώνει τὴν ἀγάπη μου γιὰ σένα. Ἀντίθετα, διατηρώντας την ἀκμαία καὶ ἀνθηρή, σὲ περιφέρω μὲ τὴ σκέψη μου ὅπου καὶ ἂν εἶμαι, ἔχοντας ἀλησμόνητη τὴ θύμησή σου καὶ χαραγμένη στὴ διάνοιά μου τὴν εὐγένεια τῆς ψυχῆς σου, τὴν ἐλευθερία, τὴ σταθερότητα, τὸ ἀμετάβλητο, τὴν εὐθύτητα τῆς γνήσιας ἀγάπης καὶ τὴ θέρμη τῶν αἰσθημάτων σου.

Ἔτσι περνῶ ἐδῶ ἔχοντας μεγάλη παρηγοριὰ στὴν τόση ἐρημιὰ τὴν ἀνάμνηση τῶν κατορθωμάτων σου. Γράφε μου ὅμως καὶ σὺ συνεχῶς, θαυμασιώτατε καὶ μεγαλοπρεπέστατε δεσπότη μου, τὰ εὐχάριστα νέα τῆς ὑγείας σου. Γιατὶ γνωρίζεις πόσο μὲ ἐνδιαφέρει (πράγματι εἶναι γιὰ μένα πολὺ σημαντικὸ νὰ μαθαίνω γι' αὐτὴν) καὶ ὅτι θὰ ἔχω διπλῆ χαρὰ μὲ τὸ νὰ γράφω πρὸς ἐσένα καὶ μὲ τὸ νὰ δέχομαι γράμματα ἀπὸ τὴ μεγαλοπρέπειά σου.

ΜΓ'

ΒΑΣΣΙΑΝΗι

Αὐτὴ μὲν μακρὸν ἐσίγησας χρόνον, καὶ ταῦτα ἔχουσα τὸν κύριόν μου τὸν τιμιώτατον καὶ εὐλαβέστατον Θεόδοτον τὸν διάκονον δυνάμενον ῥᾳδίως εὑρίσκειν τοὺς ἐκεῖθεν ἐνταῦθα ἀφικνουμένους. Ἡμεῖς δὲ οὐδὲ ἐντεῦθεν ὑποπτεύομέν σου τὴν ἀγάπην, ὡς ῥᾳθυμοτέραν γεγενημένην περὶ ἡμᾶς· πολλὴν γὰρ αὐτῆς πεῖραν καὶ διὰ πολλῶν εἰλήφαμεν, καὶ ἔγνωμεν αὐτῆς τὸ λαμπρὸν καὶ εἰλικρινές, τὸ γνήσιον καὶ ἀπερίτρεπτον. Διό, κἂν γράφῃς κἂν σιγᾷς, ὁμοίως διακείμεθά σου περὶ τὴν εὐγένειαν καὶ θαρροῦμεν περὶ τῆς διαθέσεως τῆς σῆς, ὡς ἀκεραίου καὶ ἀκραιφνοῦς μενούσης. Ἀλλ' ὅμως, καὶ οὕτω διακείμνοι, σφόδρα βουλόμεθα συνεχῆ δέχεσθαι γράμματα παρ' ὑμῶν, εὐαγγελιζόμενα ἡμᾶς περὶ τῆς ὑγιείας τῆς ὑμετέρας καὶ τοῦ οἴκου ὑμῶν παντός. Ἐπειδὴ καὶ σφόδρα ταύτης ἐπιθυμοῦμεν καὶ ἀντεχόμεθα, καθάπερ καὶ αὐτὴ οἶσθα.

Ταῦτα οὖν εἰδυῖα, κυρία μου κοσμιωτάτη καὶ εὐγενεστάτη, χαρίζου τὴν χάριν ἡμῖν ταύτην, κούφην τε οὖσαν καὶ ῥᾳδίαν καὶ εὔλογον, καὶ πολλὴν ἡμῖν καὶ ἐν ἐρημίᾳ καθημένοις παρέχουσαν τὴν παραμυθίαν.

ΜΔ'

ΘΕΟΔΟΤΩι ΔΙΑΚΟΝΩι

Οἶδα καὶ αὐτός, ὅτι οὐκ ἂν ἡμῖν διὰ γραμμάτων συνεγένου, εἰ διὰ παρουσίας ἐξῆν, ἀλλὰ πάντα ἀφεὶς μεθ' ἡμῶν ἔμελλες εἶναι, εἰ μὴ κώλυμα ἦν, καὶ κώλυμα μέγιστον, καὶ ἡ τοῦ ἔτους ὥρα καὶ τῶν πραγμάτων ἡ δυσκολία καὶ τῶν ἐνταῦθα ἡ καθ' ἑκάστην ἡμέραν ἐπιτεινομένη πρὸς τὸν χεῖρον ἐρημία. Καὶ οὐδὲν δέομαι τοῦτο παρὰ σοῦ μανθάνειν. Ἐπειδὴ γὰρ ἔγνων ἅπαξ, ὅτι σφοδρὸς ἡμῶν ἐραστὴς εἶ, ἔγνων καὶ τοῦτο καλῶς.

Ἡμεῖς μὲν οὖν, καὶ μὴ ἀναμνήσαντός σου, πρὸς πάντας ἂν ἐπεστάλκαμεν· ἐθαυμάσαμεν δέ σε καὶ ταύτης τῆς περὶ ἡμᾶς φιλοστορ-

43
ΣΤΗ ΒΑΣΣΙΑΝΗ

Ἐσὺ βέβαια γιὰ πολὺ χρόνο ἐσίγησες, καὶ αὐτὸ παρὰ τὸ γεγονὸς ὅτι ἔχεις τὸν κύριό μου τὸν ἐντιμότατο καὶ εὐλαβέστατο διάκονο Θεόδοτο, ὁ ὁποῖος μπορεῖ εὔκολα νὰ βρίσκει αὐτοὺς ποὺ ἔρχονται ἀπ' ἐκεῖ ἐδῶ. Ἐγὼ ὅμως οὔτε ἀπὸ αὐτὸ ὑποπτεύομαι ὅτι ἐλαττώθηκε ἡ ἀγάπη σου γιὰ μένα, διότι ἔχω πολλὴ πεῖρα γι' αὐτὴν ἀπὸ πολλά, καὶ γνώρισα τὴ λαμπρότητα καὶ εἰλικρίνειά της, τὴ γνησιότητα καὶ τὴ σταθερότητα. Γι' αὐτό, εἴτε γράφεις εἴτε σιγεῖς, ἐγὼ αἰσθάνομαι τὸ ἴδιο γιὰ τὴν εὐγένειά σου καὶ νομίζω πὼς καὶ τὰ δικά σου αἰσθήματα παραμένουν ἀκέραια καὶ ἀκραιφνῆ. Ἀλλ' ὅμως, ἂν καὶ αἰσθάνομαι ἔτσι, θέλω πάρα πολὺ νὰ δέχομαι συχνὰ γράμματα ἀπὸ σένα, ποὺ νὰ μοῦ μεταφέρουν τὴν εὐχάριστη εἴδηση τῆς ὑγείας σου καὶ ὁλόκληρου τοῦ σπιτιοῦ σου, γιατὶ καὶ πολὺ τὴν ἐπιθυμῶ καὶ μὲ ἐνδιαφέρει, ὅπως γνωρίζεις καὶ ἡ ἴδια.

Γνωρίζοντας λοιπὸν αὐτά, κυρία μου ἐντιμότατη καὶ εὐγενέστατη, χάριζέ μου τὴ χαρὰ αὐτή, ποὺ εἶναι ἐλαφρὴ καὶ εὔκολη καὶ σὲ μένα ποὺ διαμένω στὴν ἐρημιὰ δίνει καὶ δικαιολογημένη καὶ πολλὴ παρηγοριά.

44
ΣΤΟ ΔΙΑΚΟΝΟ ΘΕΟΔΟΤΟ

Γνωρίζω καὶ ἐγώ, ὅτι δὲν θὰ ἐπικοινωνοῦσες μαζί μου μὲ γράμματα, ἂν ἦταν δυνατὴ ἡ αὐτοπρόσωπη παρουσία σου, ἀλλά, ἀφήνοντάς τα ὅλα, θὰ φρόντιζες νὰ βρεθεῖς κοντά μου, ἐὰν δὲν ὑπῆρχε κώλυμα καὶ κώλυμα πολὺ μεγάλο, καὶ ἡ ἐποχὴ τοῦ ἔτους καὶ τῶν περιστάσεων ἡ δυσκολία καὶ ἡ ἐδῶ ἐρημιά, ποὺ κάθε μέρα γίνεται χειρότερη. Καὶ δὲν ἔχω ἀνάγκη νὰ τὸ μάθω αὐτὸ ἀπὸ σένα, γιατὶ ἔμαθα μιὰ καὶ καλὴ ὅτι εἶσαι φανατικός μου φίλος, καὶ τὸ ἔμαθα αὐτὸ καλά.

Ἐγὼ βέβαια, καὶ χωρὶς νὰ μοῦ τὸ ὑπενθυμίσεις, θὰ γράφω πρὸς ὅλους. Ὅμως σὲ θαύμασα καὶ γι' αὐτὴ τὴ φιλοστοργία σου πρὸς

γίας, ὅτι καὶ τῷ τέλει τῆς ἐπιστολῆς παράκλησιν ὑπὲρ τούτου προσέθηκας. Τοῦτο γὰρ ψυχῆς σφόδρα μεριμνώσης τὰ ἡμέτερα, φροντιζούσης, κηδομένης, γνησίως ἀγαπᾶν ἐπισταμένης. Τοῖς μὲν οὖν ἄλλοις ἅπασιν ἐπέσταλκα· ἐπειδὴ δὲ καὶ τῇ κυρίᾳ μου Καρτερίᾳ πρώην ἦμεν ἐπεσταλκότες, ἔγνωμεν δὲ αὐτὴν μὴ διατρίβειν ἐκεῖσε, ἀλλὰ μακρὰν ὁδὸν ἀποδεδημηκέναι, εἰ μὲν οἷόν τε ἐκπεμφθῆναι τὰ γράμματα τὰ ἡμέτερα ἐκεῖ, καὶ τοῦτο γενέσθω, ἐὰν δοκιμάσῃς· εἰδὲ μὴ δυνατόν, τοῖς γοῦν κυρίοις μου τιμιωτάτοις καὶ εὐγενεστάτοις τοῖς περὶ Μαρκελλιανὸν συντυχὼν διαλέχθητι, ὥστε αὐτῇ, εἴ ποτε ἐπιστέλλοιεν, ἀπολογήσασθαι ὑπὲρ ἡμῶν, ὡς οὐκ ἐρρᾳθυμηκότων, οὐδὲ τὸν μεταξὺ χρόνον σεσιγηκότων, ἀλλ᾽ ὑπὸ τῆς μακρᾶς αὐτῆς ἀποδημίας κωλυθέντων συνεχέστερον ἐπιστέλλειν πρὸς αὐτήν.

ΜΕ'

ΣΥΜΜΑΧΩι ΠΡΕΣΒΥΤΕΡΩι

Οὐδὲν καινὸν οὐδὲν ἀπεικὸς τεθλιμμένην ὁδεύοντα ὁδὸν στενοχωρεῖσθαι. Τοιαύτη γὰρ τῆς ἀρετῆς ἡ φύσις, πόνων γέμει καὶ ἱδρώτων, ἐπιβουλῶν καὶ κινδύνων. Ἀλλ᾽ ἡ μὲν ὁδὸς τοιαύτη, τὰ δὲ ἐντεῦθεν στέφανοι, βραβεῖα, τὰ ἀπόρρητα ἀγαθὰ καὶ τέλος οὐκ ἔχοντα. Τούτοις τοίνυν σαυτὸν παρακάλει· καὶ γὰρ καὶ ἡ ἄνεσις καὶ ἡ θλῖψις ἡ του παρόντος παροδεύεται βίου καὶ αὐτῷ τῷ βίῳ συγκαταλύεται. Μηδὲν οὖν μηδὲ ἐκείνων φυσάτω, μηδὲ τούτων ταπεινούτω καὶ συστελλέτω. Ὁ γὰρ ἄριστος κυβερνήτης οὔτε ἐν γαλήνῃ χαυνοῦται, οὔτε ἐν χειμῶνι ταράττεται.

Ταῦτ᾽ οὖν εἰδὼς παρακάλει σαυτὸν καὶ παραμυθίαν ἐντεῦθεν καρποῦ τὴν μεγίστην. Γράφε συνεχῶς ἡμῖν τὰ περὶ τῆς ὑγιείας τῆς σῆς. Εἰ γὰρ καὶ πολλῷ τῷ μήκει τῆς ὁδοῦ διειργόμεθα καὶ πολύν σου τῆς ἐμμελείας ἀπελείφθημεν χρόνον, ἀλλ᾽ οὐ τῆς ἀγάπης, ἀλλ᾽ ἄληστον αὐτὴν ἀεὶ περιφέρομεν καὶ ἀκμάζουσαν, ὅπουπερ ἂν ὦμεν· ἐπείπερ τοιαύτη τοῦ φιλεῖν γνησίως ἡ φύσις.

ἐμένα, ὅτι στὸ τέλος τῆς ἐπιστολῆς πρόσθεσες παράκληση γι' αὐτό. Αὐτὸ εἶναι δεῖγμα ψυχῆς ποὺ μεριμνᾶ πολὺ γιὰ μένα, φροντίζει, ἐνδιαφέρεται καὶ γνωρίζει νὰ ἀγαπᾶ γνήσια. Σ' ὅλους τοὺς ἄλλους βέβαια ἔγραψα, ἐπειδὴ ὅμως καὶ στὴν κυρία μου Καρτερία ἔχω γράψει προηγουμένως καὶ πληροφορήθηκα ὅτι δὲν μένει ἐκεῖ, ἀλλὰ ὅτι ἔφυγε πολὺ μακριά, ἂν εἶναι δυνατό, νὰ σταλοῦν τὰ γράμματά μου ἐκεῖ, προσπάθησε νὰ γίνει κι' αὐτό. Ἐὰν πάλι δὲν εἶναι δυνατό, ὅταν συναντήσεις τοὺς ἐντιμότατους καὶ εὐγενέστατους κυρίους μου ποὺ εἶναι γύρω ἀπὸ τὸν Μαρκελλιανό, συζητήσε μαζί τους, ὥστε, ἐὰν ποτὲ γράψουν σ' αὐτήν, νὰ τῆς ποῦν γιὰ μένα, ὅτι δὲν ὀλιγώρησα, οὔτε ἐσίγησα στὸ διάστημα ποὺ μεσολάβησε, ἀλλ' ὅτι ἀπὸ τὴν μακρὰ αὐτὴ ἐξορία ἐμποδίσθηκα στὸ νὰ τῆς γράφω συχνά.

45

ΣΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟ ΣΥΜΜΑΧΟ

Δὲν εἶναι τίποτε τὸ νέο, οὔτε λογικὸ τὸ νὰ στεναχωριέται κανεὶς βαδίζοντας δρόμο γεμάτο δυσκολίες. Γιατὶ τέτοια εἶναι ἡ φύση τῆς ἀρετῆς· εἶναι γεμάτη κόπους καὶ ἱδρῶτες, σκευωρίες καὶ κινδύνους. Καὶ ὁ δρόμος βέβαια εἶναι τέτοιος, τὰ ὀφέλη ὅμως ἀπὸ αὐτὸν εἶναι στεφάνια, βραβεῖα καὶ ἀπερίγραπτα ἀγαθὰ ποὺ δὲν ἔχουν τέλος. Μὲ αὐτὰ λοιπὸν νὰ ἐνθαρρύνεις τὸν ἑαυτό σου, ἀφοῦ καὶ ἡ ἄνεση καὶ ἡ στενοχώρια τῆς ἐδῶ ζωῆς παρέρχονται καὶ τελειώνουν μαζὶ μὲ τὴ ζωὴ αὐτή. Τίποτε λοιπόν, οὔτε ἀπὸ ἐκεῖνα νὰ μᾶς κάνει νὰ φουσκώνουμε, οὔτε ἀπὸ αὐτὰ νὰ μᾶς ταπεινώνει καὶ νὰ μᾶς κάνει νὰ ντρεπόμαστε. Γιατὶ ὁ ἄριστος κυβερνήτης οὔτε στὴ γαλήνη ἀποχαυνώνεται, οὔτε στὴ φουρτούνα ταράσσεται.

Γνωρίζοντας λοιπὸν αὐτὰ νὰ παρηγορεῖς τὸν ἑαυτό σου καὶ νὰ ἀντλεῖς ἀπὸ αὐτὰ κουράγιο ὅσο γίνεται περισσότερο. Γράφε μου συνεχῶς γιὰ τὴν ὑγεία σου. Γιατί, ἂν καὶ ἐμποδίζομαι ἀπὸ τὴ μεγάλη ἀπόσταση τοῦ δρόμου, καὶ γιὰ πολὺ χρόνο στερήθηκα τὴ χάρη σου, δὲ συμβαίνει τὸ ἴδιο καὶ μὲ τὴν ἀγάπη σου, ποὺ περιφέρω πάντοτε μαζί μου ἀλησμόνητη καὶ ἀκμαία, ὅπου καὶ ἂν εἶμαι, γιατὶ τέτοια εἶναι ἡ φύση τῆς γνήσιας ἀγάπης.

ΜΣΤ'

ΡΟΥΦΙΝΩι

Ἐβουλόμην μὲν συνεχέστερον ἐπιστέλλειν σου τῇ εὐλαβείᾳ, ἐπειδή σε φιλῶ, καὶ σφόδρα φιλῶ, δέσποτά μου αἰδεσιμώτατε καὶ εὐλαβέστατε, καὶ ἀμφότερα ταῦτα οἶσθα καὶ αὐτός. Ἀλλ' ἐπειδὴ τὸ μὲν ἐν ἡμῖν κεῖται, τὸ δὲ οὐκ ἐν ἡμῖν, τοῦ μὲν γὰρ φιλεῖν ἡμεῖς κύριοι, τοῦ δὲ συνεχῶς ἐπιστέλλειν οὐκ ἔτι, διά τε τῆς ὁδοῦ τὴν δυσκολίαν καὶ τοῦ ἔτους τὴν ὥραν, ἐκεῖνο μὲν διηνεκῶς ποιοῦμεν, τοῦτο δὲ ἡνίκα ἂν ἐξῇ· μᾶλλον δὲ καὶ τοῦτο διηνεκῶς ποιοῦμεν. Εἰ γὰρ καὶ μὴ μέλανι μηδὲ χάρτῃ συνεχῶς ἐπιστέλλομεν, ἀλλὰ γνώμῃ καὶ διανοίᾳ· τοιοῦτον γὰρ τὸ φιλεῖν γνησίως.

ΜΖ'

ΝΑΜΑΙΑι

Τί περιέρχῃ ἀπολογίαν ζητοῦσα καὶ συγγνώμην αἰτοῦσα ὑπὲρ ὧν ἡμεῖς σε στεφανοῦμεν καὶ ἀνακηρύττομεν, ὅτι μὲν ἔγραψας, ἀποδεχόμενοι, ὅτι δὲ ὀψὲ καὶ βραδέως, ἐγκαλεῖν ἔχοντες; Ὥστε, εἰ νομίζει μεγάλα τετολμηκέναι τῷ γράψαι, τοῦτο ἀφεῖσα πρὸς τὸ ἔγκλημα τῆς βραδύτητος μελέτα, καὶ συντίθει τὴν ἀπολογίαν. Καὶ γὰρ ὅσῳπερ ἂν λέγῃς καὶ παρόντας καὶ ἀπόντας ἠγαπηκέναι γνησίως, τοσούτῳ μειζόνως αὔξεις τὴν κατηγορίαν. Εἰ μὲν γὰρ ἁπλῶς τῶν περὶ ἡμᾶς διακειμένων ἦσθα, οὐδὲν ἀπεικὸς μακρὸν χρόνον οὕτω σιγῆσαι, ἐπειδὴ δὲ οὕτω γνησίαν καὶ θερμὴν περὶ ἡμᾶς ἐπιδεδεῖχθαι ἀγάπην ἔφης, ὡς μηδὲ ἂν ἐλθεῖν παραιτήσεσθαι ὁδὸν οὕτω χαλεπὴν καὶ φόβῳ λῃστῶν τοσούτων πολιορκουμένην, εἰ μὴ τὰ τῆς ἀρρωστίας διέκοπτεν, ἕν σοι λοιπὸν ἀπολογίας λείπεται εἶδος, τὸ νιφάδας ἡμῖν πέμπειν γραμμάτων, δυναμένων τὴν ἐκ τῆς μακρᾶς σιγῆς παραμυθήσασθαι αἰτίαν. Τοῦτο δὲ ποίει, καὶ τὸ πᾶν ἀπειλήφαμεν.

46

ΣΤΟ ΡΟΥΦΙΝΟ

Ἤθελα νὰ γράφω συχνότερα στὴν εὐλάβειά σου, ἐπειδὴ σὲ ἀγαπῶ καὶ σὲ ἀγαπῶ πάρα πολύ, δεσπότη μου αἰδεσιμώτατε καὶ εὐλαβέστατε· καὶ τὰ γνωρίζεις καὶ τὰ δύο καὶ ὁ ἴδιος. Ἐπειδὴ ὅμως τὸ ἕνα ἐξαρτᾶται ἀπὸ ἐμένα, ἐνῶ τὸ ἄλλο ὄχι, διότι τοῦ νὰ σὲ ἀγαπῶ εἶμαι ἐγὼ κύριος, ὄχι ὅμως καὶ τοῦ νὰ σοῦ γράφω συνεχῶς, ἐξαιτίας τῶν δυσκολιῶν τοῦ δρόμου καὶ τῆς ἐποχῆς τοῦ ἔτους, τὸ πρῶτο βέβαια τὸ κάνω συνεχῶς, τὸ δεύτερο ὅμως ὅποτε εἶναι δυνατό. Ἢ μᾶλλον καὶ αὐτὸ τὸ κάνω διαρκῶς. Γιατί, ἂν καὶ δὲ γράφω συνεχῶς μὲ μελάνη καὶ χαρτί, γράφω ὅμως μὲ τὴ διάθεση καὶ τὴ σκέψη. Γιατὶ τέτοια εἶναι ἡ γνήσια φιλία.

47

ΣΤΗ ΝΑΜΑΙΑ

Γιατί καταφεύγεις σὲ περιστροφὲς ζητώντας δικαιολογία καὶ παρακαλώντας νὰ λάβεις συγγνώμη γιὰ πράγματα γιὰ τὰ ὁποῖα ἐγὼ σὲ στεφανώνω καὶ σὲ ἀναγνωρίζω, δεχόμενος ἀσφαλῶς ὅτι ἔγραψες, ἀλλὰ κατηγορώντας σε ὅτι ἔγραψες μὲ καθυστέρηση καὶ ὕστερα ἀπὸ πολὺ χρόνο; Ὥστε, ἐὰν νομίζεις ὅτι διέπραξες μεγάλο ἀδίκημα μὲ τὸ νὰ γράψεις, ἀφήνοντας αὐτό, σκέψου τὸ ἔγκλημα τῆς καθυστέρησης καὶ σύντασσε τὴν ἀπολογία. Γιατὶ ὅσο περισσότερο λὲς ὅτι καὶ παρόντα καὶ ἀπόντα μὲ ἀγαποῦσες εἰλικρινά, τόσο περισσότερο αὐξάνεις τὴν κατηγορία. Πράγματι, ἂν βέβαια ἦσουν ἀπὸ ἐκείνους ποὺ ἁπλῶς μὲ συμπαθοῦν, τίποτε τὸ παράλογο ποὺ ἐσίγησες ἐπὶ τόσο χρόνο. Ἐπειδὴ ὅμως εἶπες ὅτι τόσο γνήσια καὶ θερμὴ ἀγάπη ἔχεις δείξει γιὰ μένα, ὥστε δὲν θὰ δίσταζες νὰ ἔρθεις μὲ ἕνα δρόμο τόσο ἐπικίνδυνο, ποὺ πολιορκεῖται ἀπὸ τὸ φόβο τόσων ληστῶν, ἂν δὲ σὲ ἐμπόδιζε ἡ ἀσθένειά σου, ἕνα μόνο εἶδος ἀπολογίας σοῦ ὑπολείπεται, νὰ μοῦ στέλνεις πλῆθος γραμμάτων, τὰ ὁποῖα μποροῦν νὰ ἀπαλύνουν τὴν αἰτία τῆς μακρᾶς σιγῆς. Κάνε αὐτὸ καὶ τὰ διαγράφω ὅλα.

Ἐπειδὴ καὶ αὕτη χρονία ἐλθοῦσα ἡ ἐπιστολή, ἐπειδὴ θερμῆς ἔπνει τῆς ἀγάπης, καὶ τοῦ παρελθόντος χρόνου τὸ χρέος ἀπέτισεν. Πλὴν ἀλλ' αἱ λοιπαὶ μὴ μιμείσθωσαν τὴν ταύτης βραδυτῆτα. Οὕτω γὰρ καὶ αὕτη δυνήσεται δεῖξαι ὅτι οὐ δι' ὄκνον, ἀλλὰ διὰ δέος μάταιον, καθὼς καὶ αὐτὴ ἔφης, χρονία παραγέγονε, εἰ αἱ λοιπαὶ μετὰ τάχους καὶ πολλῆς παραγένοιντο τῆς συνεχείας ἡμῖν.

ΜΗ'

ΑΡΑΒΙΩι

Οἶδά σου τὴν ἀγάπην, οἶδά σου τὸ φίλτρον τὸ θερμόν, τὸ γνήσιον, τὸ εἰλικρινές, τὸ διαρκές, καὶ ὡς οὔτε δυσκολία πραγμάτων, οὔτε ὄχλος φροντίδων, οὔτε περιστάσεων πλῆθος, οὔτε χρόνου μῆκος, οὔτε ὁδοῦ διάστημα δύναται ταύτην ἀμαυροτέραν ποιῆσαι. Διὰ τοῦτο καὶ σφόδρα ἐπιθυμῶ συνεχῶς δέχεσθαι γράμματα παρὰ τῆς εὐγενείας τῆς σῆς, εὐαγγελιζόμενα ἡμᾶς περὶ τῆς ὑγιείας τῆς σῆς. Κἂν ἐγκαλῶμεν, οὐχ ὡς ῥᾳθυμοῦντι ἐγκαλοῦμεν, ἀλλ' ὡς πλειόνων ἐρῶντες ἐπιστολῶν τοιούτων.

Ταῦτ' οὖν εἰδώς, δέσποτά μου τιμιώτατε καὶ εὐγενέστατε, δίδου ταύτην ἡμῖν τὴν χάριν, κούφην τε οὖσαν καὶ εὔκολον καὶ πολλὴν ἡμῖν, καὶ ἐν ἐρημίᾳ καθημένοις, παρέχουσαν τὴν εὐφροσύνην.

ΜΘ'

ΑΛΦΙΩι

Ἐγὼ μὲν ἐβουλόμην συνεχέστερον ἐπιστέλλειν, ἡ δὲ τῶν γραμματηφόρων σπάνις οὐκ ἀφίησι τὴν ἐπιθυμίαν ταύτην εἰς ἔργον ἐλθεῖν· καὶ γὰρ ἡ τοῦ χωρίου τούτου ἐρημία καὶ ὁ τῶν Ἰσαύρων φόβος καὶ ἡ τοῦ χειμῶνος σφοδρότης οὐκ ἐπιτρέπει συνεχῶς τινας ἡμῖν ἐπιχωριάζειν. Ἀλλ' ὅμως, καὶ γράφοντες καὶ σιγῶντες, τὴν αὐτὴν ἀεὶ περὶ σὲ διάθεσιν τηροῦμεν, τὴν προθυμίαν σου καὶ τὴν σπουδὴν

Μολονότι καὶ ἡ ἐπιστολὴ αὐτὴ ἦρθε καθυστερημένα, ἐπειδὴ ἦταν γεμάτη θερμὴ ἀγάπη, ἐξαγόρασε καὶ τοῦ περασμένου χρόνου τὴν ὀφειλή. Οἱ ἄλλες ὅμως νὰ μὴ μιμηθοῦν τὴν καθυστέρηση αὐτῆς. Γιατὶ μόνο ἔτσι θὰ μπορέσει νὰ δείξει καὶ αὐτὴ ὅτι ὄχι ἀπὸ ὀκνηρία, ἀλλὰ ἀπὸ ἀδικαιολόγητο φόβο, ὅπως ἡ ἴδια εἶπες, καθυστέρησε νὰ ἔρθει, ἐὰν οἱ ἄλλες ἔρχονται σὲ μένα μὲ ταχύτητα καὶ πολλὴ συχνότητα.

48

ΣΤΟΝ ΑΡΑΒΙΟ

Γνωρίζω τὴν ἀγάπη σου καὶ τὴν ἀφοσίωσή σου τὴ θερμή, τὴ γνήσια, τὴν εἰλικρινῆ, τὴ διαρκῆ καὶ ὅτι οὔτε ἡ δυσκολία τῶν καταστάσεων, οὔτε οἱ ἄπειρες φροντίδες, οὔτε τὸ πλῆθος τῶν περιστάσεων, οὔτε τὸ μεγάλο χρονικὸ διάστημα, οὔτε τὸ μῆκος τοῦ δρόμου μποροῦν νὰ τὴν ἐπισκιάσουν. Γι' αὐτὸ καὶ ἐπιθυμῶ πάρα πολὺ νὰ δέχομαι συνεχῶς γράμματα ἀπὸ τὴν εὐγένειά σου, ποὺ νὰ μοῦ μεταφέρουν τὴν εὐχάριστη εἴδηση τῆς ὑγείας σου. Καὶ ἂν σὲ κατηγορῶ, δὲν σὲ κατηγορῶ γιὰ ὀκνηρία, ἀλλ' ἐπειδὴ λαχταρῶ περισσότερα τέτοια γράμματα.

Γνωρίζοντας λοιπὸν αὐτά, δεσπότη μου ἐντιμότατε καὶ εὐγενέστατε, κάνε μου αὐτὴ τὴ χάρη, ποὺ εἶναι ἐλαφριὰ καὶ εὔκολη καὶ δίνει μεγάλη χαρὰ σὲ μένα ποὺ διαμένω στὴν ἐρημιά.

49

ΣΤΟΝ ΑΛΦΙΟ

Ἐγὼ βέβαια ἤθελα νὰ γράφω πιὸ συχνά, ἀλλὰ ἡ ἔλλειψη γραμματοκομιστῶν δὲν ἀφήνει τὴν ἐπιθυμία αὐτὴ νὰ γίνει ἔργο, γιατὶ ἡ ἐρημιὰ τοῦ χωριοῦ αὐτοῦ καὶ ὁ φόβος τῶν Ἰσαύρων καὶ ἡ δριμύτητα τοῦ χειμώνα δὲν ἐπιτρέπουν σὲ κάποιους νὰ μᾶς ἐπισκέπτονται συχνά. Ὅμως, καὶ ὅταν γράφω καὶ ὅταν σιγῶ, διατηρῶ τὰ ἴδια αἰσθήματα γιὰ σένα μαθαίνοντας τὴν προθυμία σου καὶ τὴ διάθεση ποὺ

μανθάνοντες, ἣν ὑπὲρ τῆς ὠφελείας τῆς σῆς ἔχεις ψυχῆς, τούς τε ἐν εὐλαβείᾳ ζῶντας ἀναπαύειν ἐσπουδακὼς καὶ τὴν καλὴν ταύτην πραγματευόμενος πραγματείαν.

Ταῦτ' οὖν εἰδώς, κύριέ μου τιμιώτατε καὶ εὐλαβέστατε, συνεχῶς ἡμῖν ἐπίστελλε τὰ περὶ τῆς σῆς ὑγιείας καὶ τοῦ οἴκου σου παντός. Οὕτω γάρ, καὶ ἐν ἐρημίᾳ ὄντες, πολλὴν ἕξομεν τὴν εὐφροσύνην, εἰ τοιαῦτα παρὰ τῆς σῆς τιμιότητος δεχόμεθα γράμματα.

Ν'

ΔΙΟΓΕΝΕΙ

Τὸ γνήσιόν σου τῆς ἀγάπης τῆς περὶ ἡμᾶς ᾔδειμεν μὲν καὶ ἔμπροσθεν, πολλῷ δὲ πλέον ἔγνωμεν νῦν, ὅτε, τοσοῦτον τοῦ χειμῶνος ἀρθέντος, οὐ μόνον οὐδὲν ῥᾳθυμότερος, ἀλλὰ καὶ πολλῷ σπουδαιότερος περὶ ἡμᾶς γεγονώς, μείζω τὴν στοργὴν ἐνεδείξω. Διὰ ταῦτά σε θαυμάζομεν, διὰ ταῦτα καθ' ἑκάστην ἡμέραν ἀνακηρύττοντες οὐ παυόμεθα. Τὸν μὲν γὰρ ἄφατον τούτων μισθὸν λήψῃ παρὰ τοῦ φιλανθρώπου Θεοῦ, τοῦ ταῖς ἀντιδόσεσιν ἐκ πολλοῦ τοῦ περιόντος νικῶντος ἀεὶ τοὺς ἀγαθόν τι ποιοῦντας ἢ λέγοντας, ἡμεῖς δέ σε οἷς ἔχομεν ἀμειβόμεθα, θαυμάζοντές σε, ἐπαινοῦντες, μακαρίζοντες οὐ διαλιμπάνομεν, φιλοῦντες, αἰδούμενοι, τιμῶντες, ἐν διανοίᾳ πανταχοῦ περιφέροντες, ἡνωμένοι σοι καὶ συνδεδεμένοι τῷ τῆς ἀγάπης νόμῳ.

Ὅτι γάρ σου τῶν σφοδροτάτων ἀεὶ γεγόναμεν ἐραστῶν, οἶσθα καὶ αὐτὸς σαφῶς, δέσποτά του αἰδεσιμώτατε καὶ θαυμασιώτατε. Διὸ παρακαλῶ τῶν ἀποσταλέντων ἕνεκα μηδὲν ἀλγῆσαι πρὸς ἡμᾶς. Τρυγήσαντες γὰρ καὶ καρπωσάμενοι τὴν ἐξ αὐτῶν τιμήν, αὐτὰ ἀπεστάλκαμεν οὐκ ἐξ ὀλιγωρίας, οὐδὲ ἐκ τοῦ μὴ θαρρεῖν σου τῇ εὐγενείᾳ, ἀλλὰ διὰ τὸ μὴ καθεστάναι ἐν χρείᾳ, ὃ δὴ καὶ ἐφ' ἑτέρων πολλῶν πεποιήκαμεν. Καὶ γὰρ καὶ ἕτεροι πολλοὶ καὶ τῆς σῆς εὐγε-

---

1. Σὲ πολλὲς ἐπιστολὲς τοῦ ἱ. Χρυσοστόμου εἶναι φανερὲς οἱ δυσκολίες ποὺ συναντᾶ στὴν ἐξασφάλιση τῶν ἀναγκαίων γιὰ τὴ συντήρησή του τροφίμων, φαρμάκων κλπ. (βλ. *Ἐπιστολὴ* 105, 143, 146 κ.ἀ.). Ὡστόσο, ὅταν τοῦ στέλνουν οἱ φίλοι καὶ

ἔχεις γιὰ τὴν ὠφέλεια τῆς ψυχῆς σου, φροντίζοντας νὰ ξεκουράζεις ὅσους ζοῦν μὲ εὐλάβεια καὶ κάνοντας ἔργο τὴν καλὴ αὐτὴ ἐνασχόληση.

Γνωρίζοντας αὐτά, ἐντιμότατε καὶ εὐλαβέστατε κύριέ μου, γράφε μου συνεχῶς γιὰ τὴν ὑγεία τὴ δική σου καὶ ὁλόκληρου τοῦ σπιτιοῦ σου. Γιατὶ ἔτσι, ἂν καὶ διαμένω στὴν ἐρημιά, θὰ ἔχω πολλὴ χαρά, παίρνοντας ἀπὸ τὴν ἐντιμότητά σου τέτοια γράμματα.

50

ΣΤΟ ΔΙΟΓΕΝΗ

Τὴ γνησιότητα τῆς ἀγάπης σου γιὰ μένα τὴ γνώριζα βέβαια καὶ πιὸ μπροστά, τὴν ἔμαθα ὅμως πολὺ περισσότερο τώρα, ὁπότε μὲ τόση κακοκαιρία ποὺ ἔπιασε, ὄχι μόνο δὲν ἔγινες πιὸ ὀκνηρός, ἀλλὰ καὶ πολὺ πιὸ δραστήριος, δείχνοντας μεγαλύτερη στοργή. Γι' αὐτὸ σὲ θαυμάζω, γι' αὐτὸ κάθε μέρα δὲν παύω νὰ σὲ ἀνακηρύττω. Καὶ τὸν ἀνείπωτο γι' αὐτὰ μισθὸ βέβαια θὰ τὸν λάβεις ἀπὸ τὸ φιλάνθρωπο Θεό, ὁ ὁποῖος στὶς ἀνταποδόσεις ξεπερνάει πάντοτε σὲ ὑπερβολικὸ βαθμὸ ὅσους κάνουν ἢ λένε κάτι καλό. Ἐγὼ ὅμως σὲ ἀμείβω μὲ αὐτὰ ποὺ ἔχω, μὴ παραλείποντας νὰ σὲ θαυμάζω, νὰ σὲ ἐπαινῶ, νὰ σὲ μακαρίζω, νὰ σὲ ἀγαπῶ, νὰ σὲ σέβομαι, νὰ σὲ ἐκτιμῶ, νὰ σὲ περιφέρω νοερὰ παντοῦ, ἑνωμένος καὶ συνδεδεμένος μαζί σου μὲ τὸ νόμο τῆς ἀγάπης.

Τὸ ὅτι λοιπὸν ἔχω ὑπάρξει πάντοτε ἀπὸ τοὺς πιὸ ἀφοσιωμένους φίλους σου, τὸ γνωρίζεις καὶ ἐγὼ ὁ ἴδιος τὸ κάνω σαφές, δεσπότη μου αἰδεσιμώτατε καὶ θαυμασιώτατε. Γι' αὐτὸ παρακαλῶ νὰ μὴ νιώσεις θλίψη πρὸς ἐμένα ἐξαιτίας αὐτῶν ποὺ σοῦ ἀπέστειλα. Γιατί, ἀφοῦ τὰ τρύγησα καὶ πῆρα τὴν τιμὴ ἀπὸ αὐτά, τὰ ἔστειλα πίσω, ὄχι ἀπὸ ἀδιαφορία, οὔτε ἐπειδὴ δὲν εἶχα ἐμπιστοσύνη στὴν εὐγένειά σου, ἀλλὰ ἐπειδὴ δὲν τὰ εἶχα ἀνάγκη[1]. Τὸ ἴδιο ἀκριβῶς τὸ ἔκανα καὶ σὲ πολλοὺς ἄλλους. Γιατὶ καὶ ἄλλοι πολλοὶ καὶ ἰσάξιοι

συνεργάτες του δῶρα ἢ χρήματα, τὰ ἐπιστρέφει συνήθως στὸν ἀποστολέα μὲ πολλὴ λεπτότητα, ἰσχυριζόμενος ὅτι δὲν ἔχει ἀνάγκη, ἢ τὰ χρησιμοποιεῖ γιὰ τὴν ἐνίσχυση τοῦ ἱεραποστολικοῦ ἔργου (βλ. *Ἐπιστ.* 61, 232 καὶ 51).

νείας ἄξιοι καὶ σφόδρα ἡμῶν ἐκκαιόμενοι, ὡς ἔξεστί σου τῇ θαυμασιότητι μανθάνειν, τὸ αὐτὸ δὴ τοῦτο πεποιήκασι, καὶ ἤρκεσε πρὸς αὐτοὺς ἡμῖν αὕτη ἡ ἀπολογία, ἣν καὶ αὐτὸν προσέσθαι παρακαλοῦμεν. Εἰ γὰρ δὴ κατασταίημεν ἐν χρείᾳ, μετὰ πολλῆς ἀπαιτήσομεν, καθάπερ ἐξ ἰδίων, μετὰ πλείονος τῆς παρρησίας, καὶ τοῦτο ὄψει διὰ τῆς πείρας αὐτῆς.

Δεξάμενος τοίνυν αὐτά, φύλαττε μετὰ ἀκριβείας, ἵν', εἴποτε καιρὸς καλέσειεν, μετὰ τοῦ θαρρεῖν αὐτὰ ἀπαιτήσωμεν παρὰ τῆς σῆς θαυμασιότητος.

ΝΑ'

ΤΩι ΑΥΤΩι

Μετὰ τὸ γράψαι τὴν προτέραν ἐπιστολήν, ἰδὼν τὸν τιμιώτατον καὶ εὐλαβέστατον Ἀφραάτην προσηλωμένον ἡμῖν καὶ οὐκ ἀνεχόμενον οὔτε ἀπᾶραι ἐντεῦθεν καὶ ἀπειλοῦντα μήτε γράμματα δέχεσθαι παρ' ἡμῶν, εἰ μὴ ἀπολάβοιμι τὰ ἀποσταλέντα, ἐπέθηκα τύπον τῷ πράγματι σφόδρα κεχαρισμένον τῇ εὐγενείᾳ σου, καὶ τὰ ἀναπαύοντά σου τὴν ἐμμέλειαν, ὃν παρ' αὐτοῦ μαθών, κέλευσον διάκονον γενέσθαι τῆς καλῆς ταύτης οἰκονομίας. Οἶσθα γὰρ ἡλίκον ἔσται τοῦ πράγματος τὸ κέρδος καὶ διὰ τῆς παρουσίας τούτου τῆς εἰς τὴν Φοινίκην, καὶ διὰ τῆς φιλοτιμίας τῆς σῆς μεγαλοπρεπείας. Καὶ ἀμφοτέρων τούτων αὐτὸν λήψῃ τὸν μισθόν, ἅτε τοσαύτην δαψίλειαν ἐπιδεικνύμενος περὶ τοὺς ἐν Φοινίκῃ κατηχοῦντας τοὺς Ἕλληνας, καὶ περὶ τὴν οἰκοδομὴν τῶν Ἐκκλησιῶν ἐσπουδακότας, καὶ ἄνδρα τοιοῦτον ἀναστήσας καὶ πέμψας εἰς παράκλησιν αὐτῶν, καὶ μάλιστα νῦν ἐν τοσαύτῃ δυσκολίᾳ καθεστηκότων καὶ παρὰ πολλῶν πολεμουμένων.

Ἐννοήσας τοίνυν τοῦ κατορθώματος τὸν ὄγκον, μὴ ἀφῇς μηδὲ μικρὸν αὐτὸν ἀναβάλλεσθαι, ἀλλ' ἀμελλητὶ τῆς ὁδοῦ ταύτης ἅψασθαι παρασκεύασον, πολλὴν σαυτῷ διὰ τῆς καλῆς ταύτης σπουδῆς, δέσποτά μου θαυμασιώτατε, προαποτιθέμενος παρὰ τῷ φιλανθρώπῳ Θεῷ τὴν ἀμοιβήν.

---

1. Τελικὰ φαίνεται πὼς ὁ «γραμματοκομιστής» τοῦ Διογένη Ἀφραάτης ἀρνήθηκε νὰ πάρει πίσω τὴν ἐνίσχυση ποὺ ὁ Διογένης τοῦ ἔδωσε νὰ μεταφέρει στὸν Χρυ-

τῆς εὐγένειάς σου, κυριευμένοι ἀπὸ τὴ φλόγα τῆς ἀγάπης γιὰ μένα, ὅπως εἶναι δυνατὸ στὴ θαυμασιότητά σου νὰ τὸ μάθει, ἔκαναν ἀκριβῶς τὸ ἴδιο, καὶ φάνηκε ἀρκετὴ σ' αὐτοὺς ἡ ἀπολογία μου αὐτή, τὴν ὁποία παρακαλῶ καὶ σὺ νὰ δεχθεῖς. Γιατί, ἐὰν βρεθῶ σὲ ἀνάγκη, θὰ τὰ ζητήσω μὲ πολύ, μὲ πάρα πολὺ θάρρος, σὰν ἀπὸ δικά μου, καὶ αὐτὸ θὰ τὸ δεῖς στὴν ἴδια τὴν πράξη.

Ἀφοῦ τὰ λάβεις λοιπὸν αὐτά, φύλασσέ τα μὲ προσοχή, ὥστε, ἐὰν ποτὲ τὸ καλέσει ὁ καιρός, μὲ θάρρος νὰ τὰ ζητήσω ἀπὸ τὴ θαυμασιότητά σου.

51

ΣΤΟΝ ΙΔΙΟ

Ἀφοῦ ἔγραψα τὴν προηγούμενη ἐπιστολή, βλέποντας τὸν ἐντιμότατο καὶ εὐλαβέστατο Ἀφραάτη[1], ποὺ εἶναι ἀφοσιωμένος σὲ μένα καὶ δὲ δεχόταν οὔτε νὰ ἀναχωρήσει ἀπὸ ἐδῶ καὶ ἀπειλοῦσε πὼς οὔτε γράμματα θὰ δέχεται ἀπὸ μένα, ἂν δὲ κρατήσω αὐτὰ ποὺ μοῦ ἔστειλες, σκέφθηκα νὰ τὸν στείλω ὑπόδειγμα γιὰ τὴν περίσταση στὴν εὐγένειά σου πολὺ εὐάρεστο ποὺ θὰ ξεκουράζει τὴν χάρη σου. Αὐτόν, ἀφοῦ μάθεις τὰ σχετικὰ ἀπὸ τὸν ἴδιο, πρότρεψέ τον νὰ γίνει διάκονος τῆς καλῆς αὐτῆς ὑπηρεσίας. Γιατὶ γνωρίζεις πόσο θὰ εἶναι τὸ κέρδος στὴν περίσταση αὐτὴ μὲ τὴν παρουσία αὐτοῦ στὴ Φοινίκη, καὶ μὲ τὸ ζῆλο τῆς μεγαλοπρέπειάς σου. Καὶ τῶν δύο αὐτῶν ἐσὺ θὰ πάρεις τὴν ἀμοιβή, καὶ ἐπειδὴ δείχνεις τόση μεγαλοδωριὰ γι' αὐτοὺς ποὺ κατηχοῦν στὴ Φοινίκη ἐθνικοὺς καὶ πασχίζουν γιὰ τὴν οἰκοδομὴ τῶν ἐκκλησιῶν, καὶ διότι ἀνέστησες τέτοιον ἄνδρα καὶ τὸν ἔστειλες γιὰ νὰ τοὺς ἀνακουφίσει, καὶ μάλιστα ἐνῶ βρίσκονται σὲ τόση δυσκολία καὶ πολεμοῦνται ἀπὸ πολλούς.

Ἀφοῦ κατανοήσεις λοιπὸν τὸ μέγεθος τῆς ἐπιτυχίας, μὴ τὸν ἀφήσεις νὰ ἀναβάλει οὔτε γιὰ λίγο, ἀλλὰ προετοίμασέ τον χωρὶς ἀργοπορία νὰ πάρει τὸ δρόμο αὐτό, ἐξασφαλίζοντας μὲ τὴν αὐτὴ προθυμία σου, θαυμασιώτατε δεσπότη μου, μεγάλη ἀμοιβὴ ἀπὸ τὸν φιλάνθρωπο Θεό.

σόστομο, καὶ γι' αὐτὸ ὁ τελευταῖος γράφει στὸν Διογένη συνιστώντας του νὰ στείλει τὸν Ἀφραάτη στὴ Φοινίκη, ὅπου θὰ εἶναι πολύτιμος στὴ κατήχηση τῶν ἐθνικῶν.

ΝΒ'

ΑΔΟΛΙΑι

Ὅτι μὲν ἠρρώστησας, ἔγνωμεν, καὶ ὅτι χαλεπῶς ἠρρώστησας καὶ πρὸς αὐτὰς ἦλθες τοῦ θανάτου τὰς πύλας· ἀλλὰ καὶ ὅτι ἀνήνεγκας ἐκ τῆς ἀρρωστίας καὶ τοῦ κινδύνου λοιπὸν ἀπαλλαγεῖσα πρὸς ὑγείαν ὁδεύεις. Ἀλλ' οὐ παρὰ τῶν σῶν γραμμάτων ἔμαθόν τι τούτων, διὸ καὶ σφόδρα ἤλγησα, ἀλλ' ἑτέρωθεν καὶ παρ' ἑτέρων. Πλὴν ἀρκεῖ εἰς παραμυθίαν ἡμῖν τὸ τῆς ἀρρωστίας ἀπηλλάχθαι σου τὴν εὐλάβειαν. Οὐ μήν, ἐπειδὴ ἀρκεῖ, πρᾴως φέρομεν τὴν μακράν σου ταύτην σιγήν. Ἐβουλόμεθα γάρ, καθάπερ καὶ αὐτὴ οἶσθα, καὶ παραγενομένην ἐνταῦθα ἰδεῖν. Καὶ γάρ, εἰ μὴ ἀρρωστία παρενέπεσε, τὸ κωλῦον οὐδὲν ἦν. Ὅ τε γὰρ χειμὼν ὁ ἐνταῦθα ἔαρ ἡμερώτατον τέως μιμεῖται, τῶν τε Ἰσαύρων ἡ Ἀρμενία ἀπήλλακται. Ἀλλ' ὅμως οὐδὲν ἀναγκάζομεν, οὐδὲ βιαζόμεθα μὴ βουλομένην ὑπὲρ τῆς ἐνταῦθα παρουσίας. Ἀλλ' ὅπερ οὔτε Ἰσαύρων φόβος, οὔτε χειμῶνος σφοδρότης, οὔτε ὁδοῦ ταλαιπωρία, οὔτ' ἄλλο οὐδὲν κωλύει, τοῦτο αἰτοῦμεν συνεχῶς ἡμῖν ὑπάρχειν τὰ γράμματα, τὰ τῆς θερμῆς σου καὶ γνησίας διαθέσεως. Ἢν γὰρ τούτων ἀπολαύωμεν συνεχῶς, ἀπαγγελλόντων ἡμῖν τὰ περὶ τῆς ὑγιείας καὶ εὐθυμίας τῆς σῆς, οὐ τὴν τυχοῦσαν καὶ ἐντεῦθεν καρπωσόμεθα παραμυθίαν.

Ἐννοοῦσα τοίνυν ἡλίκην ἡμῖν χαριῇ χάριν, μὴ κατόκνει τοῦτο ποιεῖν. Οἶσθα γὰρ ὅπως ἀντεχόμεθά σου τῆς εὐγενείας καὶ ὅσην ἀεὶ περὶ τὴν σὴν ἐμμέλειαν ἐπεδειξάμεθα τὴν ἀγάπην.

ΝΓ'

ΝΙΚΟΛΑΩι ΠΡΕΣΒΥΤΕΡΩι

Σφόδρα ἡμᾶς ἀνεπτέρωσας καὶ πολλῆς ἐνέπλησας τῆς ἡδονῆς, δηλώσας ὅτι σοὶ πολλὴ φροντὶς τῆς Φοινίκης ἐστί, καὶ ἐκ τοσούτου καθήμενος διαστήματος, διὰ γραμμάτων ἀλείφεις τοὺς αὐτόθι, ζῆλον πληρῶν ἀποστολικόν. Διὰ ταῦτά σε θαυμάζοντες καὶ μακαρί-

52

ΣΤΗΝ ΑΔΟΛΙΑ

Ἔμαθα ὅτι ἀρρώστησες καὶ ὅτι ἀρρώστησες ἐπικίνδυνα καὶ ἔφτασες μέχρι τὶς πύλες τοῦ θανάτου, ἀλλὰ καὶ ὅτι συνῆλθες ἀπὸ τὴν ἀρρώστια καί, ἀφοῦ διέφυγες τὸν κίνδυνο, προχωρεῖς στὴν ἀνάρρωση. Ὅμως δὲν ἔμαθα τίποτε ἀπὸ αὐτὰ ἀπὸ τὰ γράμματά σου, γι' αὐτὸ καὶ πολὺ στενοχωρήθηκα, ἀλλὰ τὰ ἔμαθα μὲ ἄλλο τρόπο καὶ ἀπὸ ἄλλους. Ὡστόσο μοῦ εἶναι ἀρκετὸ γιὰ ἀνακούφιση τὸ ὅτι ἡ εὐλάβειά σου ἀπαλλάχθηκε ἀπὸ τὴν ἀρρώστια. Ὅμως, ἐπειδὴ αὐτὸ μοῦ ἀρκεῖ, δὲν σημαίνει ὅτι ἀντιμετωπίζω μὲ πραότητα τὴν μακρά σου αὐτὴ σιωπή. Γιατὶ ἤθελα, ὅπως γνωρίζεις καὶ ἡ ἴδια, νὰ σὲ δῶ καὶ ἐδῶ νὰ ἔρχεσαι. Διότι, ἐὰν δὲ μεσολαβοῦσε ἡ ἀρρώστια, δὲν ὑπῆρχε κανένα ἐμπόδιο. Καὶ ὁ χειμώνας ἐδῶ στὰ τελευταῖα μιμεῖται τὴ γλυκειὰ ἄνοιξη, καὶ ἡ Ἀρμενία ἔχει ἀπαλλαγεῖ ἀπὸ τοὺς Ἰσαύρους. Ὅμως δὲ σὲ ἀναγκάζω, οὔτε σὲ πιέζω, ἂν δὲν θέλεις, γιὰ τὴν ἐδῶ παρουσία σου. Ζητῶ ὅμως αὐτὸ ποὺ οὔτε ὁ φόβος τῶν Ἰσαύρων, οὔτε ὁ βαρὺς χειμώνας, οὔτε τοῦ δρόμου ἡ ταλαιπωρία, οὔτε τίποτε ἄλλο παρεμποδίζει, νὰ ἔχω συνεχῶς γράμματα τῆς θερμῆς καὶ ἁγνῆς σου διαθέσεως. Γιατί, ἐὰν παίρνω συνεχῶς αὐτά, ποὺ θὰ μὲ πληροφοροῦν γιὰ τὴν ὑγεία καὶ τὴν εὐθυμία σου, δὲν θὰ δοκιμάζω καὶ ἀπὸ αὐτὰ λίγη ἀνακούφιση.

Κατανοώντας λοιπὸν πόση χαρὰ θὰ μοῦ χαρίσεις, μὴ ἀμελήσεις νὰ τὸ κάνεις αὐτό. Γιατὶ γνωρίζεις πόσο προσηλωμένος εἶμαι στὴν εὐγένειά σου καὶ πόση ἀγάπη ἔδειξα πάντοτε γιὰ τὴ χάρη σου.

53

ΣΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟ ΝΙΚΟΛΑΟ

Μὲ ἀναπτέρωσες πολὺ καὶ μὲ γέμισες μὲ πολλὴ εὐχαρίστηση ἀναφέροντάς μου πῶς φροντίζεις πολὺ γιὰ τὴ Φοινίκη καὶ ὅτι, ἐνῶ βρίσκεσαι τόσο μακριά, μὲ γράμματα παροτρύνεις τοὺς ἐκεῖ, ἐκπληρώνοντας ζῆλο ἱεραποστολικό. Γι' αὐτὸ δὲν παύω νὰ σὲ θαυμά-

ζοντες οὐ διαλιμπάνομεν, ὅτι καὶ πρότερον τοὺς μοναχοὺς ἔπεμψας, καὶ ὅτι νῦν, ἐν πραγμάτων δυσκολίᾳ τοσαύτῃ, οὐ μόνον αὐτοὺς οὐκ ἀπήγαγες, ἀλλὰ καὶ μένειν αὐτοὺς ἐκέλευσας, ἀρίστου κυβερνήτου καὶ ἰατροῦ γενναίου πρᾶγμα ποιῶν. Καὶ γὰρ ἐκείνων ἕκαστος, ὁ μὲν ὅταν ἴδῃ τὰ κύματα ἐγειρόμενα, τότε μᾶλλον πολλὴν ἐπιδείκνυται τὴν σπουδήν, ὁ δὲ ὅταν τὸν πυρετὸν ἐπὶ μείζονα φλόγα διεγερθέντα, τότε πολλῇ κέχρηται τῇ τέχνῃ· καὶ αὐτὸς τοίνυν, κύριέ μου τιμιώτατε καὶ εὐλαβέστατε, ἄξια τῆς σαὐτοῦ πεποίηκας ἀρετῆς. Ὅτε τὰ πράγματα εἶδες νοσοῦντα καὶ στασιάζοντα, καὶ τότε μάλιστα ἐπιθέμενος τοῖς ἐκεῖσε διατρίβουσιν, ὥστε μὴ λειποτακτῆσαι, ἀλλ' ἐπιμεῖναι καὶ τὰ παρ' ἑαυτῶν εἰσενεγκεῖν.

Τὰ σαυτοῦ τοίνυν μιμούμενος, τόν τε κύριόν μου τὸν τιμιώτατον Γερόντιον τὸν πρεσβύτερον, εἰ ῥᾷον σχοίη καὶ πρὸς καθαρὰν ὑγείαν ἐπανέλθοι, εὐθέως κατέπειξον τῆς ἐκεῖ ἅψασθαι ὁδοῦ. Ἐπιθυμοῦμεν γὰρ αὐτὸν ἡμεῖς καὶ ἐνταῦθα παραγενόμενον ἰδεῖν, ἀλλ' ἐπειδὴ καὶ ταχύτητος καὶ πολλῆς δεῖται τῆς ἀγρυπνίας τὰ ἐκεῖσε πράγματα, ὥστε μὴ πολὺν ἐν τῇ ὁδῷ διατριβῆναι χρόνον καὶ τὸν χειμῶνα ἐπιστάντα ἀποκλεῖσαι αὐτῷ τὴν ὁδόν, παρακαλοῦμέν σου τὴν τιμιότητα αὐτόν τε ῥαΐσαντα ἐπεῖξαι ἀπελθεῖν, τόν τε γλυκύτατον καὶ ποθεινότατον Ἰωάννην τὸν πρεσβύτερον παρασκευάσαι συνεφάψασθαι τῆς ἀποδημίας αὐτῷ. Οἶσθα γὰρ καὶ αὐτὸς ὅτι νῦν μάλιστα τὰ αὐτόθι πολλῶν δεῖται τῶν διορθωσομένων, ὅσῳ ἐπὶ μεῖζον εἷρψε τὰ κακά.

Τοῦτ' οὖν ἐννοῶν καὶ εἰδὼς ἡλίκον ἐστὶ σωτηρία ψυχῆς καὶ οἷα κατώρθωταί σου τῇ τιμιότητι διὰ τῆς ἔμπροσθεν σπουδῆς, πάντα ποιῆσαι καὶ διὰ σαυτοῦ καὶ δι' ἑτέρων, ὧν ἂν οἷόν τε ᾖ, παρακλήθητι, ὥστε τὰ διορθωθέντα μεῖναι ἀκίνητα, ἑτέραν τε αὐτοῖς πολλῷ πλείονα γενέσθαι προσθήκην. Αὐτὸς μέντοι τῶν ἐνταῦθα ἐλθόντων οὐκ ἔλαττον ἡμᾶς εὔφρανας· τῇ μὲν γὰρ γνώμῃ καὶ παραγέγονας καὶ τοῖς τῆς ἀγάπης σε ὀφθαλμοῖς καὶ μὴ παρόντα σωματικῶς ἡμεῖς καθ' ἑκάστην ὁρῶμεν τὴν ἡμέραν ἐπὶ τῆς διανοίας πανταχοῦ περιφέροντες. Ἔσται δὲ ἴσως καὶ ἡ κατ' ὄψιν ἡμῖν συντυχία, ὅταν ὁ και-

1. Καὶ ἐδῶ βλέπουμε τὸ ἀνύστακτο καὶ ἀγωνιῶδες ἐνδιαφέρον τοῦ ἱεροῦ πατρὸς γιὰ τὸ ἔργο τῆς ἱεραποστολῆς στὴ Φοινίκη, φροντίζοντας νὰ στέλνει ἐκεῖ ἄνδρες δοκιμασμένους καὶ ἱκανοὺς γιὰ τὴν κατήχηση τῶν ἐθνικῶν.

ζω καὶ νὰ σὲ μακαρίζω, ἐπειδὴ καὶ προηγουμένως ἔστειλες τοὺς μοναχοὺς καὶ τώρα ποὺ ἡ κατάσταση εἶναι τόσο δύσκολη, ὄχι μόνο δὲν τοὺς ἀπέσυρες, ἀλλὰ καὶ τοὺς διέταξες νὰ παραμείνουν, ἐνεργώντας σὰν ἄριστος κυβερνήτης καὶ γενναῖος γιατρός. Γιατὶ ὁ καθένας ἀπὸ ἐκείνους, ὁ μὲν κυβερνήτης ὅταν δεῖ κύματα νὰ ὑψώνονται, τότε μᾶλλον καταβάλλει μεγαλύτερη προσπάθεια, ἐνῶ ὁ γιατρός, ὅταν δεῖ ὅτι ὁ πυρετὸς παρουσιάζει μεγαλύτερη φλόγα, τότε χρησιμοποιεῖ ὅλη τὴν τέχνη του. Καὶ σὺ λοιπόν, ἐντιμότατε καὶ εὐλαβέστατε κύριέ μου, ἐνήργησες ἀντάξια πρὸς τὴν ἀρετή σου. Ὅταν εἶδες ὅτι τὰ πράγματα νοσοῦν καὶ στασιάζουν, τότε στράφηκες μὲ περισσότερο ἐνδιαφέρον πρὸς ἐκείνους ποὺ διαμένουν ἐκεῖ, γιὰ νὰ μὴ λιποτακτήσουν, ἀλλὰ νὰ ἐπιμείνουν καὶ νὰ συνεισφέρουν ὅτι ἐξαρτᾶται ἀπὸ αὐτούς.

Μιμούμενος λοιπὸν τὰ δικά σου, καὶ τὸν κύριό μου, τὸν ἐντιμότατο πρεσβύτερο Γερόντιο, ὅταν γίνει καλύτερα καὶ ξαναβρεῖ πλήρως τὴν ὑγεία του, ἀμέσως πεῖσε τον ὁπωσδήποτε νὰ πάρει τὸ δρόμο πρὸς τὰ ἐκεῖ. Βέβαια αὐτὸν τὸν θέλω καὶ ἐγὼ νὰ ἔρθει ἐδῶ καὶ νὰ τὸν δῶ. Ἐπειδὴ ὅμως ἡ κατάσταση ἐκεῖ ἀπαιτεῖ καὶ βιασύνη καὶ πολλὴ ἐπαγρύπνηση, γιὰ νὰ μὴ χαθεῖ πολὺς χρόνος στὸ δρόμο, καὶ ἔρθει ὁ χειμώνας καὶ τοῦ ἀποκλείσει τὸ δρόμο, παρακαλῶ τὴν ἐντιμότητά σου, καὶ αὐτόν, ὅταν καλυτερέψει, νὰ τὸν πείσεις νὰ ἀναχωρήσει, ἀλλὰ καὶ τὸν γλυκύτατο καὶ πολυπόθητο πρεσβύτερο Ἰωάννη νὰ τὸν προετοιμάσεις νὰ τὸν ἀκολουθήσει στὴν ἀποδημία. Γιατὶ γνωρίζεις καὶ ὁ ἴδιος ὅτι ἡ κατάσταση ἐκεῖ περισσότερο τώρα χρειάζεται πολλοὺς νὰ τὴ διορθώσουν, ὅσο περισσότερο ἁπλώθηκαν τὰ κακά[1].

Σκεπτόμενος λοιπὸν αὐτὸ καὶ γνωρίζοντας πόσο μεγάλο πρᾶγμα εἶναι ἡ σωτηρία ψυχῆς καὶ πόσα κατόρθωσε ἡ ἐντιμότητά σου μὲ τὴν προηγούμενη βιασύνη, παρακαλῶ νὰ κάνεις τὰ πάντα καὶ σὺ ὁ ἴδιος καὶ μὲ ἄλλους, ὅσους εἶναι δυνατό, ὥστε νὰ μείνουν ἀμετακίνητα ὅσα διορθώθηκαν καὶ νὰ γίνει καὶ ἄλλη, πολὺ περισσότερη, βελτίωση σ' αὐτά. Ἐσὺ πάντως δὲν μὲ εὐχαρίστησες λιγότερο ἀπὸ αὐτοὺς ποὺ ἦρθαν ἐδῶ. Γιατὶ ὡς πρὸς τὴ διάθεσή σου καὶ ἔχεις ἔρθει, καὶ μὲ τὰ μάτια τῆς ἀγάπης καὶ χωρὶς νὰ εἶσαι παρὼν σωματικά, ἐγὼ σὲ βλέπω κάθε μέρα, περιφέροντάς σε στὴ σκέψη μου παντοῦ, καὶ ἴσως γίνει καὶ ἡ προσωπικὴ συνάντηση, ὅταν τὸ ἐπιτρέψει ὁ

ρὸς ἐπιτρέπῃ. Ὡς νῦν γε καὶ ἡμεῖς, καίτοι σφόδρα ἐπιθυμοῦμεν ἰδεῖν τὴν ἀγάπην σου καὶ περιπτύξασθαι, ἀναγκαίαν εἶναι νομίζομεν τὴν αὐτόθι σου μονήν. Εὖ γὰρ οἶδ' ὅτι οὐ παύσῃ πάντα ποιῶν καὶ πραγματευόμενος, ὥστε ἐμπλῆσαι τὴν Φοινίκην γενναίων ἀνδρῶν, καὶ τούς τε ἐκεῖ μεμενηκότας στηρίζων ἐπὶ πλέον, ὥστε μὴ ἀφέντας τὰ αὐτόθι ἐπανελθεῖν, τούς τε πλησίον ὄντας ἀναζητῶν καὶ μετὰ πολλῆς ἐκπέμπων προθυμίας, πᾶσί τε κέρδος γινόμενος μέγιστον τοῖς τε ἐγγύς, τοῖς τε μακράν, καὶ τὴν τῶν ἀρωμάτων μιμούμενος φύσιν, ἅπερ οὐ τὸν τόπον μόνον τὸν ὑποδεχόμενον αὐτά, ἀλλὰ καὶ τὸν ἀφεστηκότα ἀέρα πολλῆς ἐμπίμπλησι τῆς εὐωδίας.

ΝΔ'

ΓΕΡΟΝΤΙΩι ΠΡΕΣΒΥΤΕΡΩι

Καὶ ἤδη μὲν ἐπέσταλκά σου πρὸς τὴν εὐλάβειαν, νομίσας σε ἐν Φοινίκῃ εἶναι, καὶ νῦν δὲ ἐπιστέλλω ταὐτὰ ἅπερ καὶ ἔμπροσθεν, ὅτι νῦν μάλιστα πάντα δεῖ ποιεῖν καὶ πάσχειν, ὥστε μὴ καταλιπεῖν ἔρημον τὴν καλὴν ὑμῶν γεωργίαν, μηδὲν ἀφεῖναι διαφθαρῆναί τινα τῶν ἤδη κατορθωθέντων. Καὶ γὰρ καὶ ποιμένες, ὅταν ἴδωσι πολλὴν πάντοθεν τοῖς προβάτοις ἐπιτιθεμένην λύμην, τότε μάλιστα ἀγρυπνοῦσι καὶ διεγείρονται καὶ σφενδόνην μεταχειρίζουσι καὶ τῇ ἄλλῃ κέχρηνται τέχνῃ, ὥστε πᾶσαν τῆς ἀγέλης ἀπελάσαι βλάβην. Εἰ γὰρ πρόβατα ἄλογα πεπιστευμένος ὁ Ἰακὼβ ἔτη δεκατέσσαρα διετέλεσε δουλεύων, καὶ θάλπει καὶ ψύχει ταλαιπωρούμενος, καὶ ἀγρυπνίᾳ πολλῇ, καὶ τὴν ἐσχάτην θητείαν ἐθήτευσεν, ἐννόησον ὅσα καὶ ποιεῖν καὶ πάσχειν χρὴ τοὺς τὰ πρόβατα λογικὰ ἐμπεπιστευμένους, ὑπὲρ τοῦ μηδὲν αὐτῶν παραπολέσθαι.

Παρακαλῶ τοίνυν σου τὴν εὐλάβειαν, ὅσῳ μείζων ὁ χειμὼν καὶ πλείονα τὰ κακὰ καὶ σφοδρὰ τὰ κωλύματα καὶ πολλοὶ οἱ ἐπι-

---

1. Ἂν καὶ ἐδῶ κάνει λόγο καὶ γιὰ προηγούμενη ἐπιστολή, σώζεται μόνο αὐτὴ ἐδῶ.

καιρός. Ὅμως τώρα, ἂν καὶ ἐγὼ ἐπιθυμῶ πάρα πολὺ νὰ δῶ τὴν ἀγάπη σου καὶ νὰ τὴν ἀγκαλιάσω, θεωρῶ ὅτι εἶναι ἀπαραίτητη ἡ παραμονή σου ἐκεῖ. Γιατὶ γνωρίζω καλὰ ὅτι καὶ σὺ δὲν θὰ παύσεις νὰ κάνεις καὶ νὰ φροντίζεις τὰ πάντα, γιὰ νὰ γεμίσει Φοινίκη μὲ γενναίους ἄνδρες καὶ νὰ ἐνισχύσεις περισσότερο αὐτοὺς ποὺ ἔχουν μείνει ἐκεῖ, ὥστε νὰ μὴ ἀφήσουν τὰ ἐκεῖ καὶ ἐπιστρέψουν, καὶ ἀναζητώντας ὅσους βρίσκονται κοντὰ νὰ τοὺς στείλεις μὲ πολλὴ προθυμία, γινόμενος ἔτσι κέρδος πολὺ μεγάλο σὲ ὅλους, καὶ σ' ἐκείνους ποὺ βρίσκονται κοντὰ καὶ σ' ἐκείνους ποὺ βρίσκοντια μακριά, καὶ μιμούμενος τὴ φύση τῶν ἀρωμάτων, ποὺ δὲν γεμίζουν μὲ εὐωδιὰ μόνο τὸν τόπο ποὺ τὰ ὑποδέχεται, ἀλλὰ καὶ τὸν ἀέρα ποὺ τὰ περιβάλλει.

54

ΣΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟ ΓΕΡΟΝΤΙΟ

Ἤδη ἔγραψα πρὸς τὴν εὐλάβειά σου, νομίζοντας ὅτι βρίσκεσαι στὴ Φοινίκη, καὶ τώρα σοῦ γράφω πάλι τὰ ἴδια, αὐτὰ ποὺ σοῦ εἶχα γράψει καὶ προηγουμένως[1], ὅτι δηλαδὴ ἰδιαίτερα τώρα πρέπει νὰ κάνετε καὶ νὰ ὑποφέρετε τὰ πάντα, γιὰ νὰ μὴ ἀφήσετε ἔρημη τὴν καλὴ γῆ ποὺ καλλιεργήσατε, οὔτε νὰ ἀφήσετε νὰ καταστραφοῦν μερικὰ ἀπὸ αὐτὰ ποὺ ἔχουν ἐπιτευχθεῖ. Γιατὶ καὶ οἱ βοσκοί, ὅταν δοῦν νὰ ἐπιτίθεται ἀπὸ παντοῦ πολλὴ καταστροφή, τότε ἀγρυποῦν περισσότερο καὶ ἐξεγείρονται καὶ χρησιμοποιοῦν σφενδόνη καὶ μεταχειρίζονται κάθε ἄλλο τέχνασμα, γιὰ νὰ ἀπομακρύνουν κάθε ζημιὰ τῆς ἀγέλης. Ἐὰν δηλαδὴ ὁ Ἰακώβ, ποὺ τοῦ εἶχαν ἐμπιστευθεῖ ἄλογα πρόβατα, πέρασε δεκατέσσερα χρόνια δουλεύοντας[2] καὶ ταλαιπωρούμενος ἀπὸ τὴ ζέστη καὶ τὸ κρύο, καὶ μὲ ἐπαγρύπνηση πολλή, καὶ ἄσκησε τὴν πιὸ χειρότερη ὑπηρεσία, σκέψου πόσα πρέπει νὰ κάνουν καὶ νὰ ὑποφέρουν ἐκεῖνοι στοὺς ὁποίους ἔχουν ἐμπιστευθεῖ λογικὰ πρόβατα, γιὰ νὰ μὴ χαθεῖ κανένα ἀπὸ αὐτά.

Παρακαλῶ λοιπὸν τὴν εὐλάβειά σου, ὅσο πιὸ δριμὺς εἶναι ο χειμώνας καὶ πάρα πολλὰ τὰ κακὰ καὶ ἰσχυρὰ τὰ ἐμπόδια καὶ πολ-

2. *Γεν.* 29,15–30.

βουλεύοντες, τοσούτῳ μᾶλλον καὶ αὐτὸν διαναστῆσαι καὶ ἑτέρους παρακαλέσαι συνεφάψασθαί σου τῆς καλῆς ταύτης προνοίας καὶ μετὰ πολλοῦ τοῦ τάχους ἐπειχθῆναι παραγενέσθαι ἐκεῖσε. Καὶ γὰρ καὶ τῆς ἀποδημίας αὐτῆς οὐ μικρὸν ἕξεις μισθόν, εἰ δὲ τῆς ἀποδημίας, πολλῷ μᾶλλον εἰ τῶν ἔργων ἅψαιο καὶ σπουδὴν πολλὴν ἐπιδείξαιο. Τοῦ γὰρ οἴκοι καθῆσθαι, πολλῷ βέλτιον καὶ χρησιμώτερον τὰς τοιαύτας ἀποδημίας ἀποδημεῖν. Ἐκεῖ μὲν γὰρ ὄντα, καὶ ταῦτά ἐστιν ἔχειν ἃ νῦν ἔχεις, τὴν νηστείαν, τὰς ἀγρυπνίας, τὴν ἄλλην φιλοσοφίαν, οἴκοι δὲ καθήμενον, οὐκ ἔστι κερδᾶναι ἅπερ ἐκεῖ καθήμενόν ἐστι καρπώσασθαι, ψυχῶν σωτηρίαν τοσούτων, τὸν ἀπὸ τῶν κινδύνων μισθόν, τὴν ἀπὸ τῆς τοιαύτης προθυμίας ἀμοιβήν· ἔστι γὰρ προθυμίας ἀμοιβή.

Ἐννοῶν τοίνυν ἡλίκους σαυτῷ προαποθήσῃ στεφάνους, μηδὲν μελλήσῃς, μηδὲ ὑπερθῇ, ἀλλὰ ῥᾴσας, ἐντεῦθεν ἤδη τῆς ἀποδημίας ἅψασθαι παρακλήθητι, μηδὲν φροντίζων τῶν χρειῶν ἕνεκεν. Πάντα γὰρ εἶπον τῷ κυρίῳ μου τῷ τιμιωτάτῳ καὶ εὐλαβεστάτῳ πρεσβυτέρῳ Κωνσταντίῳ, εἴτε εἰς οἰκοδομὰς ἀναλῶσαι δέοι, εἴτε εἰς χρείας ἀδελφῶν, μετὰ πλείονος παρασχεῖν ὑμῖν τῆς δαψιλείας καὶ μετὰ πλείονος νῦν ἢ ἔμπροσθεν.

Ἔχων τοίνυν καὶ τὴν ἐκεῖθεν εὐκολίαν καὶ πρὸ πάντων τὸ πρᾶγμα ποιεῖν ἀρέσκον Θεῷ, πάντα ὄκνον ἐκβαλών, ἐπειχθῆναι ταχέως παρακλήθητι, καὶ ἐξ αὐτῆς ἡμῖν τοῦτο δήλωσον, ἵνα, καὶ ἐν ἐρημίᾳ ὄντες χαλεπῇ, πολλὴν ἐντεῦθεν καρπωσώμεθα τὴν παράκλησιν. Εἰ γὰρ μάθοιμεν ὅτι ἀπεδεδήμηκας ἐκεῖσε μετὰ τῆς γνώμης ἐκείνης, πάντα ποιῆσαι καὶ παθεῖν ὑπὲρ σωτηρίας τῶν αὐτόθι ψυχῶν παρεσκευασμένος, οὐδὲ ἐρημίαν ἡγησόμεθα οἰκεῖν ἀπὸ τῆς τοσαύτης ἡδονῆς. Ἐπιθυμοῦμεν γὰρ καὶ ἡμεῖς παραγενόμενόν σε ἰδεῖν, ἀλλ' ἐπειδὴ τοῦτο ὅπερ εἶπον ἀναγκαιότερον, καὶ δέος μήποτε ὁ χειμὼν ἀποκλείσῃ σοι τὴν ὁδὸν τὴν ἐντεῦθεν ἐκεῖσε, διὰ τοῦτό σε ἐπείγομεν καὶ παρακαλοῦμεν ταχέως ἐπειχθῆναι.

λοὶ ἐκεῖνοι ποὺ σκευωροῦν, τόσο πιὸ πολὺ καὶ ὁ ἴδιος πρέπει νὰ ἐξεγερθεῖς καὶ ἄλλους νὰ παρακαλέσεις νὰ σὲ συμπαρασταθοῦν στὴ καλὴ αὐτὴ φροντίδα, καὶ νὰ βιαστεῖτε μὲ πολλὴ ταχύτητα νὰ βρεθεῖτε ἐκεῖ. Καὶ ἀσφαλῶς γιὰ τὴν ἀποδημία αὐτὴ δὲν θὰ λάβεις μικρὸ μισθό, καὶ ἐὰν γιὰ τὴν ἀποδημία, πολλὺ περισσότερο ἐὰν προχωρήσεις στὰ ἔργα καὶ ἐπιδείξεις μεγάλη φροντίδα. Ἐξάλλου ἀπὸ τὸ νὰ κάθεσαι στὸ σπίτι πολὺ καλύτερο καὶ ὠφελιμότερο εἶναι νὰ κάνεις τέτοιες ἀποδημίες. Γιατί, ὅταν θὰ εἶσαι ἐκεῖ, μπορεῖς νὰ ἔχεις καὶ αὐτὰ ποὺ ἔχεις καὶ τώρα, τὴ νηστεία, τὶς ἀγρυπνίες καὶ τὴν ἄλλη εὐσεβῆ ζωή. Ἐνῶ καθήμενος στὸ σπίτι, δὲν ὑπάρχει τρόπος νὰ κερδήσεις, αὐτὰ ποὺ εἶναι δυνατὸν νὰ καρπωθεῖς μένοντας ἐκεῖ, τὴν σωτηρία τόσων ψυχῶν, τὸν μισθὸ ἀπὸ τοὺς κινδύνους, τὴν ἀνταμοιβὴ ἀπὸ τὴν τόση προθυμία, γιατὶ πράγματι ὑπάρχει ἀμοιβὴ προθυμίας.

Κατανοώντας λοιπὸν πόσα στεφάνια θὰ ἐξασφαλίσεις ἀπὸ τώρα γιὰ τὸν ἑαυτό σου, μὴ ἀμελήσεις, μὴ ἀναβάλεις, ἀλλὰ μόλις καλυτερεύσει ἡ ὑγεία σου παρακαλῶ ἀμέσως νὰ ξεκινήσεις τὴν ἀποδημία, χωρὶς νὰ φροντίζεις καθόλου γιὰ τὰ ἀναγκαῖα. Γιατὶ τὰ εἶπα ὅλα στὸν κύριό μου, τὸν ἐντιμότατο καὶ εὐλαβέστατο πρεσβύτερο Κωνστάντιο, εἴτε χρειασθεῖ νὰ ξοδέψει γιὰ οἰκοδομές, εἴτε γιὰ τὶς ἀνάγκες τῶν ἀδελφῶν, νὰ σᾶς τὰ παράσχει μὲ πολλὴ ἀφθονία καὶ μὲ περισσότερη ἀφθονία τώρα ἀπὸ ὅ,τι προηγουμένως.

Ἔχοντας λοιπὸν καὶ τὴν εὐκολία ἀπὸ ἐκεῖ καὶ προπαντὸς τὸ ἔργο ποὺ ἔχεις νὰ κάνεις καὶ ποὺ ἀρέσει στὸ Θεό, ἀπόβαλε κάθε ἐνδοιασμὸ καὶ δέξου τὴν παράκληση νὰ δραστηριοποιηθεῖς γρήγορα, καὶ τὴν ἴδια τὴ στιγμὴ γράψέ μού το αὐτό, ὥστε, ἂν καὶ βρίσκομαι σὲ τρομερὴ ἐρημιά, νὰ πάρω ἀπὸ αὐτὸ πολὺ κουράγιο. Γιατί, ἂν μάθαινα ὅτι ἔχεις ἀποδημήσει ἀπὸ ἐκεῖ μὲ τὴν ἀπόφαση ἐκείνη, προετοιμασμένος νὰ κάνεις καὶ νὰ ὑποστεῖς γιὰ τὴ σωτηρία τῶν ψυχῶν αὐτῶν ποὺ βρίσκονται ἐκεῖ, ἀπὸ τὴν τόση μεγάλη χαρὰ θὰ νόμιζα ὅτι δὲ διαμένω σὲ ἐρημιά. Ἐπιθυμῶ βέβαια καὶ ἐγὼ νὰ ἔρθεις γιὰ νὰ σὲ δῶ, ἀλλ' ἐπειδή, ὅπως εἶπα στὴν ἀρχή, αὐτὸ εἶναι πιὸ ἀναγκαῖο, καὶ ὑπάρχει καὶ φόβος μήπως ὁ χειμώνας σοῦ κλείσει τὸ δρόμο ἀπὸ ἐδῶ πρὸς τὰ ἐκεῖ, γι' αὐτὸ σὲ βιάζω καὶ παρακαλῶ γρήγορα νὰ σπεύσεις νὰ μεταβεῖς ἐκεῖ.

ΝΕ'

ΣΥΜΕΩΝ ΚΑΙ ΜΑΡΙ
ΠΡΕΣΒΥΤΕΡΟΙΣ ΚΑΙ ΜΟΝΑΖΟΥΣΙ ΕΝ ΤΗι ΧΩΡΑι ΑΠΑΜΕΙΑΣ

Εἰ καὶ πολλῷ διειργόμεθα τῷ τῆς ὁδοῦ διαστήματι καὶ ἐν χαλεπωτάτῃ καθήμεθα ἐρημίᾳ, ἀλλ' ὅμως μαθόντες ὑμῶν τῆς ψυχῆς τὴν ἀρετὴν καὶ τὴν πολλὴν φιλοσοφίαν, δι' ἧς τοὺς αὐτόθι πάντας καταλάμπετε, σφοδροὶ γεγόναμεν ὑμῶν ἐρασταί. Καὶ ἐπειδὴ τῆς κατ' ὄψιν ἡμῶν συντυχίας τέως ἀπολαῦσαι οὐκ ἔνι, διά τε τὴν τοῦ χειμῶνος ὥραν, διά τε τῆς ὁδοῦ τὸ μῆκος, διὰ γραμμάτων συγγενέσθαι ἐσπουδάσαμεν ὑμῖν, παρακαλοῦντες ὑμῶν τὴν εὐλάβειαν εὔχεσθαί τε ἐκτενῶς ὑπὲρ τῆς λύσεως τῶν τὴν οἰκουμένην κατειληφότων κακῶν, καὶ πάντας εἰς τοῦτο διεγείρειν μετὰ πολλῆς τῆς προθυμίας, ἡμῖν τε, ἡνίκα ἂν ἐξῇ, συνεχέστερον ἐπιστέλλειν περὶ τῆς ὑγείας τῆς ὑμετέρας, ἵνα, καὶ πόρρωθεν ὑμῶν ὄντες καὶ πρὸς αὐτὰς τῆς οἰκουμένης τὰς ἐσχατιὰς ἀπῳκισμένοι, πολλὴν καὶ ἐντεῦθεν καρπωσώμεθα τὴν παράκλησιν, συνεχέστερον τὰ περὶ τῆς ῥώσεως ὑμῶν μανθάνοντες.

Σφόδρα δὲ ἡμᾶς εὔφρανεν ὁ ποθεινότατος καὶ γλυκύτατος Ἰωάννης ὁ πρεσβύτερος, ἐν τοσαύτῃ καιρῶν δυσκολίᾳ ἑλόμενος οἴκοθεν διαναστῆναι καὶ ἅψασθαι τῆς ἐπὶ τὴν Φοινίκην ἀποδημίας. Παρακαλῶ τοίνυν, ἐννοήσαντας τοῦ κατορθώματος ἡλίκον τὸ μέγεθος, εἴ τινας εὕροιτε γενναίους ἄνδρας, δυναμένους αὐτῷ συμπρᾶξαι πρὸς τῶν κατορθωμάτων τούτων τὸ μέγεθος, πολλῇ τῇ προθυμίᾳ συναποστεῖλαι αὐτῷ παρακλήθητε, ἐννοοῦντες ἡλίκον ἐντεῦθεν καρπώσεσθε τὸν μισθόν.

ΝS'

ΡΩΜΥΛΩι ΚΑΙ ΒΥΖΩι ΜΟΝΑΖΟΥΣΙ

Ἐγὼ μὲν ἐβουλόμην ὑμᾶς καὶ ἐνταῦθα παραγενομένους ἰδεῖν

1. Παράλληλα πρὸς τὸ πολύπλευρο ἐνδιαφέρον του γιὰ τὴ ἱεραποστολὴ στὴ Φοινίκη ὁ ἱερὸς Χρυσόστομος δὲν παραλείπει νὰ συνιστᾶ στοὺς ἀποδέκτες τῶν ἐπι-

55

ΣΤΟ ΣΥΜΕΩΝ ΚΑΙ ΤΟΝ ΜΑΡΗ

ΠΡΕΣΒΥΤΕΡΟΥΣ ΚΑΙ ΜΟΝΑΧΟΥΣ ΣΤΗ ΧΩΡΑ ΤΗΣ ΑΠΑΜΕΙΑΣ

Ἂν καὶ ἐμποδίζομαι ἀπὸ τὴ μεγάλη ἀπόσταση τοῦ δρόμου καὶ βρίσκομαι σὲ πολὺ φοβερὴ ἐρημιά, ὅμως, ὅταν ἔμαθα τὴν ἀρετὴ τῆς ψυχῆς σας καὶ τὴν τόση εὐσέβειά σας, μὲ τὴν ὁποία φωτίζετε ὅλους τοὺς ἐντόπιους ἐκεῖ, ἔγινα σφοδρὸς φίλος σας. Καὶ ἐπειδὴ δὲν εἶναι δυνατὸ πρὸς τὸ παρὸν νὰ ἀπολαύσουμε τὴν προσωπικὴ συνάντησή μας, καὶ ἐξαιτίας τῆς ἐποχῆς τοῦ χειμώνα καὶ ἐξαιτίας τῆς ἀποστάσεως τοῦ δρόμου, θέλησα νὰ βρεθῶ μαζί σας μὲ γράμματα, παρακαλώντας τὴν εὐλάβειά σας νὰ προσεύχεσθε[1] πολὺ γιὰ τὴν κατάπαυση τῶν κακῶν ποὺ ἔχουν κυριέψει τὴν οἰκουμένη, καὶ νὰ διεγείρετε ὅλους μὲ πολὺ προθυμία πρὸς τοῦτο, καί, ὅταν εἶναι δυνατό, νὰ μοῦ γράφετε συχνότερα γιὰ τὴν ὑγεία σας, ὥστε, ἂν καὶ βρίσκομαι μακριὰ καὶ κατοικῶ στὶς ἴδιες τὶς ἐσχατιὲς τῆς οἰκουμένης, νὰ ἔχω καὶ ἀπὸ αὐτὰ μεγάλη ἀνακούφιση, μαθαίνοντας πιὸ συχνὰ γιὰ τὴν ὑγεία σας.

Πάρα πολὺ μὲ χαροποίησε ὁ ἀγαπητότατος καὶ γλυκύτατος πρεσβύτερος Ἰωάννης, ὁ ὁποῖος μὲ τόση δυσκολία τῶν περιστάσεων προτίμησε νὰ ξεσηκωθεῖ ἀπὸ τὸ σπίτι του καὶ νὰ ἀναλάβει τὴν ἀποδημία στὴ Φοινίκη. Παρακαλῶ λοιπόν, κατανοώντας πόσο εἶναι τὸ μέγεθος τοῦ ἐγχειρήματος, ἐὰν βρεῖτε μερικοὺς γενναίους ἄνδρες ποὺ μποροῦν νὰ τὸν βοηθήσουν στὰ σπουδαῖα αὐτὰ ἐγχειρήματα, δεχθεῖτε τὴν παράκλησή μου νὰ τοὺς στείλετε μὲ πολλὴ προθυμία μαζί του, σκεπτόμενοι πόσο μισθὸ θὰ ἔχετε ἀπὸ αὐτό.

56

ΣΤΟΥΣ ΜΟΝΑΧΟΥΣ ΡΩΜΥΛΟ ΚΑΙ ΒΥΖΟ

Ἐγὼ βέβαια ἤθελα νὰ σᾶς δῶ νὰ ἔρχεσθε καὶ ἐδῶ, γιατὶ ἀκούο-

στολῶν νὰ ἐπικαλοῦνται τὴ θεία συναρωγή, χωρὶς τὴν ὁποία κάθε προσπάθειά μας θὰ εἶναι μάταια. «Ἐὰν μὴ Κύριος φυλάξῃ πόλιν, εἰς μάτην ἠγρύπνησεν ὁ φυλάσσων» (*Ψαλμ.* 126,1).

(ἀκούων γὰρ ὑμῶν τὴν εὐλάβειαν, σφοδρὸς ὑμῶν γέγονα ἐραστής, τοῖς τῆς ἀγάπης ὀφθαλμοῖς ὑμᾶς φανταζόμενος), ἐπειδὴ δὲ τοῦτο τέως οὐκ ἔνι, καὶ διὰ τὸ τῆς ὁδοῦ μῆκος καὶ διὰ τὴν τοῦ χειμῶνος ὥραν καὶ διὰ τὸν τῶν Ἰσαύρων φόβον, διὰ τῶν γραμμάτων ἐσπούδακα ὑμῶν συγγενέσθαι τῇ τιμιότητι, δήλην ὑμῖν ποιῶν τὴν διάθεσιν, ἣν ἔχομεν πρὸς τὴν εὐλάβειαν τὴν ὑμετέραν· ἔνι γὰρ καὶ τοὺς πόρρωθεν ὄντας καὶ μὴ ὁραθέντας φιλεῖν. Τοιαύτη γὰρ τῆς ἀγάπης ἡ δύναμις· οὐ διείργεται ὁδοῦ μήκει, οὐδὲ μαραίνεται χρόνου πλήθει, οὐδὲ νικᾶται πειρασμῶν ἐπαγωγαῖς, ἀλλά, ταῦτα πάντα νικῶσα, ἀνωτέρα πάντων γίνεται καὶ πρὸς ὕψος ἄφατον αἴρεται.

Διὰ δὴ τοῦτο καὶ ἡμεῖς, ἐπειδὴ σφόδρα περὶ ὑμᾶς διακείμεθα, οὐδενὶ τούτων γεγόναμεν ῥᾳθυμότεροι, ἀλλὰ καὶ γράφομεν καὶ παρακαλοῦμεν ὑμᾶς τὰ περὶ τῆς ὑγείας τῆς ὑμετέρας δηλοῦν ἡμῖν. Οὕτω γάρ, καὶ ἐν ἐρημίᾳ διατρίβοντες, πολλὴν καρπωσόμεθα τὴν παράκλησιν, ὅταν ἀκούωμεν τοὺς οὕτω βιοῦντας καὶ τὴν στενὴν ταύτην καὶ τεθλιμμένην ὁδεύοντας ὁδὸν ὑγιαίνοντας καὶ ἐρρωμένους.

ΝΖ'

ΑΔΟΛΙΑι

Ἡμεῖς, κἂν αὐτὴ σπανιάκις ἐπιστέλλῃς, οὐ παυσόμεθα, ὁσάκις ἂν ἐπιτύχωμεν τῶν ἐντεῦθεν ἐκεῖσε ἀφικνουμένων, γράφοντες πρὸς τὴν εὐγένειαν τὴν σήν. Ἐβουλόμεθα μὲν γὰρ καὶ ἐνταῦθά σε παραγενομένην ἰδεῖν καὶ σφόδρα τοῦτο ἐπιθυμοῦμεν. Ἀλλ' ἐπειδὴ τοῦτο ἐργῶδες ἴσως κατεφάνη σου τῇ εὐγενείᾳ (τὰ γὰρ τῶν Ἰσαύρων πέπαυται παντελῶς), τὴν γοῦν ἀπὸ τοῦ γράφειν συνεχῶς τῇ τιμιότητί σου παράκλησιν οὐ παυσόμεθα παρέχοντες ἑαυτοῖς. Καὶ γάρ, ὁσάκις ἂν ἐπιτύχωμεν γραμματηφόρου ἐκεῖσε παραγινομένου, οὐ τὴν τυχοῦσαν καρπούμεθα εὐφροσύνην ἐπιστέλλοντές σου τῇ τιμιότητι.

Τοῦτ' οὖν εἰδυῖα, κυρία μου κοσμιωτάτη καὶ εὐλαβεστάτη, καὶ αὐτὴ σπουδὴν ποιεῖσθαι παρακλήθητι τοῦ συνεχῶς ἡμῖν ἐπιστέλ-

ντας τὴν εὐλάβειά σας ἔγινα φανατικὸς φίλος σας, φανταζόμενός σας μὲ τὰ μάτια τῆς ἀγάπης. Ἐπειδὴ ὅμως αὐτὸ πρὸς τὸ παρὸν δὲν εἶναι δυνατό, καὶ ἐξαιτίας τῆς ἀποστάσεως τοῦ δρόμου καὶ ἐξαιτίας τῆς ἐποχῆς τοῦ χειμώνα, καὶ ἐξαιτίας τοῦ φόβου τῶν Ἰσαύρων, φρόντισα νὰ συναντηθῶ μὲ τὰ γράμματα μὲ τὴν ἐντιμότητά σας, κάνοντάς σας φανερὰ τὰ αἰσθήματα ποὺ τρέφω πρὸς τὴν εὐλάβειά σας. Καθόσον εἶναι δυνατὸ καὶ αὐτοὺς ποὺ βρίσκονται μακριὰ καὶ δὲν τοὺς ἔχουμε δεῖ νὰ τοὺς ἀγαποῦμε. Γιατὶ τέτοια εἶναι ἡ δύναμη τῆς ἀγάπης. Δὲν ἐμποδίζεται ἀπὸ τὴν ἀπόσταση τοῦ δρόμου, οὔτε μαραίνεται ἀπὸ τὸν πολὺ χρόνο, οὔτε νικιέται ἀπὸ τὶς ἐπιθέσεις τῶν πειρασμῶν. Ἀλλά, νικώντας ὅλα αὐτά, ἀναδεικνύεται ἀνώτερη ὅλων καὶ ὑψώνεται σὲ ἀπερίγραπτο ὕψος.

Γι' αὐτὸ λοιπὸν καὶ ἐγώ, ἐπειδὴ σᾶς ἀγαπῶ πολύ, δὲν ἔγινα ἐξαιτίας κανενὸς ἀπ' αὐτὰ ὀκνηρότερος, ἀλλὰ καὶ γράφω καὶ σᾶς παρακαλῶ νὰ μὲ ἐνημερώνετε σχετικὰ μὲ τὴν ὑγεία σας. Γιατὶ ἔτσι καὶ στὴν ἐρημιὰ ζώντας θὰ ἔχω πολλὴ ἀνακούφιση, ὅταν ἀκούω ὅτι αὐτοί, ποὺ ζοῦν κατ' αὐτὸν τὸν τρόπο καὶ ἀκολουθοῦν τὸ στενὸ καὶ γεμάτο στενοχώριες δρόμο, εἶναι ὑγιεῖς καὶ δυνατοί.

57

ΣΤΗΝ ΑΔΟΛΙΑ

Ἐγώ, ἔστω καὶ ἂν σὺ σπάνια μοῦ γράφεις, δὲν θὰ παύσω, κάθε φορὰ ποὺ πετυχαίνω αὐτοὺς ποὺ ἔρχονται ἀπὸ ἐδῶ πρὸς τὰ ἐκεῖ, νὰ γράφω πρὸς τὴν εὐγένειά σου. Ἤθελα βέβαια νὰ ἐρχόσουν καὶ ἐδῶ γιὰ νὰ σὲ δῶ καὶ τὸ ἐπιθυμῶ αὐτὸ πάρα πολύ. Ἐπειδὴ ὅμως αὐτὸ ἴσως φάνηκε δύσκολο στὴν εὐγένειά σου (ἂν καὶ οἱ ἐπιδρομὲς τῶν Ἰσαύρων σταμάτησαν ἐντελῶς), ἐγὼ δὲν θὰ παύσω νὰ παρέχω στὸ ἑαυτό μου τὴν παρηγοριὰ ποὺ ἀποκομίζω ἀπὸ τὸ νὰ γράφω συνεχῶς στὴν ἐντιμότητά σου. Γιατὶ πραγματικά, κάθε φορὰ ποὺ τυχαίνει νὰ βρίσκω γραμματοκομιστὴ ποὺ ἔρχεται πρὸς τὰ ἐκεῖ, δὲν ἀποκομίζω λίγη εὐχαρίστηση γράφοντας στὴν ἐντιμότητά σου.

Γνωρίζοντας λοιπὸν αὐτό, σεμνοτάτη καὶ εὐλαβεστάτη κυρία μου, παρακαλῶ καὶ σὺ ἡ ἴδια νὰ φροντίζεις νὰ μοῦ γράφεις συνεχῶς·

λειν τὰ περὶ τῆς ὑγείας τῆς σῆς καὶ εὐθυμίας. Ὥσπερ γὰρ τῆς ἀποδημίας ἕνεκεν οὐδὲν ἐγκαλοῦμεν διὰ τὸ δόξαι δυσκολίαν ἔχειν τὸ πρᾶγμα, οὕτω τῆς σιγῆς ἕνεκεν τῆς μακρᾶς οὐ παυσόμεθα αἰτιώμενοι, διὰ τὸ σφόδρα ἐπιθυμεῖν συνεχῶς μανθάνειν τὰ περὶ τῆς ῥώσεως τῆς σῆς καὶ οἴκου σου παντός.

ΝΗ'

ΘΕΟΔΟΣΙΩι ΑΠΟ ΔΟΥΚΩΝ

Πολλοῦ τοῦ μέλιτος τὴν ἐπιστολὴν ἀνέχρωσας, μᾶλλον καὶ μέλιτος αὐτὴν ἡδίω πεποίηκας. Τὸ μὲν γὰρ ὅταν συνεχέστερον ὁμιλήσῃ τοῖς ἀπολαύουσιν αὐτοῦ τῆς γλυκύτητος, οὐκ ἔτι ὁμοίως ἡδὺ φαίνεται, τοῦ κόρου τὴν τυραννίδα τῆς ἡδονῆς καταλύοντος, τὰ δὲ γράμματα τὰ σὰ τὴν ὑγίειαν ἡμῖν εὐαγγελιζόμενα τὴν σήν, τοσοῦτον ἀπέχει τοῦτο παθεῖν, ὅτι καὶ ἐπιτείνει τότε μάλιστα ἡμῖν τὴν εὐφροσύνην, ὅταν συνεχέστερον πέμπηται.

Σὺ μὲν οὖν τὴν ἐπιστολὴν περιεπτύξω τὴν ἐμήν, ἐγὼ δὲ αὐτόν σε τὸν πατέρα τῆς ἐπιστολῆς καὶ περιεπτυξάμην καὶ περιέβαλον ἄμφω τῷ χεῖρε καὶ τῷ τραχήλῳ περιχυθεὶς καὶ τὴν φίλην ἐμοὶ φιλήσας κεφαλήν, πολλὴν ἐκαρπωσάμην τὴν παραμυθίαν. Οὐδὲ γὰρ ἐπιστολὴν ἐνόμιζον σὴν ἐπιέναι μόνον, ἀλλὰ καὶ αὐτὸν παρεῖναι ἡμῖν καὶ συγγίνεσθαι. Τοσοῦτον ἴσχυσε τῆς ἐπιστολῆς ἡ δύναμις. Τοιοῦτον γὰρ τῆς γνησίας ἀγάπης ἡ φύσις· κἂν διὰ γραμμάτων αὐτῆς προχέῃ τὰ νάματα, αὐτὴν τὴν πηγὴν τῶν γραμμάτων φαντάζεσθαι παρασκευάζει, ὃ δὴ καὶ ἡμεῖς πεπόνθαμεν. Καὶ οὔτε χρόνου πλῆθος οὔτε ὁδοῦ μῆκος οὔτε πραγμάτων περίστασις οὔτε ἄλλο οὐδὲν πρὸς τοῦτο κώλυμα γέγονεν ἡμῖν.

Ταῦτ' οὖν εἰδώς, δέσποτά μου θαυμασιώτατε, ἐπιστέλλειν ἡμῖν συνεχῶς μὴ κατόκνει, περὶ τῆς ὑγείας σου καὶ τοῦ οἴκου σου παντὸς καὶ τῆς εὐθυμίας δηλῶν. Οἶσθα γὰρ ὅπως ἡμῖν περισπούδαστον μανθάνειν.

σχετικὰ μὲ τὴν ὑγεία σου καὶ τὴν εὐδιαθεσία σου. Γιατί, ὅπως δὲν σὲ κατηγορῶ ποὺ δὲν ἀποφάσισες νὰ ἔρθεις, ἐπειδὴ νόμιζες ὅτι παρουσιάζει δυσκολίες τὸ ἐγχείρημα, ἔτσι γιὰ τὴν ἐπὶ μακρὸν χρόνον σιγή σου δὲν θὰ παύσω νὰ σὲ κατηγορῶ, ἐπειδὴ ἐπιθυμῶ πολὺ νὰ μαθαίνω συνεχῶς γιὰ τὴν ὑγεία τὴ δική σου καὶ ὁλόκληρου τοῦ σπιτιοῦ σου.

58

ΣΤΟ ΘΕΟΔΟΣΙΟ ΤΟΝ ΔΟΥΚΑ

Μὲ πολὺ μέλι ἀνέμιξες τὴν ἐπιστολή, ἢ μᾶλλον τὴν ἔκανες καὶ πιὸ γλυκειὰ ἀπὸ μέλι. Γιατὶ τὸ μέλι βέβαια, ὅταν ἔρθει σὲ συνεχῆ ἐπαφὴ μὲ ἐκείνους ποὺ ἀπολαμβάνουν τὴ γλυκύτητά του, δὲ φαίνεται κατὰ τὸν ἴδιο τρόπο γλυκό, ἐπειδὴ ὁ κορεσμὸς καταργεῖ τὴν κυριαρχία τῆς ἡδονῆς. Τὰ γράμματα τὰ δικά σου ὅμως, ποὺ μοῦ φέρνουν τὴν εὐχάριστη ἀγγελία τῆς ὑγείας σου, τόσο πολὺ ἀπέχουν ἀπὸ τὸ νὰ πάθουν τὸ ἴδιο, ὥστε νὰ ἐπιτείνουν περισσότερο τότε τὴ χαρά μου, ὅταν στέλνονται συχνότερα.

Ἐσὺ λοιπὸν ἀγκάλιασες τὴν ἐπιστολή μου, ἐγὼ ὅμως ἐσένα τὸν ἴδιο, τὸν πατέρα τῆς ἐπιστολῆς, καὶ σὲ ἀγκάλιασα καὶ σὲ πῆρα στὰ δυό μου χέρια καὶ ἀφοῦ ἐπέπεσα στὸν τράχηλό σου καὶ φίλησα τὴν ἀγαπητὴ σὲ μένα κεφαλή σου, καρπώθηκα πολλὴ ἀνακούφιση. Γιατὶ εἶχα τὴν αἴσθηση ὅτι δὲν ἦρθε μόνο ἡ ἐπιστολή σου, ἀλλὰ ὅτι καὶ ὁ ἴδιος ἤσουν παρὼν καὶ βρισκόσουν μαζί μου. Τόση ἐπίδραση εἶχε ἡ δύναμη τῆς ἐπιστολῆς. Γιατὶ τέτοια εἶναι ἡ φύση τῆς γνήσιας ἀγάπης. Καὶ ὅταν ἀκόμα μὲ γράμματα χύνει τὰ πηγαῖα νερά της, μᾶς κάνει νὰ φανταζόμαστε τὴν ἴδια τὴν πηγὴ τῶν γραμμάτων, πρᾶγμα ποὺ ἔπαθα καὶ ἐγώ. Καὶ οὔτε τὸ μακρὸ χρονικὸ διάστημα, οὔτε τὸ μῆκος τοῦ δρόμου, οὔτε ἡ δυσκολία τῆς καταστάσεως, οὔτε τίποτε ἄλλο μοῦ ἔγινε ἐμπόδιο πρὸς τοῦτο.

Γνωρίζοντας λοιπὸν αὐτά, δεσπότη μου θαυμασιώτατε, μὴ ἀποφεύγεις νὰ μοῦ γράφεις συνεχῶς, ἐνημερώνοντάς με γιὰ τὴ ὑγεία τὴ δική σου καὶ ὁλόκληρου τοῦ σπιτιοῦ σου καὶ γιὰ τὴν εὐδιαθεσία σου. Γιατὶ γνωρίζεις πόσο πολὺ σημαντικὸ εἶναι γιὰ μένα νὰ τὰ μαθαίνω αὐτά.

ΝΘ'

ΘΕΟΔΟΤΩι ΔΙΑΚΟΝΩι

Ταχέως ἡμῶν ἐπελάθου, τῷ χωρισμῷ σου σφόδρα λυπηρῷ ἡμῖν γεγενημένῳ καὶ τὴν ἀπὸ τῆς σιγῆς τῆς μακρᾶς προσθεὶς ἀθυμίαν. Καὶ οὐδὲ εἰς χρόνου στενοχωρίαν ἔχεις καταφυγεῖν· ἱκανὸν γὰρ τῶν ἡμερῶν τὸ πλῆθος πολλὴν ὁδοιπόρῳ παρασχεῖν εὐκολίαν πρὸς ἐπάνοδον. Ἀλλ' οὐδὲ τὰ ἰσαυρικὰ προβαλλομένου ἀνασχοίμεθα ἄν, ἐπειδὴ σφόδρα σε φιλοῦμεν. Καὶ γὰρ πολλοὶ οἱ ἐκεῖθεν μετὰ τὴν σὴν ἀποδημίαν ἐνταῦθα παραγενόμενοι. Τί οὖν ἐστι τῆς σιγῆς τὸ αἴτιον; Ὄκνος καὶ ῥᾳθυμία. Ἀλλ' ὅμως ἀφίεμέν σε τῶν ἐπὶ τῇ προτέρᾳ ὀλιγωρίᾳ ἐγκλημάτων, ἂν βουληθῇς εἰς τὸ ἐπιὸν τῇ πυκνότητι τῶν γραμμάτων διορθῶσαι τὸ παροφθέν. Οἶσθα γὰρ ὅπως ἡμῖν χαριῇ, συνεχῶς ἡμῖν ἐπιστέλλων τὰ περὶ τῆς ὑγείας τῆς σῆς.

Ξ'

ΧΑΛΚΙΔΙΑι ΚΑΙ ΑΣΥΓΚΡΙΤΙΑι

Οἶδα ὅτι σφόδρα ὑμᾶς διετάραξε τῶν ἐπαλλήλων πειρασμῶν ἡ συνέχεια, τῶν ἐπενεχθέντων τῷ κυρίῳ μου τῷ τιμιωτάτῳ καὶ εὐλαβεστάτῳ πρεσβυτέρῳ. Ἀλλὰ μηδὲν ὑμᾶς τοῦτο θορυβείτω. Ὁ γὰρ διὰ τὸν Θεὸν ταῦτα πάσχων, ὅσῳπερ ἄν τι χαλεπώτερον πάθῃ, μειζόνων ἀπολαύει στεφάνων. Ἱκανὴν τοίνυν ἔχουσαι ταύτην τὴν παράκλησιν, φέρετε γενναίως καὶ εὐχαρίστως τὰ συμπίπτοντα, δοξάζουσαι τὸν Θεὸν ἐφ' ἅπασι τοῖς συμβαίνουσιν. Οὕτω γὰρ καὶ ὑμεῖς κοινωνοὶ γενήσεσθε τῶν ἀποκειμένων αὐτῷ μισθῶν καὶ στεφάνων, ὑπὲρ ὧν γενναίως καὶ πρᾴως ἠνέγκατε τὰ συμβάντα. Ἴστε γὰρ ὅτι ὁδὸς ὁ παρὼν βίος, καὶ τὰ χρηστὰ αὐτοῦ καὶ τὰ λυπηρὰ παροδεύεται, καὶ ὅτι «διὰ πολλῶν θλίψεων δεῖ ἡμᾶς εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ», καὶ ὅτι «στενὴ καὶ τεθλιμμένη ἡ ὁδός, ἡ ἀπάγουσα εἰς τὴν ζωήν».

---

1. *Πράξ.* 14,22.
2. *Ματθ.* 7,13–14.

59

ΣΤΟ ΔΙΑΚΟΝΟ ΘΕΟΔΟΤΟ

Γρήγορα μὲ λησμόνησες, προσθέτοντας στὸ χωρισμό σου, ποὺ ἦταν πολὺ λυπηρὸς γιὰ μένα, καὶ τὴ λύση ἀπὸ τὴ μακρὰ σιωπή σου. Καὶ δὲν μπορεῖς νὰ ἐπικαλεσθεῖς τὴ στενότητα τοῦ χρόνου, διότι εἶναι ἀρκετὸς ὁ ἀριθμὸς τῶν ἡμερῶν γιὰ νὰ δώσουν στὸν ὁδοιπόρο πολλὴ εὐχέρεια γιὰ ἐπάνοδο. Ἀλλὰ οὔτε καὶ τὰ ἰσαυρικὰ ποὺ προβάλλεις θὰ μποροῦσα νὰ τὰ ἀνεχθῶ, ἐπειδὴ σὲ ἀγαπῶ πολύ. Γιατὶ εἶναι πολλοὶ ἐκεῖνοι ποὺ μετὰ τὴν ἀναχώρησή σου ἦρθαν ἀπὸ ἐκεῖ ἐδῶ. Ποιό λοιπὸν εἶναι τὸ αἴτιο τῆς σιγῆς σου; Ὀκνηρία καὶ ὀλιγωρία. Ὅμως θὰ σοῦ συγχωρήσω τὰ ἁμαρτήματα τῆς προηγούμενης ὀλιγωρίας, ἂν θελήσεις στὸ ἑξῆς μὲ τὰ συχνὰ γράμματα νὰ διορθώσεις αὐτὸ ποὺ παραμέλησες. Γιατὶ γνωρίζεις ὅτι θὰ μοῦ δώσεις χαρά, γράφοντάς μου συνεχῶς γιὰ τὴν ὑγεία σου.

60

ΣΤΙΣ ΧΑΛΚΙΔΙΑ ΚΑΙ ΑΣΥΓΚΡΙΤΙΑ

Γνωρίζω ὅτι πολὺ σᾶς συντάραξε ἡ συνέχεια τῶν ἀλλεπάλληλων δοκιμασιῶν, ποὺ χτύπησαν τὸν κύριό μου τὸν ἐντιμότατο καὶ εὐλαβέστατο πρεσβύτερο. Ἀλλὰ ἂς μὴ σᾶς θορυβεῖ αὐτὸ καθόλου. Γιατὶ ἐκεῖνος ποὺ ὑποφέρει αὐτὰ γιὰ τὸ Θεό, ὅσο πιὸ χειρότερα πάθει, τόσο πιὸ μεγάλα στεφάνια θὰ ἀπολαύσει. Ἔχοντας λοιπὸν ἀρεκτὴ αὐτὴ τὴν παρηγοριά, νὰ ὑπομένετε μὲ γενναιότητα καὶ εὐχαρίστηση ὅσα γίνονται, δοξάζοντας τὸ Θεὸ γιὰ ὅλα ὅσα συμβαίνουν. Γιατὶ ἔτσι καὶ σεῖς θὰ γίνετε μέτοχοι τῶν μισθῶν καὶ τῶν στεφανιῶν ποὺ ὑπάρχουν σ' αὐτόν, ἐπειδὴ μὲ γενναιότητα καὶ πραότητα ὑπομείνατε τὰ συμβάντα. Γνωρίζετε ἄλλωστε ὅτι ἡ παροῦσα ζωὴ εἶναι δρόμος καὶ τόσο τὰ ἀγαθά του ὅσο καὶ οἱ θλίψεις του παρέρχονται, καὶ ὅτι «πρέπει νὰ περάσουμε μέσα ἀπὸ πολλὲς θλίψεις γιὰ νὰ μποῦμε στὴ βασιλεία τοῦ Θεοῦ»[1], καθὼς ἐπίσης ὅτι «εἶναι στενὸς καὶ γεμάτος θλίψεις ὁ δρόμος ποὺ ὁδηγεῖ στὴ ζωή»[2].

Παρακληθεῖσαι οὖν καὶ διὰ τούτων καὶ διὰ τῆς παρουσίας αὐτοῦ, ἅπαν ἀθυμίας διασκεδάσατε νέφος, χαίρουσαι, εὐφραινόμεναι ἐπὶ τοῖς τούτου παθήμασι. Καὶ γὰρ ἄφατος αὐτῷ ἐντεῦθεν κείσεται ὁ καρπὸς καὶ ἀκήρατος.

ΞΑ'

ΘΕΟΔΟΤΩι ΑΠΟ ΚΟΝΣΟΥΛΑΡΙΩΝ

Τοῦτο πατήρ, τὸ μὴ μόνον μὴ δυσχεραίνειν τοῦ παιδὸς τὴν ἀληθῆ φιλοσοφίαν φιλοσοφοῦντος, ἀλλὰ καὶ συνήδεσθαι καὶ πάντα ποιεῖν, ὅπως εἰς ἄκρον αὐτῆς ἀφίκοιτο· καὶ μηδὲ τῷ πόρρωθεν εἶναι καὶ πατρίδος καὶ οἰκίας καὶ τῶν σῶν ὀφθαλμῶν βαρύνεσθαι, ἀλλὰ νῦν μᾶλλον αὐτὸν ἡγεῖσθαι πλησίον ἔχειν, ὅτι αὐτῷ τὰ τῆς ἀρετῆς ἐπιδίδωσι.

Διὰ ταῦτά σοι καὶ ἡμεῖς πολλὰς χάριτας ἴσμεν, καὶ τεθαυμάκαμεν πῶς τοιοῦτον ἡμῖν δῶρον δεδωκώς, τὸν υἱόν, ἐνόμισας δεῖν σοι καὶ ξενίων εἰς τιμὴν ἡμετέραν. Τὴν μὲν οὖν τιμὴν τὴν ἐκ τῶν πεμφθέντων ἐδρεψάμεθα, αὐτὰ δὲ ἀνταπεστάλκαμεν, οὐχ ὑπερορῶντές σου τῆς εὐγενείας (πῶς γὰρ τοῦ οὕτω σφοδρῶς ἡμῶν ἐρῶντος;), ἀλλ' ἡγούμενοι περιττὸν εἶναι τούτων τὴν ἀπόλαυσιν διώκειν, ὧν ἐν χρείᾳ οὐ καθεστήκαμεν.

Τὸν μέντοι καλὸν Θεόδοτον τὸν ἀναγνώστην ἐβουλόμεθα μὲν παρ' ἑαυτοῖς κατέχειν καὶ πλάττειν, ἐπειδὴ δὲ πάντα τὰ ἐνταῦθά φόνων, ταραχῆς, αἱμάτων, ἐμπρησμῶν ἐμπέπλησται, τῶν Ἰσαύρων πάντα σιδήρῳ καὶ πυρὶ ἀναλισκόντων, καὶ τόπους ἐκ τόπων ἀμείβομεν, καθ' ἑκάστην μετανιστάμενοι τὴν ἡμέραν, ἀναγκαῖον εἶναι ἐνομίσαμεν ἐκπέμψαι αὐτόν, πολλὰ παραγγείλαντες τῷ κυρίῳ μου τῷ εὐλαβεστάτῳ διακόνῳ Θεοδότῳ ἐπιμελεῖσθαι αὐτοῦ διηνεκῶς καὶ πολλὴν αὐτοῦ ποιεῖσθαι πρόνοιαν. Τοῦτο δὲ καὶ αὐτὸς κατορθωθῆναι σπούδασον τῷ παιδί, καὶ πάντως ἡμῶν ἐπαινέσῃ τὴν συμβουλὴν καὶ πολλὴν εἴσῃ τῆς παραινέσεως ταύτης τὴν χάριν ἡμῖν.

---

1. Κονσουλάριος (ἀπὸ τὸ λατ. consul) σήμαινε τὸν ὕπατο καὶ κατὰ συνεκδοχὴ τὸν ἀνώτερο αὐλικὸ ἀξιωματοῦχο.

2. Φαίνεται πὼς ὁ Θεόδοτος, στέλνοντας τὸ γυιό του, Θεόδοτο κι αὐτόν, κοντὰ στὸν ἱερὸ Χρυσόστομο, ἔστειλε καὶ κάποια φιλοδωρήματα, τὰ ὁποῖα ὁ ἱερὸς πα-

Ἀφοῦ λοιπὸν παρηγορηθεῖτε καὶ μὲ αὐτὰ καὶ μὲ τὴν παρουσία αὐτοῦ, διασκορπίστε κάθε σύννεφο λυποψυχίας, δοκιμάζοντας χαρὰ καὶ εὐφροσύνη μὲ τὰ παθήματα ἐκείνου. Διότι πραγματικὰ ἀπὸ αὐτὰ θὰ τοῦ προκύψει ἀνείπωτος καὶ ἄφθαρτος ὁ καρπός.

61

ΣΤΟΝ ΑΥΛΙΚΟ ΘΕΟΔΟΤΟ[1]

Αὐτὸ σημαίνει πατέρας, ὄχι μόνο νὰ μὴ φέρει δυσκολίες, ὅταν τὸ παιδί του ἀγαπᾶ τὴν ἀληθινὴ φιλοσοφία, ἀλλὰ καὶ νὰ εὐχαριστεῖται μαζί του καὶ νὰ κάνει τὰ πάντα γιὰ νὰ φθάσει στὸ ὕψιστο σημεῖο της. Καὶ οὔτε νὰ βαρυγκομᾶς ἐπειδὴ βρίσκεται μακριὰ καὶ ἀπὸ τὴν πατρίδα καὶ ἀπὸ τὸ σπίτι καὶ ἀπὸ τὰ μάτια σου. Ἀντίθετα, νὰ νομίζεις ὅτι τὸν ἔχεις περισσότερο κοντά σου τώρα ποὺ μοιράζεσαι μαζί του τὰ ἀποτελέσματα τῆς ἀρετῆς.

Γι' αὐτὸ καὶ ἐγὼ σοῦ χρεωστῶ πολλὲς εὐχαριστίες καὶ ἀπόρησα πῶς, ἐνῶ μοῦ ἔδωσες ἕνα τόσο μεγάλο δῶρο, δηλαδὴ τὸν γιό σου, νόμισες ὅτι πρέπει καὶ νὰ μὲ φιλοξενήσεις γιὰ νὰ μὲ τιμήσεις[2]. Τὴν τιμὴ λοιπὸν ἀπὸ αὐτὰ ποὺ μᾶς ἔστειλες τὴ δέχτηκα, αὐτὰ ὅμως τὰ στέλνω πίσω, χωρὶς νὰ περιφρονῶ τὴν εὐγένειά σου (πῶς ἄλλωστε θὰ μποροῦσα νὰ κάνω κάτι τέτοιο σ' αὐτὸν ποὺ τόσο πολὺ μὲ ἀγαπᾶ), ἀλλ' ἐπειδὴ νομίζω ὅτι εἶναι περιττὸ νὰ ἐπιδιώξω τὴν ἀπόλαυση αὐτῶν, τῶν ὁποίων τὴν ἀνάγκη δὲν ἔνοιωσα.

Τὸν καλὸ λοιπὸν Θεόδοτο, τὸν ἀναγνώστη, θὰ ἤθελα νὰ τὸν κρατήσω κοντά μου καὶ νὰ τὸν διπλασιάσω. Ἐπειδὴ ὅμως ἐδῶ ὅλα εἶναι γεμάτα φόνους, ἀναταραχή, αἵματα καὶ ἐμπρησμούς, ἀφοῦ οἱ Ἴσαυροι καταστρέφουν τὰ πάντα μὲ σίδερο καὶ φωτιά, καὶ ἀλλάζουμε συνεχῶς τόπο, μεταναστεύοντας κάθε μέρα, θεώρησα πὼς εἶναι ἀπαραίτητο νὰ τὸν στείλω πίσω, ἀφοῦ παρήγγειλα στὸν κύριό μου, τὸν εὐλαβέστατο διάκονο Θεόδοτο, νὰ τὸν προσέχει διαρκῶς καὶ νὰ φροντίζει γι' αὐτὸν πολύ. Τὸ ἴδιο βέβαια νὰ φροντίσεις νὰ κάνεις καὶ σὺ στὸ παιδὶ καὶ ὁπωσδήποτε νὰ ἐκτιμήσεις τὴ συμβουλή μου καὶ θὰ μὲ εὐγνωμονεῖς πολὺ γι' αὐτή μου τὴν παραίνεση.

τὴρ μὲ πολλὴ λεπτότητα τὰ ἐπιστρέφει, ὅπως καὶ τὸν γυιό του ἄλλωστε, γιὰ νὰ τὸν προφυλάξει ἀπὸ τοὺς διαρκεῖς κινδύνους τῆς Κουκουσοῦ.

ΞΒ'

ΚΑΣΤΩι, ΟΥΑΛΕΡΙΩι, ΔΙΟΦΑΝΤΩι, ΚΥΡΙΑΚΩι, ΠΡΕΣΒΥΤΕΡΟΙΣ ΑΝΤΙΟΧΕΙΑΣ

Ὅτι μὲν ἡμᾶς ἀπέλιπεν ὁ κύριός μου ὁ τιμιώτατος καὶ εὐλαβέστατος πρεσβύτερος Κωνστάντιος ἀλγῶ, ὅτι δὲ ὑμᾶς ἀπείληφε, χαίρω, καὶ μειζόνως χαίρω, ἢ ἐκεῖνο ἀλγῶ. Εὖ γὰρ οἶδ' ὅτι εἰς ἀκύμαντον ὁρμιεῖ λιμένα, τὴν ὑμετέραν ἀγάπην. Κἂν γὰρ μυρίαι πανταχόθεν περιεστήκωσι ταραχαί, καὶ πολλὰ ἐγείρηται τὰ κύματα, ἀλλὰ τοιαῦτα τὰ ὑμέτερα, ὡς καὶ ἐν χειμῶνι γαλήνης ἀπολαύειν λευκῆς, διὰ τὴν προσοῦσαν ὑμῖν ἀνδρείαν καὶ τὴν ἀπερίτρεπτον ἀγάπην καὶ διάθεσιν.

Ἰδόντες τοίνυν αὐτὸν ὡς ὑμῖν πρέπον ἐστί, πάντα αὐτῷ γενέσθαι παρακλήθητε. Ἴστε γὰρ ὅσος ὑμῖν κείσεται μισθός, εἰκῇ καὶ μάτην ἐπηρεαζόμενον ἀνέχειν σπουδάζουσιν. Οὐδὲ γὰρ ἡμεῖς ἄλλο τι ζητοῦμεν, ἀλλ' ὥστε μηδὲν αὐτὸν παρὰ τὸ δίκαιον ἐπηρεασθῆναι καὶ μάτην ἄγεσθαι καὶ περιάγεσθαι, ἐν δικαστηρίοις σπαραττόμενον ὑπὲρ ὧν στεφανοῦσθαι αὐτὸν καὶ ἀνακηρύττεσθαι ἔδει.

Καὶ ὑπὲρ μὲν τούτου ταῦτα αἰτοῦμεν, ὑπὲρ δὲ ἡμῶν αὐτῶν, ὥστε συνεχῶς ἡμῖν ἐπιστέλλειν καὶ τὰ περὶ τῆς ὑγιείας τῆς ὑμετέρας εὐαγγελίζεσθαι. Εἰ γὰρ καὶ πολλῷ διειργόμεθα τῷ μέσῳ τῆς ὁδοῦ, ἀλλ' ὅμως οὐ παυόμεθα διηνεκῶς ὑμᾶς ἐπὶ διανοίας φέροντες καὶ πλησίον ὑμῶν ὄντες καὶ καθ' ἑκάστην ὑμῖν συγγινόμενοι τὴν ἡμέραν. Τοιοῦτοι γὰρ οἱ τῆς ἀγάπης ὀφθαλμοὶ τῶν γνησίως εἰδότων φιλεῖν. Καὶ τοῦτο ἴστε καὶ αὐτοὶ σαφῶς, ἐπειδὴ καὶ φιλεῖν ἴστε γνησίως.

ΞΓ'

ΤΡΑΓΚΥΛΛΙΝΩι

Τὰ μὲν ἄλλα πάντα εἴκει χρόνῳ καὶ παραχωρεῖ παλαιούμενα

62

ΣΤΟΥΣ ΠΡΕΣΒΥΤΕΡΟΥΣ ΤΗΣ ΑΝΤΙΟΧΕΙΑΣ ΚΑΣΤΟ, ΟΥΑΛΕΡΙΟ, ΔΙΟΦΑΝΤΗ ΚΑΙ ΚΥΡΙΑΚΟ

Γιὰ τὸ ὅτι βέβαια μὲ ἐγκατέλειψε ὁ κύριός μου, ὁ ἐντιμότατος καὶ εὐλαβέστατος πρεσβύτερος Κωνστάντιος, πονῶ, χαίρομαι ὅμως ποὺ κέρδισε ἐσᾶς, καὶ χαίρομαι περισσότερο ἀπὸ ὅσο πονῶ. Γιατὶ γνωρίζω καλὰ ὅτι θὰ ἀγκυροβολήσει σὲ ἤρεμο λιμάνι, τὴ δική σας ἀγάπη. Διότι, καὶ ἂν ἀκόμα μύριες ἀπὸ παντοῦ προκληθοῦν ταραχὲς καὶ σηκωθοῦν πολλὰ κύματα, ὅμως εἶναι τέτοια τὰ δικά σας, ὥστε καὶ μέσα στὸ χειμώνα νὰ ἀπολαμβάνει καθαρὴ γαλήνη, ἐξαιτίας τῆς ἀνδρείας σας καὶ τῆς ἀμετάβλητης ἀγάπης καὶ διαθέσεώς σας.

Ἀφοῦ λοιπὸν τὸν δεῖτε ὅπως ταιριάζει σὲ σᾶς, σᾶς παρακαλῶ νὰ γίνετε τὸ πᾶν γι' αὐτόν. Γιατὶ γνωρίζετε πόσος μισθὸς σᾶς περιμένει, ὅταν πασχίζετε νὰ στηρίξετε κάποιον ποὺ ἀπειλεῖται ἄδικα καὶ χωρὶς αἰτία. Οὔτε ἄλλωστε καὶ ἐγὼ ζητῶ τίποτε ἄλλο, παρὰ μόνο νὰ μὴ ἐνοχλεῖται ἄδικα, οὔτε νὰ ἄγεται καὶ νὰ περιφέρεται χωρὶς αἰτία στὰ δικαστήρια καὶ νὰ σπαράσσεται γιὰ πράγματα ποὺ ἔπρεπε νὰ στεφανώνεται καὶ νὰ δοξάζεται.

Γιὰ τὸ θέμα λοιπὸν αὐτὸ αὐτὰ ζητῶ, γιὰ μένα ὅμως τὸν ἴδιο ζητῶ νὰ μοῦ γράφετε συνεχῶς καὶ νὰ μὲ πληροφορεῖτε γιὰ τὴν ὑγεία σας. Γιατί, ἂν καὶ μὲ χωρίζει ἀπὸ σᾶς ἡ μεγάλη ἀπόσταση τοῦ δρόμου, ὅμως δὲν παύω νὰ σᾶς ἔχω διαρκῶς στὴ σκέψη μου καὶ νὰ βρίσκομαι κοντά σας καὶ νὰ σᾶς συναναστρέφομαι κάθε μέρα. Γιατὶ τέτοια εἶναι τὰ μάτια ἐκείνων ποὺ γνωρίζουν νὰ ἀγαποῦν ἀληθινά. Καὶ αὐτὸ τὸ γνωρίζετε καὶ σεῖς καλά, ἀφοῦ γνωρίζετε καὶ νὰ ἀγαπᾶτε ἀληθινά.

63

ΣΤΟΝ ΤΡΑΓΚΥΛΙΝΟ

Ὅλα τὰ ἄλλα βέβαια μὲ τὸ χρόνο φεύγουν καὶ ὑποχωροῦν πα-

καὶ γηράσκοντα, καὶ σωμάτων ἄνθη καὶ οἰκοδομημάτων μεγέθη καὶ λειμῶνες καὶ παράδεισοι καὶ τὰ ἀπὸ τῆς γῆς ἅπαντα, μόνη δὲ ἡ ἀγάπη τὴν ἐντεῦθεν διέφυγε βλάβην, καὶ οὐ μόνον οὐ μαραίνεται χρόνου πλήθει, ἀλλ' οὐδὲ αὐτῷ διακόπτεται τῷ θανάτῳ. Διὰ δὴ τοῦτο καὶ ἡμεῖς, εἰ καὶ μακρὸν ἀπελείφθημεν χρόνον τῆς ἐμμελείας τῆς σῆς, ἀλλ' ἀκμάζουσαν αὐτὴν διατηροῦμεν, καὶ γλώττῃ μὲν νῦν, γνώμῃ δὲ ἀεί. Διὸ καὶ συνεχῶς ἐπεστάλκαμέν σου τῇ εὐλαβείᾳ.

Ἐπειδὴ δὲ ἡμῖν περισπούδαστον μανθάνειν οἷ τὰ τῆς ὑγιείας ὁρμᾷ τῆς σῆς (οἶσθα γὰρ ὅπως αὐτῆς ἀντεχόμεθα), εἰ δυνατὸν γένοιτο καὶ ῥᾳδίως ἐπιτύχοις τινὸς τοῦ διακομίζοντος ἡμῖν τὰ γράμματα, τὰ σαυτῷ πρέποντα ποιῶν, δῆλον τοῦτο ποιῆσαι ἡμῖν παρακλήθητι. Τὰ γὰρ καθ' ἡμᾶς, τέ τε ἐν Ἀρμενίᾳ, τά τε ἐν Θρᾴκῃ, διηγήσεταί σου τῇ γνησίᾳ καὶ θερμῇ ἀγάπῃ ὁ τὰ γράμματα ἐγχειρίζων.

ΞΔ'

ΚΥΡΙΑΚΩι ΕΠΙΣΚΟΠΩι

Ὁ δεσπότης μου Σώπατρος, ὁ τῆς Ἀρμενίας ἄρχων, Ἀρμενίας ταύτης ἐν ᾗ νῦν ἐσμεν καθειργμένοι, ἦρξε μὲν Ἀρμενίας ὡς πατήρ, ἐπεδείξατο δὲ περὶ ἡμᾶς θεραπείαν πλείονα ἢ πατήρ. Ταύτης αὐτῷ τῆς εὐνοίας ἀποδοῦναι τὴν ἀμοιβὴν σπουδάζων τε καὶ ζητῶν, εὑρηκέναι μοι δοκῶ καλλίστην ὁδόν, τὴν μεμεριμνημένην σου καὶ ἄγρυπνον ψυχήν, δι' ἧς δυνήσομαι αὐτὸν ἀμείψασθαι. Πῶς καὶ τίνι τρόπῳ; Υἱός ἐστιν αὐτῷ διατρίβων αὐτόθι χρόνον ἤδη πολὺν ἐπὶ λόγων κτῆσιν. Τοῦτον ἐὰν σπουδάσῃς μετὰ προθυμίας ἰδεῖν καὶ τῆς σοὶ πρεπούσης ἀγάπης, καὶ ποιήσῃς ἀπολαῦσαί τινος τῶν χρηστῶν, τὸ πᾶν ἐσόμεθα ἐκτετικότες.

Ποίει δὲ τοῦτο καὶ καθίστη γνώριμον αὐτὸν καὶ τοῖς ἐν τέλει, τοῖς καὶ σοὶ γνωρίμοις, καὶ δυναμένοις αὐτῷ τὴν ἀλλοτρίαν ἡδίω τῆς ἐνεγκούσης ποιῆσαι. Οὕτω γὰρ χαριῇ μὲν ἐκείνῳ, χαριῇ δὲ ἐμοί, χαριῇ δὲ σαυτῷ, ἄνδρα χρηστὸν καὶ φιλάνθρωπον καὶ κοινὸν τῶν πενήτων λιμένα διὰ τοῦ παιδὸς ὠφελῶν.

λιώνοντας καὶ γηράσκοντας καὶ ἡ ἀνθηρότητα τῶν σωμάτων καὶ τὰ μεγέθη τῶν οἰκοδομημάτων καὶ τὰ λιβάδια καὶ οἱ κῆποι, καὶ ὅλα ὅσα προέρχονται ἀπὸ τὴ γῆ. Μόνο ἡ ἀγάπη ξεφεύγει ἀπὸ τὴ φθορὰ αὐτή, καὶ ὄχι μόνο δὲν μαραίνεται μὲ τὸν χρόνο, ἀλλὰ οὔτε καὶ μὲ αὐτὸ τὸ θάνατο διακόπτεται. Γι' αὐτὸ καὶ ἐγώ, ἂν καὶ γιὰ πολὺ χρόνο ἀποχωρίστηκα ἀπὸ τὴ χάρη σου, τὴ διατηρῶ ἀκμαία, μὲ λόγια βέβαια τώρα, ἀλλὰ μὲ τὴν ἐπιθυμία πάντοτε. Γι' αὐτὸ καὶ συνεχῶς γράφω στὴν εὐλάβειά σου.

Ἐπειδὴ ὅμως εἶναι γιὰ μένα πολὺ σπουδαῖο νὰ μαθαίνω σὲ ποιό σημεῖο βρίσκεται ἡ ὑγεία σου (γιατὶ γνωρίζεις πόσο ἐνδιαφέρομαι γι' αὐτήν), ἐὰν ὑπάρξει δυνατότητα καὶ ἐπιτύχεις εὔκολα κάποιον ποὺ μοῦ φέρνει τὰ γράμματα, κάνοντας ὅ,τι ταιριάζει σὲ σένα, παρακαλῶ νὰ μοῦ τὸ κάνεις αὐτὸ γνωστό. Γιατὶ τὰ δικά μου, τόσο τῆς Ἀρμενίας ὅσο καὶ τῆς Θράκης, θὰ τὰ διηγηθεῖ στὴν ἀληθινὴ καὶ θερμὴ ἀγάπη σου αὐτὸς ποὺ θὰ σοῦ δώσει τὰ γράμματα.

64

ΣΤΟΝ ΕΠΙΣΚΟΠΟ ΚΥΡΙΑΚΟ

Ὁ δεσπότης μου Σώπατρος, ὁ ἄρχοντας τῆς Ἀρμενίας, τῆς Ἀρμενίας, αὐτῆς στὴν ὁποία τώρα εἴμαστε φυλακισμένοι, τὴν Ἀρμενία βέβαια τὴ διοίκησε σὰν πατέρας, σὲ μένα ὅμως ἔδειξε φροντίδα περισσότερη ἀπὸ πατέρα. Θέλοντας καὶ ἐπιζητώντας νὰ τοῦ ἀνταποδώσω τὴν ἀμοιβὴ αὐτῆς τῆς εὔνοιας ποὺ μοῦ ἔδειξε, νομίζω πὼς βρῆκα τὸν καλύτερο τρόπο, τὴν ἄγρυπνη καὶ τὴ γεμάτη μέριμνα ψυχή σου, μὲ τὴν ὁποία θὰ μπορέσω νὰ τὸν ἀνταμείψω. Πῶς καὶ μὲ ποιό τρόπο; Ἔχει ἕνα γιό, ποὺ διαμένει ἐκεῖ πολὺ καιρὸ τώρα, γιὰ νὰ σπουδάσει. Αὐτόν, ἐὰν φροντίσεις νὰ τὸν δεῖς μὲ προθυμία καὶ μὲ τὴν ἀγάπη ποὺ σὲ διακρίνει, καὶ ἐὰν τὸν κάνεις νὰ γνωρίσει κάποιον ἀπὸ τοὺς χρηστούς, θὰ ἔχω ἐξοφλήσει τὰ πάντα.

Κάνε λοιπὸν αὐτὸ καὶ γνώρισέ τον στοὺς ἐπισήμους, ποὺ εἶναι καὶ σὲ σένα γνωστοὶ καὶ μποροῦν νὰ τοῦ κάνουν τὴν ξένη πόλη πιὸ εὐχάριστη ἀπὸ τὴ γενέτειρά του. Ἔτσι θὰ δώσεις χαρὰ καὶ σ' ἐκεῖνον καὶ σὲ μένα, ἀλλὰ καὶ στὸν ἑαυτό σου, ὠφελώντας ἕνα ἄνδρα ἀγαθὸ καὶ φιλάνθρωπο καὶ κοινὸ λιμάνι τῶν φτωχῶν, μέσω τοῦ παιδιοῦ του.

ΞΕ'

ΜΑΡΚΙΑΝΩι ΚΑΙ ΜΑΡΚΕΛΛΙΝΩι

Ἀρκοῦσαν ἔχετε παραμυθίαν τῆς ἀθυμίας ἧς ὑπομένετε, καθὼς ἐπεστάλκατε, τὴν φιλόσοφον ὑμῶν γνώμην καὶ ὑψηλήν, τὴν ἀπερίτρεπτον καὶ ἀκλινῆ διάθεσιν. Ὥσπερ γὰρ τὸν χαῦνον καὶ διαλελυμένον οὐδὲ γαλήνη καὶ τὸ κατὰ ῥοῦν φέρεσθαι ὠφελῆσαί τι μέγα δυνήσεται, οὕτω τὸν στερρὸν καὶ συγκεκροτημένον καὶ νήφοντα οὐδὲ χειμὼν χαλεπὸς διασαλεύει ποτέ, ἀλλὰ καὶ λαμπρότερον ἐργάζεται. Τοιαύτη γὰρ τῶν πειρασμῶν ἡ φύσις· τοῖς γενναίως αὐτοὺς φέρουσι πολλὰ κομίζει τὰ βραβεῖα καὶ λαμπροὺς τοὺς στεφάνους.

Ταῦτ' οὖν εἰδότες, κύριοί μου τιμιώτατοι καὶ εὐγενέστατοι, καὶ ἀρκοῦσαν ἐν τοῖς δεινοῖς ταύτην ἔχοντες τὴν παραμυθίαν, μήτε θορυβεῖσθέ τινι τῶν γινομένων, μήτε διαλίπετε συνεχῶς ἡμῖν ἐπιστέλλοντες. Ἐβουλόμεθα μὲν γὰρ καὶ παρόντας ὑμᾶς ἰδεῖν καὶ περιπτύξασθαι, ἐπειδὴ δὲ τοῦτο τέως οὐκ ἔνι, ἀλλὰ πολλὰ τὰ κωλύματα, συνεχῶς ἡμῖν ἐπιστέλλειν μὴ κατοκνεῖτε, τὰ περὶ τῆς ὑγιείας δηλοῦντες τῆς ὑμετέρας. Ἴστε γὰρ ἡλίκον ἡμῖν χαριεῖσθε τοῦτο ποιοῦντες καὶ ὅσης ἡμᾶς ἐμπιπλᾶτε τῆς εὐφροσύνης.

ΚS'

ΚΑΣΤΩι, ΟΥΑΛΕΡΙΩι, ΔΙΟΦΑΝΤΩι, ΚΥΡΙΑΚΩι, ΠΡΕΣΒΥΤΕΡΟΙΣ ΑΝΤΙΟΧΕΙΑΣ

Τῇ γλώττῃ μὲν ὀλιγάκις ὑμῶν ἐπέστειλα τῇ εὐλαβείᾳ, τῇ γνώμῃ δὲ συνεχέστερον καὶ πυκνότερον. Μὴ δὴ τοσαύτας εἶναι νομίζετε ἡμῶν τὰς ἐπιστολάς, ὅσας ὑπεδέξασθε διὰ χάρτου καὶ μέλανος, ἀλλ' ὅσας ἐπεθυμοῦμεν ὑμῖν διαπέμψασθαι. Εἰ γὰρ οὕτω βουληθείητε δικάσαι, νιφάδες γραμμάτων παρ' ἡμῶν πρὸς ὑμᾶς ἐπέμφθησαν. Εἰ δὲ οὐδεὶς ὁ διακομίζων, οὐ τῆς ἡμετέρας ὀλιγωρίας, ἀλλὰ τῆς τῶν πραγμάτων δυσκολίας ἡ σιγὴ γίνεται. Ταῦτα δὲ εἶπον

65

ΣΤΟΝ ΜΑΡΚΙΑΝΟ ΚΑΙ ΤΟΝ ΜΑΡΚΕΛΛΙΝΟ

Εἶναι ἀρκετὴ παρηγοριὰ γιὰ τὴ στενοχώρια ποὺ περνᾶτε, ὅπως μοῦ γράψατε, ἡ καρτερικὴ καὶ ὑψηλὴ ἀντίληψη καὶ ἡ σταθερὴ καὶ ἀμετάβλητη διάθεσή σας. Γιατί, ὅπως δὲν μπορεῖ νὰ ὠφελήσει πολὺ τὸν ἀποχαυνομένο καὶ παραλυμένο οὔτε ἡ γαλήνη οὔτε τὸ νὰ φέρεται σύμφωνα μὲ τὸ ρεῦμα, ἔτσι καὶ τὸν σταθερὸ καὶ συγκροτήμενο καὶ νηφάλιο ἡ μεγάλη συμφορὰ ὄχι μόνο ποτὲ δὲν τὸν κλονίζει, ἀλλὰ τὸν κάνει καὶ πιὸ λαμπρό. Γιατὶ τέτοια εἶναι ἡ φύση τῶν δοκιμασιῶν. Σ' ἐκείνους ποὺ τὶς ὑποφέρουν μὲ γενναιότητα παρέχει πολλὰ βραβεῖα καὶ λαμπρὰ στεφάνια.

Γνωρίζοντας λοιπὸν αὐτά, ἐντιμότατοι καὶ εὐγενέστατοι κύριοί μου, καὶ ἔχοντας ἀρκετὴ τὴν παρηγοριὰ αὐτὴ στὰ δεινά σας, οὔτε νὰ ἀνησυχεῖτε γιὰ ὅ,τιδήποτε ἀπὸ αὐτὰ ποὺ συμβαίνουν, οὔτε νὰ παραλείπετε νὰ μοῦ γράφετε συνεχῶς. Θὰ ἤθελα βέβαια νὰ σᾶς δῶ καὶ παρόντες καὶ νὰ σᾶς ἀγκαλιάσω, ἀλλ' ἐπειδὴ αὐτὸ πρὸς τὸ παρὸν δὲν εἶναι δυνατό, ἐξαιτίας τῶν πολλῶν κωλυμάτων, μὴ ἀδιαφορεῖτε νὰ μοῦ γράφετε συνεχῶς, ἀναφέροντάς μου τὰ τῆς ὑγείας σας. Γιατὶ γνωρίζετε πόση χαρὰ θὰ μοῦ δώσετε κάνοντας αὐτὸ καὶ μὲ πόση εὐφροσύνη μὲ γεμίζετε.

66

ΣΤΟΥΣ ΠΡΕΣΒΥΤΕΡΟΥΣ ΤΗΣ ΑΝΤΙΟΧΕΙΑΣ ΚΑΣΤΟ, ΟΥΑΛΕΡΙΑΝΟ, ΔΙΟΦΑΝΤΟ ΚΑΙ ΚΥΡΙΑΚΟ

Μὲ τὴ γλώσσα βέβαια λίγες φορὲς ἔγραψα στὴν εὐλάβειά σας, μὲ τὴ σκέψη ὅμως συχνότερα καὶ πυκνότερα. Μὴ νομίσετε λοιπὸν ὅτι τόσες μόνο εἶναι οἱ ἐπιστολές μου, ὅσες δεχτήκατε μὲ χαρτὶ καὶ μελάνι, ἀλλὰ ὅσες θὰ ἤθελα νὰ σᾶς στείλω. Γιατί, ἂν θέλατε ἔτσι νὰ μὲ δικάσετε, θὰ σᾶς στέλονταν ἀπὸ ἐμένα πλῆθος γραμμάτων. Ἐὰν ὅμως δὲν ὑπάρχει κανεὶς νὰ τὰ μεταφέρει, αὐτὸ δὲν ὀφείλεται στὴ δική μου ὀλιγωρία, ἀλλὰ ἡ σιγὴ σημειώνεται ἐξαιτίας τῆς δυσκο-

ἵνα, καὶ γραφόντων ἡμῶν καὶ σιγώντων, τὴν αὐτὴν περὶ τῆς ἡμετέρας ἀγάπης τῆς περὶ ὑμᾶς φέρητε ψῆφον. Ἡμεῖς γὰρ ὅπουπερ ἂν ὦμεν, ἐγκολάψαντες ἡμῶν τῇ διανοίᾳ τὴν μνήμην τὴν ὑμετέραν πανταχοῦ περιφέρομεν.

Καὶ νῦν δὲ χάριν ὑμῖν ἴσμεν πολλήν, ὅτι τὸν καλὸν μοναχὸν καὶ μετὰ τῆς πρεπούσης ὑμῖν εὐνοίας ὑπεδέξασθε καὶ τοὺς βουλομένους ἀκαίρως πρὸς αὐτὸν φιλονεικεῖν ἡμερωτέρους πεποιήκατε. Οὐκ ἄρα μάτην ἔλεγον οὐδὲ κολακεύων ὑμᾶς, ὅτι, κἂν μυρία πανταχόθεν ἐγείρηται κύματα, ἐν γαλήνῃ τὰ ὑμέτερα. Οἱ γὰρ οὕτω ῥᾳδίως ἑτέροις ναυάγια διαλύοντες, εὔδηλον ὅτι πόρρω τῶν κλυδωνίων ἑστήκατε.

Γράφετε δὴ συνεχῶς ἡμῖν τὰ περὶ τῆς ὑγιείας τῆς ὑμετέρας. Ἴστε γὰρ ὅπως ἡμῖν περισπούδαστον τοῦτο μανθάνειν. Τοσαύτην γὰρ ἔχει τὴν ἰσχὺν τὰ γράμματα ὑμῶν, τὰ τὴν ῥῶσιν ὑμῶν ἡμῖν ἀπαγγέλλοντα, ὅτι καὶ τοσούτοις περιεστοιχισμένοι δεινοῖς, πολέμοις, θορύβοις, ταραχαῖς, θανάτοις καθημερινοῖς, ἡνίκα ἂν τοσαύτας ὑμῶν δεξώμεθα ἐπιστολάς, καὶ ἀναπτερούμεθα ὑπὸ τῆς ἡδονῆς καὶ μεγίστην ἐντεῦθεν καρπούμεθα τὴν παραμυθίαν. Τοιοῦτον γὰρ τὸ φιλεῖν γνησίως, ὡς καὶ διὰ γραμμάτων δύνασθαι τῶν τὰ τοιαῦτα εὐαγγέλια ἐχόντων τοὺς τῷ σώματι κεχωρισμένους ἀνακτᾶσθαι ῥᾳδίως.

ΞΖ'

ΘΕΟΔΟΤῼ ΔΙΑΚΟΝῼ

Αὐτὸς μέν, κύριέ μου τιμιώτατε καὶ εὐλαβέστατε, τῶν γοῦν ἐν Ἀρμενίᾳ ἀπηλλάγης κακῶν, ἡμᾶς δὲ μετὰ τῶν ἐνταῦθα θορύβων, μᾶλλον δὲ τῶν θανάτων τῶν καθημερινῶν, οὐχ ὡς ἔτυχε λυπεῖ καὶ τὸ τῆς σῆς κεχωρίσθαι γλυκύτητος καὶ τῆς γνησίας καὶ εἰλικρινοῦς

---

1. Προφανῶς πρόκειται γιὰ τὸν πρεσβύτερο Κωνστάντιο, γιὰ τὸν ὁποῖο κάνει λόγο στὴν ἐπιστολὴ 62, ἡ ὁποία ἀπευθύνεται στοὺς ἴδιους παραλῆπτες. Ὁ πρεσβύτερος αὐτὸς βρισκόταν μαζὶ μὲ τὸν ἱ. Χρυσόστομο στὴν Κουκουσό, φαίνεται πὼς ὁ ἴδιος τὸν ἔστειλε στοὺς παραλῆπτες τῆς ἐπιστολῆς αὐτῆς πρεσβυτέρους, γιὰ νὰ ἠρεμήσει κοντά τους, ἂν καί, ὅπως ἀναφέρει στὴν ἀρχὴ τῆς ἐπιστολῆς του «πονεῖ» γιὰ

λίας τῆς καταστάσεως. Αὐτὰ τὰ εἶπα, ὥστε, καὶ ὅταν γράφω καὶ ὅταν σιωπῶ, νὰ ἔχετε τὴν ἴδια γνώμη γιὰ τὴν ἀγάπη ποὺ τρέφω πρὸς ἐσᾶς. Γιατὶ ἐγώ, ὅπου καὶ ἂν εἶμαι, ἔχοντας χαραγμένη στὸ νοῦ μου τὴν ἀνάμνησή σας, τὴν περιφέρω παντοῦ.

Καὶ τώρα ὅμως σᾶς ὀφείλω μεγάλη εὐγνωμοσύνη, διότι καὶ τὸν καλὸ μοναχὸ[1] μὲ τὴν συμπάθεια ποὺ ἔπρεπε τὸν δεχτήκατε, ἀλλὰ καὶ ἐκείνους ποὺ ἤθελαν χωρὶς αἰτία νὰ φιλονεικήσουν μαζί του τοὺς κάνατε πιὸ ἤρεμους. Δὲν ἔλεγα ἐπομένως ἄδικα οὔτε κολακεύοντάς σας, ὅτι, ἀκόμα καὶ ἂν σηκωθοῦν μυριάδες ἀπὸ παντοῦ κύματα, ἐσεῖς γαληνεύετε[2]. Γιατὶ ἐσεῖς ποὺ τόσο εὔκολα ματαιώνετε τὰ ναυάγια τῶν ἄλλων, εἶναι φανερὸ ὅτι στέκεσθε μακριὰ ἀπὸ τὶς ταραχές.

Γράφετέ μου λοιπὸν συνεχῶς γιὰ τὴν ὑγεία σας. Γνωρίζετε ἄλλωστε πόσο σπουδαῖο εἶναι γιὰ μένα νὰ τὸ πληροφοροῦμαι αὐτό. Γιατὶ τόση δύναμη ἔχουν τὰ γράμματά σας ποὺ μοῦ ἀναγγέλλουν τὴν ὑγεία σας, ὥστε, ἂν καὶ περιστοιχιζόμαστε ἀπὸ τόσα δεινά, πολέμους, συγχύσεις, ταραχές, καθημερινοὺς θανάτους, ὅταν δέχομαι τόσες ἐπιστολές σας, παίρνω θάρρος ἀπὸ τὴν εὐχαρίστηση καὶ δοκιμάζω μεγάλη παρηγοριὰ ἀπὸ αὐτές. Γιατὶ τέτοια εἶναι ἡ γνήσια ἀγάπη, ὥστε καὶ μὲ γράμματα, ποὺ περιέχουν τέτοιες εὐχάριστες εἰδήσεις, νὰ μπορεῖ εὔκολα νὰ κερδίζει ἐκείνους ποὺ εἶναι σωματικὰ χωρισμένοι.

67

ΣΤΟ ΔΙΑΚΟΝΟ ΘΕΟΔΟΤΟ

Σὺ βέβαια, ἐντιμότατε καὶ εὐλαβέστατε κύριέ μου, ἀπαλλάχθηκες ἀπὸ τὰ κακὰ τῆς Ἀρμενίας, ἐμένα ὅμως μαζὶ μὲ τὶς ἐδῶ ταραχές, ἢ μᾶλλον μὲ τὶς καθημερινὲς θανατώσεις, μὲ λυπεῖ πάρα πολὺ καὶ τὸ ὅτι ἀποχωρίσθηκα τὴ δική σου γλυκύτητα καὶ τὴ γνήσια καὶ

τὸν ἀποχωρισμὸ (*Ἐπιστολὴ* 62). Στὸν ἴδιο πρεσβύτερο Κωνστάντιο θὰ στείλει ἀργότερα ὁ ἱερὸς πατὴρ καὶ δύο ἐπιστολές του (221 καὶ 225).

2. Πρβλ. καὶ *Ἐπιστολὴ* 62.

διαθέσεως. Γέγονε δὲ καὶ ἑτέρα λύπης ταύτης προσθήκη, ἡ μακρά σου τῆς ἐμμελείας σιγή. Ἐξ οὗ γὰρ ἐντεῦθεν ἀπῆρας, δευτέρας ταύτην ἐδεξάμεθα μόνην ἐπιστολήν· καὶ ταῦτα οὐκ ἐγκαλῶν λέγω, ἀλλ' ἀλγῶν. Ὅτι μὲν γὰρ ἄβατος ὁδοιπόροις ἡ ἐνταῦθα φέρουα ὁδός, οὐδεὶς ἀγνοεῖ· ἀλλὰ τοῦτο μὲν εἰς ἀπολογίαν σὴν ἀποχρῶν ἂν εἴη, εἰς δὲ ἡμετέραν παραμυθίαν οὐδαμῶς· ἀλλὰ καὶ δι' αὐτὸ μὲν οὖν τοῦτο μάλιστα ἀλγοῦμεν, ὅτι καὶ τὴν λειπομένην ἡμῖν παραψυχὴν τῆς ἀποδημίας τῆς σῆς καὶ ταύτην ἀφῃρήμεθα.

Ἐπεὶ οὖν τοῦτο λυθῆναι τέως οὐκ ἔνι τὸ ἄπορον, ἀλλ' ἐπιτείνεται καθ' ἑκάστην ἡμέραν τὰ δεινά, ἑτέρῳ τρόπῳ τὴν ἐκ τῆς μακρᾶς σιγῆς ἀθυμίαν ἐγγινομένην ἡμῖν παραμυθήσασθαι παρκλήθητι, μεμνημένος τε ἡμῶν διηνεκῶς, καὶ ἡνίκα ἂν γράφῃς, μακροτέρας ποιῶν τὰς ἐπιστολάς, καὶ τοῖς περὶ τῆς σῆς ὑγείας τε καὶ εὐθυμίας καὶ ἀσφαλείας ἐνδιατρίβων διηγήμασιν. Οὕτω γὰρ δυνήσῃ τὸ λεῖπον ἡμῖν ἐκ τοῦ χρόνου, ἐκ τοῦ μήκους παραμυθήσασθαι τῶν ἐπιστολῶν.

ΞΗ'

ΤΩι ΑΥΤΩι

Καὶ τοῦτο σὸν τοῦ θερμοτάτου καὶ σφοδροῦ ἡμῶν ἐραστοῦ. Μετὰ μὲν τὸ τὴν προτέραν ἀναγνῶναι ἐπιστολήν, ἐδεξάμην καὶ δευτέραν, ἐν μιᾷ ἀμφοτέρας ἡμέρᾳ, καὶ σφόδρα ἥσθην. Εἶχε γάρ τι πλέον ἡ δευτέρα, οὐχὶ ῥήματα σὰ μόνον, ἀλλὰ καὶ γράμματα σὰ ἡμῖν ἐπιδεικνῦσα, ὃ καὶ προσθήκην ἡμῖν πεποίηκεν ἡδονῆς, ὅτι μὴ τῆς ψυχῆς σου μόνον τῆς θερμῆς καὶ γνησίας, ἀλλὰ καὶ τῆς δεξιᾶς μετὰ δαψιλείας τὴν εἰκόνα ἐθεασάμεθα. Ποίει δὴ τοῦτο συνεχῶς, καὶ τὴν παραμυθίαν, ἣν αὐτὸς ἡμῖν καὶ τοῦτον ἐπενόησας τὸν τρόπον, μετὰ δαψιλείας πάρεχε.

Ἐνταῦθα γάρ σε ἑλκύσαι λοιπὸν οὐ τολμῶμεν· τοσαῦτα τῆς Ἀρμενίας τὰ κακά, καὶ χειμὼν ἕτερος ἅπαντα διεδέξατο. Ὅπου γὰρ ἂν τις ἀφίκηται, χειμάρρους αἱμάτων, πλῆθος σωμάτων νεκρῶν, οἰ-

εἰλικρινῆ σου διάθεση. Ὅμως προστέθηκε καὶ ἄλλη ἀφορμὴ λύπης, ἡ μακρὰ σιωπὴ τῆς χάριτός σου. Γιατὶ ἀπὸ τότε ποὺ ἔφυγες ἀπὸ ἐδῶ, μόνο δύο ἐπιστολὲς δέχθηκα. Καὶ αὐτὰ δὲν τὰ λέω ὡς κατηγορία, ἀλλὰ ἐπειδὴ πονῶ. Ὅτι βέβαια ὁ δρόμος ποὺ ὁδηγεῖ ἐδῶ εἶναι δύσβατος, κανεὶς δὲν τὸ ἀγνοεῖ. Ἀλλ' αὐτὸ θὰ μποροῦσε νὰ χρησιμεύσει γιὰ δική σου ἀπολογία, ὄχι ὅμως καὶ γιὰ δική μου παρηγοριά. Ἀντίθετα μάλιστα, γι' αὐτὸ πονῶ περισσότερο, ἐπειδὴ στερήθηκα καὶ τὴ μόνη παρηγοριὰ ποὺ μοῦ ἀπέμεινε ἀπὸ τὴν ἀποδημία σου.

Ἐπειδὴ λοιπὸν αὐτὴ ἡ δυσκολία δὲν εἶναι εὔκολο νὰ ξεπεραστεῖ σύντομα, ἀφοῦ τὰ δεινὰ κάθε μέρα αὐξάνονται, σὲ παρακαλῶ μὲ ἄλλο τρόπο νὰ παρηγορήσεις τὴ λύπη ποὺ μοῦ προκαλεῖται ἀπὸ τὴ μακρὰ σιωπή σου. Καὶ θὰ τὸ ἐπιτύχεις αὐτὸ καὶ μὲ τὸ νὰ μὲ θυμᾶσαι διαρκῶς, καὶ ὅταν γράφεις, νὰ κάνεις πιὸ μακροσκελεῖς τὶς ἐπιστολές, καὶ μὲ τὸ νὰ ἐπιμένεις στὶς περιγραφὲς τῆς ὑγείας, τῆς διαθέσεως καὶ τῆς ἀσφάλειάς σου. Γιατὶ μόνο ἔτσι θὰ μπορέσεις αὐτὸ ποὺ μοῦ λείπει ἀπὸ τὸ χρόνο, νὰ τὸ ἀναπληρώσεις μὲ τὴν ἔκταση τῶν ἐπιστολῶν.

68

ΣΤΟΝ ΙΔΙΟ

Καὶ αὐτὸ εἶναι δικό σου, τοῦ πιὸ θερμοῦ καὶ ἀφοσιωμένου φίλου μου. Μετὰ τὴν ἀνάγνωση λοιπὸν τῆς προηγούμενης ἐπιστολῆς, δέχτηκα καὶ δεύτερη, σὲ μιὰ μέρα καὶ τὶς δύο, καὶ εὐχαριστήθηκα πάρα πολύ. Γιατὶ ἡ δεύτερη εἶχε κάτι περισσότερο, δείχνοντάς μου ὄχι μόνο λόγια δικά σου, ἀλλὰ καὶ γράμματα δικά σου. Αὐτὸ αὔξησε τὴν εὐχαρίστησή μου, γιατὶ εἶδα πλουσιοπάροχα τὴν εἰκόνα ὄχι μόνο τῆς θερμῆς καὶ εἰλικρινοῦς, ἀλλὰ καὶ ἐπιδέξιας ψυχῆς σου. Κάνε το λοιπὸν αὐτὸ συνεχῶς καὶ τὴν παρηγοριά, ποὺ σὺ μὲ αὐτὸ τὸν τρόπο ἐπινόησες γιὰ μένα, δίνε μού την πλουσιοπάροχα.

Νὰ σὲ ἑλκύσω λοιπὸν ἐδῶ δὲν τολμῶ. Τὰ τόσα κακὰ τῆς Ἀρμενίας τὰ διαδέχτηκε ὅλα καὶ ἄλλη συμφορά. Γιατὶ ὅπου καὶ νὰ πάει κανεὶς θὰ δεῖ χειμάρρους αἱμάτων, πλῆθος νεκρῶν σωμάτων,

κίας κατεσκαμμένας, πόλεις ἀνῃρημένας ὄψεται. Ἡμεῖς δὲ δοκοῦμεν ἐν ἀσφαλείᾳ εἶναι, ὥσπερ ἐν δεσμωτηρίῳ χαλεπῷ, τῷ φρουρίῳ τούτῳ κατακεκλεισμένοι· οὐ μὴν ἀδείας ἀπολαύειν δυνάμεθα, διὰ τοὺς καθημερινοὺς φόβους, διὰ τὰς φήμας τῶν θανάτων γεμούσας, διὰ τὴν συνεχῶς προσδοκωμένην τῶν Ἰσαύρων ἔφοδον, διὰ τὴν τοῦ σώματος, ἣ μέχρι νῦν προσπαλαίομεν, ἀσθένειαν. Ἀλλ' ὅμως καὶ ἐν τοσούτοις ὄντες κακοῖς, οὐ μικρὰν καὶ ἐν τοσαύτῃ περιστάσει καρπούμεθα παραμυθίαν, ὅταν τὰ περὶ τῆς ὑγιείας τῆς σῆς εὐαγγελιζόμενα ἡμᾶς δεχώμεθα γράμματα.

ΞΘ'

ΝΙΚΟΛΑΩι ΠΡΕΣΒΥΤΕΡΩι

Καὶ τοῦτο τῆς γνησίας σου καὶ θερμῆς ἀγάπης, τὸ ἐκ τοσούτου καθήμενον διαστήματος περιτρέμειν ἡμῶν τῆς σωτηρίας. Πρώην μὲν οὖν τόπους ἐκ τόπων ἀμείβοντες ἐν αὐτῇ τοῦ χειμῶνος τῇ ἀκμῇ, νῦν μὲν ἐν πόλεσιν, νῦν δὲ ἐν φάραγξι καὶ νάπαις διετρίβομεν, ὑπὸ τῆς τῶν Ἰσαύρων ἐφόδου πανταχόθεν ἐλαυνόμενοι. Ὀψὲ δέ ποτε λωφησάντων μικρὸν τῶν ἐνταῦθα κακῶν, τὰς ἐρημίας ἀφέντες, ἐπὶ τὴν Ἀραβισσὸν κατεδράμομεν, ἀσφαλέστερον μὲν τῶν ἄλλων χωρίων τὸ ἐν αὐτῇ φρούριον εὑρόντες (οὐδὲ γὰρ ἐν τῇ πόλει διάγομεν, ἐπειδήπερ οὐδὲ τοῦτο ἀσφαλές), δεσμωτηρίου δὲ παντὸς χείρονα ὑπομένοντες οἴκησιν.

Μετὰ γὰρ τοῦ καθ' ἑκάστην, ὡς εἰπεῖν, τὴν ἡμέραν καὶ θύραις ἡμῖν εἶναι τὸν θάνατον, τῶν Ἰσαύρων πάντα ἐπιόντων καὶ πυρὶ καὶ σιδήρῳ καὶ σώματα καὶ οἰκοδομήματα ἀφανιζόντων, καὶ λιμὸν δεδοίκαμεν, ὃν ἡ στενοχωρία καὶ τὸ πλῆθος τῶν ἐνταῦθα συνδραμόντων ποιεῖν ἀπειλεῖ. Καὶ ἀρρωστίαν δὲ μακρὰν τὴν ἀπὸ τοῦ χειμῶνος

---

1. Ἡ Ἀραβισσὸς (σημερινὸ Γιαρποὺζ τῆς Καππαδοκίας) βρισκόταν σὲ μικρὴ ἀπόσταση ἀπὸ τὴν Κουκουσό. Τὸ χειμώνα τοῦ 406 μ.Χ. ὁ ἱερὸς Χρυσόστομος, ἐπειδὴ τὸ ἀπαίσιο κλῖμα τῆς Κουκουσοῦ ἐπιδείνωσε τὴν κλονισμένη ἔτσι κι ἀλλιῶς ὑγεία του, ἀλλὰ καὶ ἐξαιτίας τῶν συνεχῶν ληστρικῶν ἐπιδρομῶν τῶν Ἰσαύρων, μετακόμισε στὴν Ἀραβισσό, στὸ φρούριο τῆς ὁποίας, ὅπως ἀναφέρει σὲ πολλὲς ἐπιστο-

σπίτια κατασκαμμένα, πόλεις καταστραμμένες. Ἐμεῖς ὅμως νομίζω ὅτι βρισκόμαστε σὲ ἀσφάλεια, καθὼς εἴμαστε καλὰ κλεισμένοι στὸ φρούριο αὐτό, σὰν σὲ τρομερὸ δεσμωτήριο. Διότι δὲν ἔχομε ἐλευθερία ἐξαιτίας τῶν καθημερινῶν φόβων καὶ τῶν φημῶν ποὺ εἶναι γεμάτες θανάτους, ἐξαιτίας τῆς διαρκῶς ἀναμενόμενης ἐφόδου τῶν Ἰσαύρων, ἐξαιτίας τῆς ἀσθενείας τοῦ σώματός μου, μὲ τὴ ὁποία μέχρι τώρα ἀγωνίζομαι. Ὅμως, ἂν καὶ βρίσκομαι σὲ τόσα κακά, δὲ δοκιμάζω καὶ σ' αὐτὴ τὴν περίσταση μικρὴ παρηγοριὰ ὅταν δέχομαι τὰ γράμματα ποὺ μοῦ μεταφέρουν τὴν εὐχάριστη εἴδηση τῆς ὑγείας σου.

69

ΣΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟ ΝΙΚΟΛΑΟ

Καὶ αὐτὸ εἶναι ἀπόδειξη τῆς εἰλικρινοῦς καὶ θερμῆς σου ἀγάπης, τὸ ὅτι, ἂν καὶ βρίσκεσαι τόσο μακριά, τρέμεις σύγκορμα γιὰ τὴ σωτηρία μου. Προηγουμένως λοιπὸν μεταβαίνοντας ἀπὸ τόπο σὲ τόπο, μέσα στὴν καρδιὰ τοῦ χειμώνα, διαμέναμε ἄλλοτε σὲ πόλεις καὶ ἄλλοτε σὲ φαράγγια καὶ σὲ δασώδεις κοιλάδες, ἐκδιωκόμενοι ἀπὸ παντοῦ ἀπὸ τὶς ἐφόδους τῶν Ἰσαύρων. Τελευταῖα ὅμως ποὺ ἠρέμησαν κάπως τὰ ἐδῶ δεινά, ἀφήσαμε τὶς ἐρημιὲς καὶ καταφύγαμε στὴν Ἀραβισσό[1], τῆς ὁποίας τὸ φρούριο τὸ βρήκαμε βέβαια πιὸ ἀσφαλὲς ἀπὸ τὰ ἄλλα χωριὰ (γιατὶ δὲ μέναμε στὴν πόλη ποὺ κι' αὐτὴ δὲν ἦταν ἀσφαλής), ἀλλὰ μέναμε ἀναγκαστικὰ σὲ κατοικία ποὺ ἦταν χειρότερη ἀπὸ κάθε δεσμωτήριο.

Μαζὶ ὅμως μὲ τὸ ὅτι κάθε μέρα, διατρέχαμε, κατὰ κάποιον τρόπο, τὸν κίνδυνο τοῦ θανάτου, ἀφοῦ οἱ Ἴσαυροι ἐπετίθονταν σὲ ὅλα καὶ ἀφάνιζαν καὶ τὰ σώματα καὶ τὰ οἰκοδομήματα μὲ φωτιὰ καὶ μὲ ξίφος, ἀντιμετωπίζαμε καὶ τὸν κίνδυνο λιμοῦ, τὸν ὁποῖο, ἡ στενοχώρια καὶ τὸ πλῆθος τῶν δεινῶν ποὺ συνέτρεξαν ἐδῶ, ἀπειλοῦν νὰ μᾶς φέρουν. Ἀλλὰ καὶ τὴ μακρὰ ἀσθένεια ποὺ μὲ βρῆκε ἐξαιτίας

λές του, βρῆκε κάποια ἀσφάλεια καὶ βελτίωση τῆς ὑγείας του. Πρβλ. Β. Τζωρτζάτου, *Ἰω. ὁ Χρυσόστομος*, σελ. 44. ὑποσημ. 4. Στὴν Ἀραβισσὸ γεννήθηκε τὸ 539 ὁ αὐτοκράτορας τοῦ Βυζαντίου Μαυρίκιος, ὁ ὁποῖος κατέβαλε πολλὲς φροντίδες γι' αὐτήν.

καὶ τῆς συνεχοῦς φυγῆς ἐγγενομένην ἡμῖν ὑπομείναντες, νῦν τὸ μὲν χαλεπὸν αὐτῆς διαπεφεύγαμεν, ὀλίγα δὲ αὐτῆς περιφέρομεν λείψανα. Ἀλλ' ὅμως, καὶ ἐν τοσούτοις ὄντες κακοῖς καὶ τηλικαύταις περιστάσεσι, μεγίστην καρπούμεθα παραμυθίαν ἐκ τῆς ὑμετέρας ἀγάπης, τῆς θερμῆς, καὶ γνησίας καὶ ἀπεριτρέπτου.

Ταῦτ' οὖν εἰδότες, συνεχῶς ἡμῖν εὐαγγελίζεσθαι περὶ τῆς ὑγιείας τῆς ὑμετέρας μὴ κατοκνεῖτε. Εἰ γὰρ καὶ ἐκ τοσούτου καθήμεθα διαστήματος, ἀλλ' ὅμως τῇ τῆς ἀγάπης ἁλύσει μετὰ πολλῆς ὑμῖν συνδεδέμεθα τῆς ἀκριβείας. Χάριν δὲ ἔχω σου πολλὴν τῇ τιμιότητι, ὅτι καὶ τῶν ἐν Φοινίκῃ πραγμάτων, καὶ ἐν τοσαύταις ὢν ταραχαῖς, πολλὴν ποιῇ σπουδήν. Ἂν οὖν τι πλέον ἐκεῖθεν ἐπαγγελθείη, δηλῶσαι ἡμῖν μὴ κατοκνήσῃς. Ἡμῖν γὰρ οὐδεὶς οὐδαμόθεν ταχέως ἐπιχωριάζειν ἀνέχεται, τῶν ὁδῶν πανταχόθεν, τῶν ἐνταῦθα φερουσῶν, ἀποτετειχισμένων. Ἀλλ' ὅμως, εἰ καὶ ἐργῶδες τὸ πέμπειν πρὸς ἡμᾶς συνεχῶς, ἡνίκα ἂν ἐξῇ, τοῦτο ποίει, τά τε ἐκεῖθεν πάντα δηλῶν καὶ περὶ τῆς ὑγιείας ὑμῶν γνωρίζων, περὶ ἧς σφόδρα περισπούδαστον ἡμῖν μανθάνειν.

Ο'

ΑΦΘΟΝΙΩι, ΘΕΟΔΟΤΩι, ΧΑΙΡΕΑι, ΠΡΕΣΒΥΤΕΡΟΙΣ ΚΑΙ ΜΟΝΑΖΟΥΣΙΝ

Ἐβουλόμην καὶ αὐτὸς παραγενομένους ὑμᾶς ἐνταῦθα ἰδεῖν, ἀλλ' ἐπειδὴ πολλὰ τὰ κωλύοντα, τοῦτο μὲν οὐ τολμῶ νῦν ἀπαιτεῖν, ἀξιῶ δέ, καὶ πόρρωθεν ὄντας, τὴν ἀπὸ τῶν πεπαρρησιασμένων εὐχῶν ὑμῶν παρέχειν συμμαχίαν ἡμῖν (αὕτη γὰρ οὔτε χρόνῳ μαραίνεται ἡ βοήθεια, οὔτε ὁδοῦ μήκει διείργεται, ἀλλ' ὅπουπερ ἂν διάγῃ τις παρρησίαν πρὸς τὸν Θεὸν ἔχων, καθάπερ οὖν καὶ ὑμεῖς, δύναται καὶ τοὺς πόρρωθεν ὄντας ἐντεῦθεν τὰ μέγιστα ὠφελεῖν), μετὰ δὲ τῶν εὐχῶν καὶ γράμματα ἡμῖν παρέχειν τὰ συνεχῶς περὶ τῆς ὑγείας ὑμῶν εὐαγγελιζόμενα. Εἰ γὰρ καὶ πολλὰ τὰ πανταχόθεν ἡμῖν περιε-

τοῦ χειμώνα καὶ τῆς συνεχοῦς φυγῆς, ἀφοῦ τὴν ὑπόμεινα, τώρα τὸν κίνδυνό της τὸν διέφυγα καὶ μόνο λίγα κατάλοιπά της περιφέρω. Ὅμως, ἂν καὶ βρίσκομαι σὲ τόσα κακὰ καὶ σὲ τέτοιου εἴδους περιστάσεις, παίρνω πολὺ μεγάλο κουράγιο ἀπὸ τὴ δική σου ἀγάπη, τὴ θερμὴ καὶ εἰλικρινῆ καὶ ἀμετάβλητη.

Γνωρίζοντας λοιπὸν αὐτά, μὴ διστάζεις νὰ μοῦ στέλνεις εὐχάριστες εἰδήσεις γιὰ τὴ ὑγεία σου. Γιατί, ἂν καὶ διαμένω σὲ τόσο μακρινὴ ἀπόσταση, ὅμως εἶμαι πολὺ στενὰ δεμένος μαζί σου μὲ τὴν ἁλυσίδα τῆς ἀγάπης. Καὶ χρεωστῶ μεγάλη χάρη στὴν ἐντιμότητά σου, διότι καὶ γιὰ τὰ προβλήματα τῆς Φοινίκης δείχνεις μεγάλο ἐνδιαφέρον, ἂν καὶ βρίσκεσαι σὲ τόσες ταραχές. Ἂν λοιπὸν σοῦ γνωστοποιηθεῖ ἀπὸ ἐκεῖ κάτι ἐπὶ πλέον, μὴ παραλείψεις νὰ μοῦ τὸ ἀναφέρεις. Γιατὶ ἐμένα κανένας ἀπὸ πουθενὰ δὲν μπορεῖ νὰ μὲ ἐπισκεφθεῖ γρήγορα, ἐπειδὴ οἱ δρόμοι ποὺ ὁδηγοῦν ἐδῶ ἀπὸ παντοῦ εἶναι ἀποκλεισμένοι. Ὅμως, ἂν καὶ εἶναι δύσκολο νὰ μοῦ στέλνεις γράμματα συνεχῶς, ὅταν εἶναι δυνατὸν κάνε το, ἀναφέροντάς μου ὅλα ὅσα συμβαίνουν ἐκεῖ καὶ γνωρίζοντάς μου τὴν κατάσταση τῆς ὑγείας σου, γιὰ τὴν ὁποία εἶναι πολὺ σπουδαῖο γιὰ μένα νὰ μαθαίνω.

70

ΣΤΟΥΣ ΠΡΕΣΒΥΤΕΡΟΥΣ ΚΑΙ ΜΟΝΑΧΟΥΣ ΑΦΘΟΝΙΟ, ΘΕΟΔΟΤΟ ΚΑΙ ΧΑΙΡΕΑ

Ἤθελα καὶ ἐγὼ νὰ σᾶς δῶ νὰ ἔρχεσθε ἐδῶ, ἐπειδὴ ὅμως εἶναι πολλὰ τὰ ἐμπόδια, αὐτὸ βέβαια δὲν τολμῶ τώρα νὰ τὸ ἀπαιτήσω, ἔχω τὴν ἀξίωση ὅμως, μολονότι βρίσκεσθε μακριά, νὰ μοῦ παρέχετε τὴ συμμαχία τῶν θαρραλέων προσευχῶν σας (γιατὶ ἡ βοήθεια αὐτὴ οὔτε μὲ τὸ χρόνο μαραίνεται, οὔτε ἀπὸ τὴν ἀπόσταση τοῦ δρόμου ἐμποδίζεται, ἀλλά, ὅπου καὶ νὰ διαμένει κάποιος ποὺ ἔχει παρρησία πρὸς τὸ Θεό, ὅπως ἐσεῖς, μπορεῖ ἀπὸ ἐκεῖ νὰ ὠφελήσει πάρα πολὺ καὶ ἐκείνους ποὺ βρίσκονται μακριά). Μαζὶ μὲ τὶς προσευχὲς νὰ μοῦ στέλνετε καὶ γράμματα ποὺ νὰ μοῦ φέρνουν συνεχῶς εὐχάριστες εἰδήσεις γιὰ τὴν ὑγεία σας. Γιατί, ἂν καὶ εἶναι πολλὰ τὰ κύμα-

στοιχισμένα κύματα, καὶ ἐρημία τόπου, καὶ πολιορκία, καὶ Ἰσαύρων ἔφοδος, καὶ καθημερινὸς θάνατος (θανάτῳ γὰρ συζῶμεν διηνεκεῖ, καθάπερ ἐν δεσμωτηρίῳ, ἐν τῷ φρουρίῳ τούτῳ συγκεκλεισμένοι, καὶ σώματος ἀσθενείᾳ παλαίοντες χαλεπῇ), ἀλλ' ὅμως, εἰ καὶ πολλαὶ αἱ περιστάσεις, οὐ μικρὰν εἰς παραμυθίαν τῶν κακῶν τούτων τὴν ὑμετέραν ἔχομεν ἀγάπην.

Εἰ γὰρ καὶ ὀλίγα ὑμῖν συνεγενόμεθα, ἀλλὰ πολλὴν πεῖραν ὑμῶν τῆς διαθέσεως εἰλήφαμεν, τῆς γνησίας καὶ θερμῆς καὶ μέλιτος γλυκυτέρας, τῆς ἀπεριτρέπτου, τῆς σταθηρᾶς καὶ πεπηγυίας, ἣν καὶ παρόντες καὶ ἀπόντες ἐπιδείκνυσθε. Διὰ ταῦτα καίτοι καὶ πόρρωθεν ὑμῶν ὄντες, καὶ τοσούτοις συνεχόμενοι δεινοῖς, ὥσπερ ἐν λιμένι τινὶ τῇ μνήμῃ τῆς ὑμετέρας ἀρετῆς ἐπαναπαυόμεθα, θησαυρὸν μέγιστον τὴν ὑμετέραν ἀγάπην εἶναι νομίζοντες. Τῆς μὲν οὖν χαλεπῆς ἀρρωστίας ἀπηλλάγημεν, τοῦ χειμῶνος παρελθόντος καὶ ἐπιστάντος τοῦ ἦρος, ἔτι δὲ τὰ λείψανα αὐτῆς περιφέρομεν, ἅπερ ἐπιτρίβει τῶν ἰσαυρικῶν θορύβων ἡ συνέχεια.

Ταῦτ' οὖν εἰδότες καὶ πόρρωθεν ὄντες μεμνῆσθαί τε ἡμῶν διηνεκῶς μὴ κατοκνεῖτε, καὶ γράφειν ἡμῖν συνεχῶς, ἡνίκα ἂν ἐξῇ, τὰ περὶ τῆς ὑγιείας τῆς ὑμετέρας εὐαγγελιζόμενοι.

ΟΑ'

ΜΑΛΧΩ[1]

Μήτε ἀθύμει, μήτε ἁμαρτίαις λογίζου τὴν καλλίστην ἀποδημίαν τῆς μακαρίας θυγατρός σου. Εἰς γὰρ ἀκύμαντον κατέπλευσε λιμένα καὶ πρὸς ζωὴν ἦλθε μηκέτι πέρας ἔχουσαν καί, τῶν κατὰ τὸν παρόντα βίον κυμάτων ἀπαλλαγεῖσα, ἕστηκεν ἐπὶ τῆς πέτρας, ὅσα συνήγαγεν ἀγαθά, ὥσπερ ἐν ἀσύλῳ λοιπὸν ἔχουσα θησαυρῷ. Καὶ δεῖ χαίρειν ὑπὲρ τούτων καὶ σκιρτᾶν καὶ εὐφραίνεσθαι, ὅτι τὴν ἐκείνης ψυχήν, καθάπερ γεωργὸς ἄριστος καρπὸν ὥριμον, τῷ κοινῷ πάντων παρέστησας Δεσπότῃ.

---

1. Ὁ θάνατος οἰκείων προσώπων, ὅσο ὀδυνηρὸς καὶ ἂν εἶναι, δὲν πρέπει νὰ

τα ποὺ ἀπὸ παντοῦ μὲ περικυκλώνουν, καὶ ἐρημιὰ τοῦ τόπου καὶ πολιορκία καὶ ἐπίθεση τῶν Ἰσαύρων καὶ καθημερινὸς θάνατος (γιατὶ ζῶ μὲ διαρκῆ θάνατο ὄντας κλεισμένος σ' αὐτὸ τὸ φρούριο, σὰν σὲ φυλακή, καὶ παλεύοντας μὲ βαρειὰ τοῦ σώματος ἀσθένεια), ἀλλ' ὅμως, ἂν καὶ εἶναι πολλὰ τὰ δεινά, ἔχω μεγάλη παρηγοριὰ στὰ κακὰ αὐτὰ τὴ δική σας ἀγάπη.

Πράγματι, μολονότι γιὰ λίγο μόνο ἤμαστε μαζί, ἐν τούτοις ἀπέκτησα πολλὴ πείρα τῆς διαθέσεώς σας, ποὺ εἶναι εἰλικρινὴς καὶ θερμὴ καὶ γλυκύτερη ἀπὸ μέλι, ἀμετάβλητη καὶ σταθερὴ καὶ γρανιτώδης, τὴν ὁποία δείχνετε καὶ παρόντες καὶ ἀπόντες. Γι' αὐτό, ἂν καὶ βρίσκομαι μακριά σας καὶ ἐνοχλοῦμαι ἀπὸ τόσα δεινά, ἀνακουφίζομαι σὰν σὲ κάποιο λιμάνι, μὲ τὴν ἀνάμνηση τῆς δικῆς σας ἀρετῆς, θεωρώντας τὴν ἀγάπη σας πάρα πολὺ μεγάλο θησαυρό. Ἀπὸ τὴ φοβερὴ λοιπὸν ἀρρώστια ἀπαλλάχθηκα μόλις πέρασε ὁ χειμώνας καὶ ἦρθε ἡ ἄνοιξη, φέρνω ὅμως τὰ ὑπολείμματά της, ποὺ τὰ ἐρεθίζουν οἱ συνεχεῖς ἐνοχλήσεις τῶν Ἰσαύρων.

Γνωρίζοντας λοιπὸν αὐτά, ἔστω καὶ ἂν βρίσκεσθε μακριά, μὴ ἀδιαφορεῖτε νὰ μὲ θυμᾶσθε διαρκῶς καὶ νὰ μοῦ γράφετε συνεχῶς, ὅταν εἶναι δυνατόν, ἀναγγέλοντάς μου τὴν εὐχάριστη εἴδηση τῆς ὑγείας σας.

71

ΣΤΟΝ ΜΑΛΧΟ

Οὔτε νὰ λυπᾶσαι οὔτε νὰ καταλογίζεις στὶς ἁμαρτίες τὴν καλὴ ἀποδημία τῆς μακαρίτισσας θυγατέρας σου[1]. Γιατὶ κατέπλευσε σὲ γαλήνιο λιμάνι καὶ πῆγε σὲ μιὰ ζωὴ ποὺ δὲν ἔχει πλέον τέλος καί, ἀφοῦ ἀπαλλάχθηκε ἀπὸ τὰ κύματα τῆς παρούσας ζωῆς, στέκεται πάνω σὲ βράχο, ἔχοντας σὰν σὲ ἀσύλητο θησαυροφυλάκιο ὅσα ἀγαθὰ συγκέντρωσε. Καὶ πρέπει νὰ χαίρεσαι γι' αὐτὰ καὶ νὰ σκιρτᾶς καὶ νὰ εὐφραίνεσαι, διότι, ὡς ἄριστος γεωργός, παρουσίασες τὴν ψυχὴ ἐκείνη καρπὸ ὥριμο στὸν κοινὸ ὅλων μας Δεσπότη.

μᾶς βυθίζει στὴ λύπη. Γιατὶ ἐκεῖνοι ποὺ ἀποθνήσκουν καταπλέουν σὲ γαλήνιο λιμάνι καὶ σὲ μιὰ ζωὴ χωρὶς τέλος, ἀπαλλασόμενοι ἀπὸ τὶς δοκιμασίες τῆς ἐδῶ ζωῆς.

Ταῦτα καὶ τὰ ἐκ τῶν τοιούτων λογισμῶν ἐπιτιθεὶς φάρμακα καὶ σαυτῷ καὶ τῇ κυρίᾳ μου τῇ κοσμιωτάτῃ μητρὶ αὐτῆς, πλεόναζε τὸν ὑπὲρ τούτων ἀποκείμενον ὑμῖν μισθόν, ἵνα, μὴ μόνον τῆς καλλίστης ἀνατροφῆς, ἀλλὰ καὶ τοῦ πρᾴως καὶ εὐχαρίστως ἐνεγκεῖν τὴν καλλίστην ταύτην αὐτῆς ἀποδημίαν, πολλὴν παρὰ τοῦ φιλανθρώπου Θεοῦ λάβητε τὴν ἀντίδοσιν.

ΟΒʹ

ΑΛΦΙΩι

Ἡμεῖς εἰ καὶ πόρρω σου καθήμεθα, ἀλλ' ἀκούοντές σου τὰ κατορθώματα καὶ τὴν πολλὴν μεγαλοψυχίαν, ἣν περὶ τοὺς δεομένους ἐπιδείκνυσαι, σκιρτῶμεν, εὐφραινόμεθα, χαίρομεν. Καὶ ἐβουλόμεθα μὲν καὶ κατ' ὄψιν συντυχεῖν σου τῇ τιμιότητι καὶ πολλὰς παρόντι παρόντας ὁμολογῆσαί σοι χάριτας, ἐπειδὴ δὲ τοῦτο τέως οὐκ ἔνι, διὰ τὸ τὰ ἰσαυρικὰ μὲν ἐπιταθῆναι πλέον καὶ πᾶσαν ἀποτετειχίσθαι τὴν ὁδὸν (εὖ γὰρ οἶδ' ὅτι, εἰ μὴ τοῦτο ἦν, καὶ αὐτὸς παρεγένου καὶ πολλὴν ἐποιήσω σπουδὴν δραμεῖν ἕως ἡμῶν), ἀλλ' ἐπειδὴ τοῦτο τέως οὐ δυνατόν, καὶ γράφομεν καὶ προσαγορεύομέν σου τὴν τιμιότητα καὶ παρακαλοῦμεν συνεχῶς, ἡνίκα ἂν ἐξῇ, ἐπιστέλλειν ἡμῖν, καὶ τὰ περὶ τῆς ὑγείας σου καὶ τοῦ οἴκου σου παντὸς ἡμῖν εὐαγγελίζεσθαι. Οὐ γὰρ τὴν τυχοῦσαν, καὶ ἐνταῦθα καθήμενοι, ἀπὸ τῶν τοιούτων γραμμάτων τῆς σῆς τιμιότητος καρπωσόμεθα τὴν παράκλησιν.

ΟΓʹ

ΑΓΑΠΗΤΩι

Εἰ καὶ πολὺς μεταξὺ χρόνος, ἐξ οὗ τῆς θαυμασιότητος ἐχωρίσθημεν τῆς σῆς, καὶ τῆς ὁδοῦ δὲ αὐτῆς πολὺ τὸ μέσον τὸ διεῖργον ἡμᾶς, ἀλλ' ὅμως τῇ ἀγάπῃ συνδεδέμεθά σοι καὶ πλησίον σου διατρί-

Αὐτὰ καὶ ὅσα προκύπτουν ἀπὸ αὐτοὺς τοὺς συλλογισμοὺς χρησιμοποιώντας τα ὡς φάρμακα καὶ στὸν ἑαυτό σου καὶ στὴν κυρία μου τὴν ἄψογη μητέρα της, αὔξανε τὸ μισθὸ ποὺ γι' αὐτὰ ἔχει ἀποτεθεῖ πρὸς χάρη σας, γιὰ νὰ ἔχετε πλούσια ἀνταπόδοση ἀπὸ τὸν φιλάνθρωπο Θεό, ὄχι μόνο γιὰ τὴν πολὺ καλὴ ἀνατροφή της, ἀλλὰ καὶ γιὰ τὸ ὅτι μὲ ἠρεμία καὶ εὐχαρίστηση ὑπομείνατε αὐτὴν τὴν πάρα πολὺ καλὴ ἀποδημία της.

72

ΣΤΟΝ ΑΛΦΙΟ

Ἐγώ, ἂν καὶ βρίσκομαι μακριά σου, ἀκούοντας τὰ κατορθώματά σου καὶ τὴν πολλὴ μεγαλοψυχία ποὺ δείχνεις σ' αὐτοὺς ποὺ ἔχουν ἀνάγκη, σκιρτῶ καὶ εὐφραίνομαι καὶ χαίρομαι. Καὶ θὰ ἤθελα βέβαια νὰ συναντήσω καὶ προσωπικὰ τὴν ἐντιμότητά σου καὶ νὰ σοῦ ἐκφράσω πολλὲς εὐχαριστίες παρὼν πρὸς παρόντα. Αὐτὸ ὅμως πρὸς τὸ παρὸν δὲν εἶναι δυνατό, ἐπειδὴ καὶ οἱ ἐπιθέσεις τῶν Ἰσαύρων ἔχουν ἐνταθεῖ περισσότερο καὶ ὅλος ὁ δρόμος ἔχει ἀποκλεισθεῖ. Γνωρίζω ὅμως καλὰ ὅτι, ἐὰν δὲν ὑπῆρχε αὐτό, καὶ σὺ θὰ ἐρχόσουν καὶ θὰ φρόντιζες πολὺ νὰ τρέξεις πρὸς ἐμένα. Ἀλλ' ἐπειδὴ αὐτὸ πρὸς τὸ παρὸν δὲν εἶναι δυνατό, γι' αὐτὸ γράφω καὶ χαιρετίζω τὴν ἐντιμότητά σου καὶ παρακαλῶ νὰ μοῦ γράφεις συνεχῶς, ὅταν εἶναι ἐπιτρεπτό, καὶ νὰ μὲ πληροφορεῖς γιὰ τὰ εὐχάριστα τῆς ὑγείας σου καὶ ὁλόκληρου τοῦ σπιτιοῦ σου. Γιατὶ καὶ ἐδῶ ποὺ εἶμαι θὰ δοκιμάζω μεγάλη παρηγοριὰ ἀπὸ τὰ γράμματα αὐτὰ τῆς ἐντιμότητάς σου.

73

ΣΤΟΝ ΑΓΑΠΗΤΟ

Ἂν καὶ μεσολάβησε πολὺς χρόνος ἀπὸ τότε ποὺ ἀποχωρίστηκα τὴ θαυμασιότητά σου, καὶ ἡ ἀπόσταση τοῦ δρόμου ποὺ μὲ ἐμποδίζει εἶναι μεγάλη, ὡστόσο εἶμαι δεμένος μαζί σου μὲ τὴν ἀγάπη

βομεν, μᾶλλον δὲ καὶ ἐν αὐτῇ σε ἔχομεν τῇ διανοίᾳ, πανταχοῦ περιφέροντες ὅπουπερ ἂν ὦμεν. Καὶ τὴν ἐξ ἀρχῆς σοι πρὸς ἡμᾶς γεγενημένην φιλίαν, τὴν θερμὴν καὶ γνησίαν, τὴν σφοδρὰν καὶ ἀκλινῆ ἐγκολάψαντες ἡμῶν ἔχομεν τῷ συνειδότι. Καὶ αὐτοὶ δὲ ἀκμάζουσαν τὴν περὶ σὲ διάθεσιν διατηροῦμεν, δέσποτα τιμιώτατε καὶ θαυμασιώτατε, οὐδὲν ἀπὸ τοῦ πλήθους τοῦ χρόνου, οὐδὲ ἀπὸ τοῦ μήκους τοῦ κατὰ τὴν ὁδὸν ἀφέντες αὐτὴν ἀσθενεστέραν γενέσθαι.

Παρακαλῶ τοίνυν, ἡνίκα ἂν ἐξῇ, καὶ γράφειν ἡμῖν συνεχῶς μὴ κατόκνει περὶ τῆς ὑγιείας τῆς σῆς. Οἶσθα γὰρ ὅπως αὐτῆς ἀντεχόμεθα καὶ ἡλίκην ἡμῖν χαριῇ χάριν, τοιαῦτα πρὸς ἡμᾶς διαπεμπόμενος γράμματα.

ΟΔ'

ΗΣΥΧΙΩι

Ἐγὼ μέν σε καὶ ἰδεῖν ἐπεθύμουν καὶ οὐκ ἄν με ἐκώλυσεν οὔτε ὁ τῶν Ἰσαύρων φόβος, οὔτε ἡ τοῦ σώματος ἀσθένεια, εἴ γε ἐπ' ἐμοὶ τὸ κινεῖσθαι, ὅπουπερ ἐβουλόμην, ἔκειτο· σὲ δέ, καίτοι κύριον ὄντα τούτου, οὐδὲ οὕτως ἕλκω, οὐδὲ ἀναστῆναι οἴκοθεν παρακαλῶ καὶ πρὸς ἡμᾶς δραμεῖν. Ἀλλά, καὶ τῆς ὥρας τοῦ ἔτους τοῦτο ἐπιτρεπούσης καὶ τῆς ἀποδημίας δι' ὀλίγου σοι γινομένης (οὐ γὰρ πολλῷ διειργόμεθα τῷ μέσῳ), ὅμως ἑλκύσαι σε ἐνταῦθα οὐκ ἂν ἑλοίμην, διὰ τὸν τῶν Ἰσαύρων φόβον. Παρακαλῶ δὲ συνεχῶς ἡμῖν τὰ περὶ τῆς ὑγιείας ἐπιστέλλειν τῆς σῆς· οὐ γὰρ δήπου καὶ πρὸς τοῦτο κώλυμα τῶν ληστῶν ἔσται σοι ἡ καταδρομή.

Δίδου δὴ ταύτην ἡμῖν τὴν χάριν, ῥᾳδίαν τε οὖσαν καὶ εὔκολον καὶ πολλὴν παρέχουσαν ἡμῖν τὴν εὐφροσύνην. Οἶσθα γὰρ ἡλίκα ἡμῖν χαριῇ, ταύτην περὶ ἡμᾶς ἐπιδεικνύμενος τὴν φιλοτιμίαν.

ΟΕ'

ΑΡΜΑΤΙΩι

Τί τοῦτο; Ἵνα μὲν μετὰ ἀδείας ἐπιτάττωμεν τοῖς σοὶ προσή-

καὶ ζῶ κοντά σου, ἢ μᾶλλον σὲ ἔχω μέσα στὸ νοῦ μου καὶ σὲ περιφέρω ὅπου καὶ ἂν βρίσκομαι. Καὶ τὴ φιλία σου ποὺ δημιουργήθηκε ἀπὸ τὴν ἀρχὴ πρὸς ἐμένα, τὴ θερμὴ καὶ εἰλικρινῆ καὶ δυνατὴ καὶ ἀκλόνητη, τὴν ἔχω χαραγμένη στὴ συνείδησή μου. Ἀλλὰ καὶ ἐγὼ διατηρῶ ἀκμαία τὴ διάθεσή μου γιὰ σένα, δεσπότη ἐντιμότατε καὶ θαυμασιώτατε, χωρὶς νὰ τὴν ἀφήσω νὰ ἐξασθενήσει ἐξαιτίας τοῦ μακροῦ χρόνου ἢ τοῦ μήκους τοῦ δρόμου.

Παρακαλῶ λοιπόν, ὅταν εἶναι δυνατό, νὰ μὴ ἀμελεῖς νὰ μοῦ γράφεις συνεχῶς γιὰ τὴν ὑγεία σου. Γιατὶ γνωρίζεις πόσο ἐνδιαφέρομαι γι' αὐτὴν καὶ πόσο μεγάλη χαρὰ θὰ μοῦ χαρίσεις στέλνοντάς μου τέτοια γράμματα.

74

ΣΤΟΝ ΗΣΥΧΙΟ

Ἐγὼ βέβαια ἐπιθυμοῦσα νὰ σὲ δῶ καὶ δὲν θὰ μὲ ἐμπόδιζε οὔτε ὁ φόβος τῶν Ἰσαύρων, οὔτε ἡ ἀσθένεια τοῦ σώματος, ἐὰν φυσικὰ ἦταν στὸ χέρι μου νὰ κινοῦμαι ὅπου ἤθελα. Ἐσένα ὅμως, ἂν καὶ εἶσαι κύριος αὐτοῦ, οὔτε καὶ ἔτσι θὰ ἤθελα νὰ σὲ φέρω ἐδῶ, οὔτε σὲ παρακαλῶ νὰ σηκωθεῖς ἀπὸ τὸ σπίτι σου καὶ νὰ τρέξεις πρὸς ἐμένα. Ἀλλὰ καὶ νὰ τὸ ἐπέτρεπε ἡ ἐποχὴ τοῦ ἔτους καὶ ἡ ἀποδημία σου νὰ διαρκοῦσε λίγο (γιατὶ δὲν θὰ ἐμποδιζόμασταν ἀπὸ τὴν μεγάλη ἀπόσταση), πάλι δὲν θὰ προτιμοῦσα νὰ σὲ τραβήξω πρὸς τὰ ἐδῶ, ἐξαιτίας τοῦ φόβου τῶν Ἰσαύρων. Παρακαλῶ ὅμως νὰ μοῦ γράφεις συνεχῶς γιὰ τὴν ὑγεία σου. Γιατὶ ὁπωσδήποτε δὲ θὰ σοῦ εἶναι ἐμπόδιο σ' αὐτὸ ἡ ἐπιδρομὴ τῶν ληστῶν.

Δίνε μου λοιπὸν αὐτὴ τὴν εὐχαρίστηση, ποὺ εἶναι δυνατὴ καὶ εὔκολη καὶ μοῦ δίνει πολλὴ εὐφροσύνη. Γιατὶ γνωρίζεις πόσα θὰ μοῦ χαρίσεις, δείχνοντάς μου αὐτὴ τὴ γενναιοδωρία.

75

ΣΤΟΝ ΑΡΜΑΤΙΟ

Γιατί αὐτό; Γιὰ νὰ ἔχω τὴν ἄδεια νὰ διατάζω τοὺς ἀνθρώπους

κουσιν ἀνθρώποις, ἐν οἷς ἂν δεώμεθα, πολλὴν παρέσχες τὴν ἐξουσίαν· οὗ δὲ μάλιστα ἐδεόμεθα, τούτου ἡμᾶς ἀπεστέρησας, τῶν γραμμάτων λέγω τῶν σῶν, τῶν περὶ τῆς ὑγιείας τῆς σῆς ἡμῖν ἀπαγγελλόντων. Οὐκ οἶσθα ὅτι τοῖς μάλιστα φιλοῦσι γνησίως τοῦτο μάλιστα περισπούδαστον καὶ ποθεινόν, καθάπερ οὖν καὶ ἡμῖν νῦν; Εἰ τοίνυν βούλει ἡμῖν χαρίσασθαι, δέσποτά μου τιμιώτατε, ἀφεὶς τὸ κελεύειν τοῖς σοῖς ἀνθρώποις θεραπεύειν ἡμᾶς ἐν ταῖς χρείαις ταῖς σωματικαῖς (οὐδενὸς γὰρ δεόμεθα τούτων, ἀλλὰ πάντα ἡμῖν ὡς ἐκ πηγῶν ἐπιρρεῖ), αὐτὸς διὰ χάρτου μικροῦ καὶ μέλανος τὴν μεγίστην ἡμῖν πάρεχε χάριν, καὶ ἧς μάλιστα ἀπολαύειν ἐπιθυμοῦμεν. Αὕτη δέ ἐστι τὸ συνεχῶς ἡμῖν γράφειν περὶ τῆς ὑγιείας τῆς σῆς καὶ τοῦ οἴκου σου παντός. Εἰ μὲν γὰρ δυνατὸν ἦν καὶ συγγενέσθαι ἡμᾶς ἀλλήλοις, κἂν ἀνέστησά σε οἴκοθεν, κἂν ἐν μεγίστης ᾔτησα χάριτος μέρει, τὸ τὸν θερμόν σε οὕτως ἐραστὴν ἡμῶν ὄντα καὶ κατ' ὄψιν ἰδεῖν αὐτήν. Ἐπεὶ δὲ τοῦτο ὁ τῶν Ἰσαύρων ἐκώλυσε φόβος, τὴν γοῦν ἀπὸ τῶν γραμμάτων ἡμῖν παραμυθίαν πάρεχε δαψιλῶς, καὶ τὸ πᾶν ἀπειλήφαμεν.

ΟΣ'

ΧΑΛΚΙΔΙΑι

Ἐγὼ μὲν σφόδρα ἐπιθυμῶ σὺν ἡμῖν εἶναι τὸν δεσπότην μου τὸν τιμιώτατον πρεσβύτερον. Εἰ δὲ τὸ παραγενέσθαι αὐτόθι τοῦτον οἶσθα λυσιτελές, προτιμῶ τῆς ἐνταῦθα αὐτοῦ παρουσίας τὴν ἄδειαν αὐτοῦ καὶ τὸ τῆς ἐπικειμένης ἀπαλλαγῆναι ταραχῆς. Μὴ τοίνυν νομίσῃς αὐτὸν κωλύεσθαι παρ' ἡμῶν, εἰ βούλοιτο ἀποδημεῖν. Ἡμεῖς γὰρ ἕως τοῦ νῦν διὰ τοῦτο αὐτὸν ἐπέσχομεν, ὡς οὐ σφόδρα τῆς τοῦ πράγματος φύσεως ἀπαιτούσης αὐτοῦ τὴν παρουσίαν καὶ δεδοικότες μήποτε εἰς τὰς τῶν Ἰσαύρων ἐμπέσῃ χεῖρας. Εἰ δὲ οὕτως ἀναγκαῖον τὸ αὐτόθι παραγενέσθαι καὶ παρακαλοῦμεν καὶ προτρεπόμεθα ἅψασθαι τῆς ἀποδημίας. Κἂν γὰρ τῷ σώματι κεχωρισμένοι ὦμεν, ἀλλὰ τῇ τῆς ἀγάπης ἁλύσει μένομεν πρὸς αὐτὸν συνδεδεμένοι. Μηδέν σε θορυβείτω, παρακαλῶ, τῶν συμπιπτόντων χαλεπῶν.

σου γιὰ ὅσα ἔχω ἀνάγκη, μοῦ ἔδωσες μεγάλη ἐξουσία, μοῦ στέρησες ὅμως ἐκεῖνο ποὺ εἶχα περισσότερο ἀνάγκη, ἐννοῶ τὰ γράμματά σου, ποὺ μὲ πληροφοροῦν γιὰ τὴν ὑγεία σου. Δὲν γνωρίζεις ὅτι σ' ἐκείνους ποὺ ἀγαποῦν πάρα πολὺ εἰλικρινὰ αὐτὸ εἶναι τὸ πιὸ σπουδαῖο καὶ περιπόθητο, ὅπως καὶ σὲ μένα τώρα; Ἐὰν λοιπὸν θέλεις νὰ μοῦ δώσεις χαρά, ἐντιμότατε δεσπότη μου, ἀφήνοντας τὸ νὰ διατάζεις τοὺς ἀνθρώπους σου νὰ μὲ ἐξυπηρετοῦν στὶς σωματικὲς ἀνάγκες μου (γιατὶ δὲν ἔχω ἀνάγκη κανενὸς ἀπὸ αὐτά, ἀφοῦ ὅλα εἰσρέουν σὲ μένα σὰν ἀπὸ πηγές), κάνε μου ὁ ἴδιος μὲ μικρὸ χαρτὶ καὶ μελάνι τὴν πιὸ μεγάλη χάρη, τὴν ὁποία καὶ θέλω πολὺ νὰ ἀπολαμβάνω. Καὶ εἶναι ἡ χάρη αὐτὴ νὰ μοῦ γράφεις συνεχῶς γιὰ τὴν ὑγεία τὴ δική σου καὶ ὁλόκληρης τῆς οἰκογένειάς σου. Γιατί, ἂν ἦταν δυνατὸ νὰ συναντηθοῦμε, ἔστω καὶ ἂν σὲ ξεσήκωνα ἀπὸ τὸ σπίτι σου καὶ σοῦ ζητοῦσα μέρος ἀπὸ μεγάλη χάρη, θὰ τὸ ἔκανα γιὰ νὰ δῶ κατὰ πρόσωπο ἐσένα τὸν πιὸ θερμὸ καὶ τόσο μεγάλο φίλο μου. Ἐπειδὴ ὅμως αὐτὸ τὸ ἐμποδίζει ὁ φόβος τῶν Ἰσαύρων, δίνε μου τουλάχιστον τὴν παρηγοριὰ τῶν γραμμάτων πλουσιοπάροχα καὶ τὰ διαγράφω ὅλα.

76

ΣΤΗ ΧΑΛΚΙΔΙΑ

Ἐγὼ βέβαια ἐπιθυμῶ πάρα πολὺ νὰ βρίσκεται μαζί μου ὁ δεσπότης μου ὁ ἐντιμότατος πρεσβύτερος. Ἂν ὅμως τὸ νὰ ἔλθει αὐτὸς ἐδῶ τὸ θεωρεῖς χρήσιμο, ἐγὼ ἀντὶ τῆς ἐδῶ παρουσίας του προτιμῶ τὴν ἐλευθερία του καὶ τὴν ἀπαλλαγή του ἀπὸ τὴν ἐπερχόμενη ἀναταραχή. Μὴ νομίσεις λοιπὸν ὅτι ἐμποδίζεται ἀπὸ μένα, ἂν ἤθελε νὰ ἀποδημήσει. Γιατὶ ἐγὼ μέχρι τώρα γι' αὐτὸ τὸν συγκρατοῦσα, ἐπειδὴ ἡ φύση τῆς καταστάσεως δὲν ἀπαιτοῦσε ὁπωσδήποτε τὴν παρουσία του καὶ ἐπειδὴ φοβόμουν μήπως πέσει στὰ χέρια τῶν Ἰσαύρων. Ἐὰν ὅμως εἶναι τόσο πολὺ ἀναγκαῖο νὰ ἔλθει ἐδῶ, παρακαλῶ καὶ προτρέπω νὰ ἀναλάβει τὴν ἀποδημία. Γιατί, μολονότι εἶμαι χωρισμένος σωματικά, ὅμως μένω δεμένος μαζί του μὲ τὴν ἁλυσίδα τῆς ἀγάπης. Καὶ παρακαλῶ νὰ μὴ σὲ τρομάζει κανένα ἀπὸ τὰ

Ὅσῳ γὰρ πλείους αἱ περιστάσεις, τοσούτῳ σοι μείζων ἡ πραγματεία καὶ πλείων ὁ μισθὸς καὶ ἡ ἀντίδοσις παρὰ τοῦ φιλανθρώπου Θεοῦ, ἂν εὐχαρίστως φέρῃς καὶ γενναίως τὰ συμβαίνοντα. Οὕτω γὰρ καὶ ταῦτα εὐκαταγώνιστα ἔσται, καὶ ὁ ἐκ τῆς τούτων ὑπομονῆς σοι τικτόμενος καρπὸς ἐν τοῖς οὐρανοῖς δαψιλὴς ἔσται καὶ πολὺ μείζων τῶν παθημάτων.

ΟΖ'

ΑΣΥΓΚΡΙΤΙΑι

Καὶ ἔμπροσθεν ἐπέσταλκά σου τῇ τιμιότητι, ὅτι καὶ σὲ μετὰ τῶν παραγενομένων ἀριθμοῦμεν κατὰ τὸν τῆς ἀγάπης λόγον, καὶ νῦν τὸ αὐτὸ λέγομεν, ὅτι τῇ γνώμῃ παραγέγονας. Εἰ δὲ ἡ ἀσθένεια τοῦ σώματος διεκώλυσε καὶ οἱ θόρυβοι οἱ τὴν Ἀρμενίαν κατειληφότες, ἡμεῖς ἀπὸ τῆς γνώμης καὶ τῆς προαιρέσεως τὴν αὐτὴν περὶ τῆς διαθέσεώς σου ψῆφον ἔχομεν, ἥνπερ καὶ ἔμπροσθεν. Μὴ τοίνυν καταφρόνει συνεχῶς ἡμῖν ἐπιστέλλειν, καὶ εἴ σοι λέλυται τὰ τῆς ἀρρωστίας, καὶ περὶ τῆς ὑγείας σου δηλοῦν. Ἐπεὶ καὶ νῦν σφόδρα ἠλγήσαμεν, ἀκούσαντές σε ἐν ἀρρωστίᾳ εἶναι.

Ἵν' οὖν μὴ μεριμνῶμεν περὶ τούτου, διὰ τάχους ἡμῖν δήλωσον, εἰ πρὸς ὑγείαν σοι τὰ τῆς ἀρρωστίας μεταβέβληται.

ΟΗ'

ΡΩΜΑΝΩι ΠΡΕΣΒΥΤΕΡΩι

Οὐ μέχρι τῆς Ἀρμενίας μόνον, οὐδὲ τῆς Καππαδόκων χώρας, ἀλλὰ καὶ πορρωτέρω, τῆς ἀγάπης σου καὶ τῆς διαθέσεως, ἣν περὶ ἡμᾶς ἐπεδείξω διηνεκῶς, σάλπιγγος λαμπροτέρα ἡ φήμη παραγέγονε. Διόπερ καὶ ἡμεῖς σφόδρα καλλωπιζόμεθα ἐπὶ τῇ διαθέσει τῆς εὐλαβείας σου, καὶ μακαρίζοντές σε οὐ διαλιμπάνομεν, καὶ σοῦ δεόμεθα συνεχῶς ἐπιστέλλειν ἡμῖν περὶ τῆς ὑγείας τῆς σῆς. Εἰ γὰρ καὶ ἐν ἐρημίᾳ καθήμεθα καὶ πόρρῳ ὑμῶν ἀπῳκίσμεθα, ἀλλ' ὅμως τῇ τῆς ἀγάπης ἀλύσει συνδεδέμεθά σοι, ἣν ἐξ ἀρχῆς διάθεσιν περὶ τὴν σὴν

δεινὰ ποὺ συμβαίνουν. Γιατί, ὅσο πιὸ πολλὲς εἶναι οἱ περιστάσεις, τόσο μεγαλύτερη γιὰ σένα καί ἡ προσπάθεια καὶ περισσότερος ὁ μισθὸς καὶ ἡ ἀνταπόδοση ἀπὸ τὸν φιλάνθρωπο Θεό, ἂν ὑποφέρεις μὲ εὐχαρίστηση καὶ γενναιότητα ὅσα συμβαίνουν. Γιατὶ ἔτσι καὶ αὐτὰ θὰ εἶναι πιὸ εὔκολο νὰ κατανικηθοῦν και ὁ καρπὸς ποὺ θὰ γεννηθεῖ ἀπὸ τὴν ὑπομονὴ αὐτῶν στοὺς οὐρανοὺς θὰ εἶναι πλουσιοπάροχος καὶ πολὺ μεγαλύτερος ἀπὸ τὰ παθήματα.

77

ΣΤΗΝ ΑΣΥΓΚΡΙΤΙΑ

Καὶ προηγουμένως ἔγραψα στὴν ἐντιμότητά σου, ὅτι καὶ σένα σὲ ὑπολογίζω μεταξὺ ἐκείνων ποὺ ἔχουν ἔλθει, ὡς πρὸς τὸ λόγο τῆς ἀγάπης, καὶ τώρα ἐπαναλαμβάνω τὸ ἴδιο, ὅτι ὡς πρὸς τὴν πρόθεση ἔχεις ἔλθει. Ἂν τώρα ἡ ἀσθένεια τοῦ σώματος καὶ οἱ ταραχὲς ποὺ κυριάρχησαν στὴν Ἀρμενία σὲ ἐμπόδισαν, ἐγώ, κρίνοντας ἀπὸ τὴν πρόθεση καὶ ἐπιθυμία σου, διατηρῶ γιὰ τὰ αἰσθήματά σου τὴν ἴδια γνώμη, αὐτὴν ποὺ εἶχα καὶ προηγουμένως. Μὴ ἀποφεύγεις λοιπὸν νὰ μοῦ γράφεις συνεχῶς καὶ νὰ μοῦ ἀναφέρεις ἐὰν ἔπαυσαν τὰ προβλήματα τῆς ἀσθένειάς σου καὶ πῶς ἔχει ἡ ὑγεία σου. Γιατὶ καὶ τώρα πολὺ πόνεσα ὅταν ἄκουσα ὅτι εἶσαι ἄρρωστη.

Γιὰ νὰ μὴ ἀγωνιῶ λοιπὸν γι' αὐτό, ἀνάφερέ μου τὸ ταχύτερο, ἐὰν ἡ ἀρρώστια σου μεταβλήθηκε σὲ ὑγεία.

78

ΣΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟ ΡΩΜΑΝΟ

Ὄχι μόνο μέχρι τὴν Ἀρμενία, οὔτε μέχρι τὴ χώρα τῶν Καππαδόκων, ἀλλὰ καὶ πιὸ μακριὰ διαδόθηκε ἡ φήμη τῆς ἀγάπης καὶ τῶν αἰσθημάτων ποὺ ἔδειξες γιὰ μένα, ὄντας πιὸ διαπεραστικὴ καὶ ἀπὸ σάλπιγγα. Γι' αὐτὸ καὶ ἐγὼ καμαρώνω γιὰ τὰ αἰσθήματα τῆς εὐλάβειάς σου καὶ δὲν παύω νὰ σὲ μακαρίζω καὶ σὲ παρακαλῶ νὰ μοῦ γράφεις συνεχῶς γιὰ τὴν ὑγεία σου. Γιατί, ἂν καὶ διαμένω στὴν ἐρημιὰ καὶ εἶμαι μακριὰ ἀπὸ σᾶς ἐξορισμένος, ἀλλὰ μὲ τὴ ἁλυσίδα τῆς ἀγάπης εἶμαι δεμένος μαζί σου, διατηρώντας τὰ ἴδια αἰσθήματα

τιμιότητα ἐπεδειξάμεθα, ταύτην, μᾶλλον δὲ καὶ πολλῷ πλείονα καὶ θερμοτέραν νῦν ἔχοντες. Οὐδὲν γὰρ ὑμᾶς οὔτε τοῦ χρόνου τὸ πλῆθος, οὔτε τῆς ὁδοῦ τὸ μῆκος ῥᾳθυμοτέρους εἰς τοῦτο πεποίηκεν, ἀλλὰ καὶ σπουδαιοτέρους.

Ταυτ' οὖν εἰδώς, δέσποτά μου τιμιώτατε καὶ εὐλαβέστατε, καὶ λογισάμενος ἡλίκην ἡμῖν χαριῇ χάριν συνεχέστερον ἐπιστέλλων, γράφε ἡμῖν τὰ περὶ τῆς ὑγείας τῆς σῆς, καὶ προηγουμένως διηνεκῶς ἐν ταῖς ἁγίαις σου μεμνημένος εὐχαῖς, ἵνα, καὶ ἐκ τοσούτου καθήμενοι διαστήματος, πολλὴν καὶ ἐντεῦθεν καρπωσώμεθα τὴν συμμαχίαν.

ΟΘ'

ΓΕΜΕΛΛΩι

Τί τοῦτο; Ὅτε ἡ τοσαύτη καὶ τηλικαύτη πόλις ἑορτὴν ἄγει λαμπρὰν (τοῦτο γὰρ τὴν ἀρχὴν καλῶ τὴν σήν), τότε ἡμᾶς ἐν πλείονι κατέστησας κατηφείᾳ, μακρὰν οὕτω σιγήσας σιγήν; Καὶ εἰ μὲν ἄλλος τις ἦν τῶν πολλῶν ὁ τοῦτο πεπονθώς, καὶ τὴν αἰτίαν ῥᾳδίως ἂν εὗρον. Τίς δέ ἐστιν αὕτη; Εἰώθασιν οἱ πολλοὶ τῶν ἀνθρώπων, ἡνίκα ἂν μείζονος ἀρχῆς ἐπιλάβωνται, καὶ ἐν ὄγκῳ φρονήματος γίνεσθαι μείζονι· ἐπὶ δὲ τῆς σῆς μεγαλοπρεπείας φιλοσοφεῖν εἰδυίας καὶ ἀκριβῶς διεσκεμμένης τῶν ἐπικήρων τούτων καὶ ῥεόντων πραγμάτων τὴν φύσιν καὶ οὐκ ἀπατωμένης τοῖς ἐπιτρίμμασι καὶ ταῖς ὑπογραφαῖς, ἀλλὰ γυμνὰ τῶν προσώπων τὰ πράγματα καταμανθανούσης, τὴν αἰτίαν οὐ δύναμαι τῆς σιγῆς εὑρεῖν. Ἀλλ' ὅτι μὲν ἡμᾶς ὁμοίως ἐρᾷς καὶ νῦν ὥσπερ καὶ ἔμπροσθεν, μᾶλλον δὲ μειζόνως νῦν ἢ ἔμπροσθεν, οἶδα σαφῶς. Τίνος δὲ ἕνεκεν, οὕτω διακείμενος, τοσοῦτον ἐσίγησας χρόνον, εἰπεῖν οὐκ ἔχω, ἀλλὰ καὶ δι' αὐτὸ μὲν οὖν τοῦτο μάλιστα ἀπορῶ.

Λῦσον δὴ ἡμῖν τὸ αἴνιγμα δι' ἐπιστολῆς, εἰ μὴ βαρύ, μηδὲ ἐπαχθές. Καὶ πρὸ τῆς ἐπιστολῆς ἐκείνης τοὺς ταύτην σοι κομίζοντας τὴν ἐπιστολήν, λέγω δὴ τὸν κύριόν μου τιμιώτατον καὶ εὐαλαβέστατον πρεσβύτερον, καὶ τοὺς σὺν αὐτῷ δίδαξον, ὅπερ καὶ ἡμεῖς πεπείσμε-

ποὺ ἐξαρχῆς εἶχα δείξει γιὰ τὴν ἐντιμότητά σου, ἢ μᾶλλον πολὺ περισσότερα καὶ θερμότερα. Γιατὶ τὸ μεγάλο χρονικὸ διάστημα καὶ ἡ ἀπόσταση τοῦ δρόμου δὲν μὲ ἔκανε καθόλου νωθρότερο ὡς πρὸς αὐτά.

Γνωρίζοντας λοιπὸν αὐτά, ἐντιμότατε καὶ εὐλαβέστατε δεσπότη μου, καὶ σκεπτόμενος πόσο μεγάλη χαρὰ θὰ μοῦ χαρίσεις γράφοντας μου πιὸ συχνά, γράφε μου γιὰ τὴ ὑγεία σου καὶ πρὶν ἀπὸ αὐτὸ νὰ μὲ μνημονεύεις διαρκῶς στὶς ἅγιες προσευχές σου, γιὰ νὰ ἔχω καὶ ἀπὸ ἐκεῖ πολλὴ βοήθεια, ἂν καὶ βρίσκομαι σὲ τόση ἀπόσταση.

79

ΣΤΟΝ ΓΕΜΕΛΛΟ

Γιατί αὐτό; Τὴ στιγμὴ ποὺ ἡ τόσο μεγάλη καὶ σπουδαία πόλη πανηγυρίζει λαμπρὰ (ἐννοῶ τὴ δική σου ἐξουσία), τότε ἀκριβῶς ἐμένα μὲ ἔκανες νὰ νοιώσω κατήφεια μὲ τὴν τόσο μακρὰ σιωπή σου; Καὶ ἂν βέβαια ἦταν κάποιος ἄλλος ἀπὸ τοὺς πολλοὺς αὐτὸς ποὺ τὸ ἔπαθε αὐτό, θὰ εὕρισκα εὔκολα καὶ τὴν αἰτία. Καὶ ποιά εἶναι αὐτή; Πολλοὶ ἄνθρωποι συνηθίζουν, ὅταν καταλάβουν μεγαλύτερη ἐξουσία, νὰ ἀποκτοῦν καὶ πολλὴ ἀλαζονεία. Στὴν περίπτωση ὅμως τῆς μεγαλοπρέπειάς σου, ποὺ γνωρίζει νὰ φιλοσοφεῖ καὶ νὰ σκέπτεται μὲ μεγάλη προσοχὴ τὴ φύση αὐτῶν τῶν φθαρτῶν καὶ ρευστῶν πραγμάτων καὶ δὲν ἐξαπατᾶται ἀπὸ τὰ ἐπιφανειακὰ καὶ τὶς ἐντυπώσεις, ἀλλὰ παρατηρεῖ εἰς βάθος γυμνὴ τὴν πραγματικότητα τῶν προσώπων, δὲν μπορῶ νὰ βρῶ τὴν αἰτία τῆς σιωπῆς. Ὅμως, ὅτι μὲ ἀγαπᾶς καὶ τώρα ὅμοια ὅπως καὶ πρίν, ἢ μᾶλλον περισσότερο τώρα παρὰ πρίν, τὸ γνωρίζω καλά. Γιὰ ποιά ὅμως αἰτία, ἐνῶ ἔχεις τέτοια αἰσθήματα γιὰ μένα, ἐσίγησες ἐπὶ τόσο χρόνο, δὲν μπορῶ νὰ τὸ πῶ, καὶ γι' αὐτὸ μάλιστα καὶ ἀπορῶ.

Λύσε μου λοιπὸν τὸν αἴνιγμα μὲ ἐπιστολή, ἂν δὲν εἶναι βαρύ, οὔτε δυσάρεστο. Καὶ πρὶν ἀπὸ τὴν ἐπιστολὴ ἐκείνη, πληροφόρησε αὐτοὺς ποὺ σοῦ φέρνουν τὴν ἐπιστολὴ αὐτή, ἐννοῶ τὸν κύριό μου τὸν ἐντιμόματο καὶ εὐλαβέστατο πρεσβύτερο καὶ τοὺς ἄλλους ποὺ εἶναι μαζί του, αὐτὸ γιὰ τὸ ὁποῖο καὶ ἐγὼ εἶμαι πεπεισμένος, ὅτι ἡ

θα, ὅτι ῥᾳθυμίας οὐκ ἦν ἡ σιγή. Ἀρκεῖ γὰρ τοῦτο εἰπεῖν, εἰς τὸ τυχεῖν αὐτοὺς φιλοφροσύνης παρὰ τῆς σῆς θαυμασιότητος.

Π'

ΦΙΡΜΙΝΩι

Εἰς μὲν τὴν συνουσίαν σου μεγάλα ἡμᾶς τὰ ἀρρωστεῖν σε ἐζημίωσεν, εἰς δὲ τὴν ἀγάπην οὐδὲ μικρὰ παρέβλαψεν. Ἤρκεσε γὰρ ἡμῖν καὶ τὸ ἅπαξ σοι συγγενέσθαι, εἰς τὸ γενέσθαι σου σφοδροὺς ἐραστάς. Τούτου δὲ αἴτιος αὐτός, οὕτως ἐκ προοιμίων σφοδρὸν καὶ μανικὸν περὶ ἡμᾶς ἐπιδειξάμενος ἔρωτα, καὶ οὐκ ἀφεὶς δεηθῆναι τῆς ἀπὸ τοῦ χρόνου πείρας, ἀλλ' ὁμοῦ τε φανείς, καὶ ἑλὼν καὶ μετὰ ἀκριβείας σαυτῷ προσδήσας ἡμᾶς. Διὰ δὴ τοῦτο καὶ ἡμεῖς γράφομεν καὶ ἅπερ ἐπιθυμεῖς ἀκοῦσαι δηλοῦμεν. Τίνα δὲ ταῦτά ἐστιν; Ὑγιαίνομεν· ἀδεῶς τὴν ὁδὸν διηνύσαμεν· ἐντρυφῶμεν ἡσυχίᾳ καὶ ἀπραγμοσύνῃ πολλῇ· πολλῆς παρὰ πάντων ἀπολαύομεν εὐνοίας· ἄφατον καρπούμεθα παραμυθίαν. Οὐδεὶς ὁ ἐλαύνων ἐνταῦθα, οὐδὲ ἐνοχλῶν. Καὶ τί θαυμάζεις εἰ ἐν τῇ πόλει, ὅπου γε καὶ τὴν ὁδὸν μετὰ πολλῆς ἠνύσαμεν τῆς ἀδείας;

Δήλου δὴ καὶ αὐτὸς ἡμῖν τὰ σά, ἵν', ὥσπερ σὲ τούτοις ἥσαμεν τοῖς διηγήμασιν, οὕτω καὶ αὐτοὶ πολλῆς ἀπολαύσωμεν τῆς εὐφροσύνης, τὰ περὶ τῆς ὑγείας τῆς σῆς μανθάνοντες. Οἶσθα γὰρ ἡλίκην ἐντίθησι τὴν ἡδονὴν τοῖς φιλεῖν ἐπισταμένοις γνησίως τὸ χρηστόν τι περὶ τῶν ἀγαπωμένων μανθάνειν.

ΠΑ'

ΥΜΝΗΤΙΩι ΑΡΧΙΑΤΡΩι

Οὐ παυσόμεθά σε παρὰ πᾶσι θαυμάζοντες, καὶ ὡς ἄνδρα

---

1. Οἱ συγκινητικὲς ἐκδηλώσεις ποὺ ἐπιφύλαξαν στὸν μεγάλο ἱεράρχη οἱ κάτοικοι τῶν περιοχῶν ἀπὸ τὶς ὁποῖες περνοῦσε μεταβαίνοντας στὸν τόπο τῆς ἐξορίας του, ὕστερα ἀπὸ τὶς δοκιμασίες τῆς βασιλεύουσας, τὸν κάνουν νὰ αἰσθάνεται εὐχάρι-

σιωπὴ δὲν ἦταν ἀποτέλεσμα ὀκνηρίας. Γιατὶ ἀρκεῖ αὐτὸ νὰ πεῖς, γιὰ νὰ δείξεις σ' αὐτοὺς τὴ φιλική σου διάθεση.

80

ΣΤΟΝ ΦΙΡΜΙΝΟ

Ὡς πρὸς τὴ συντροφιά σου πολὺ μὲ ζημίωσε τὸ ὅτι ἀρρώστησες, ὡς πρὸς τὴν ἀγάπη σου ὅμως δὲν μὲ ἔβλαψε καθόλου. Γιατὶ μοῦ ἦταν ἀρκετὸ καὶ μιὰ μόνο φορὰ νὰ συναντηθῶ μαζί σου, γιὰ νὰ γίνω σφοδρὸς φίλος σου. Καὶ αἴτιος αὐτοῦ εἶσαι σὺ ὁ ὁποῖος ἀπὸ τὴν πρώτη στιγμὴ ἔδειξες τόσο δυνατὴ καὶ ὑπερβολικὴ πρὸς ἐμένα ἀγάπη καὶ δὲν ἄφησες νὰ χρειασθεῖ ἡ δοκιμασία τοῦ χρόνου, ἀλλὰ ταυτόχρονα καὶ ἐμφανίσθηκες καὶ μὲ κατάκτησες καὶ μὲ ἔδεσες στὸν ἑαυτό σου γερά. Γι' αὐτὸ καὶ ἐγὼ γράφω καὶ σοῦ ἀναφέρω αὐτὰ ποὺ θέλεις νὰ ἀκούσεις. Ποιά εἶναι αὐτά; Εἶμαι ὑγιής· διανύσαμε τὸ δρόμο χωρὶς φόβο· ζῶ σὲ μεγάλη ἡσυχία καὶ ἀπραξία· ἀπολαμβάνω μεγάλη συμπάθεια ἀπὸ ὅλους· ἔχω ἀνυπολόγιστη παρηγοριά. Κανεὶς δὲν μὲ διώκει ἐδῶ, οὔτε μὲ ἐνοχλεῖ[1]. Καὶ γιατί ἀπορεῖς γιὰ τὸ ὅτι διασχύσαμε τὴν πόλη μὲ ἄνεση, τὴ στιγμὴ ποὺ διανύσαμε καὶ τὸ δρόμο μὲ πολλὴ ἄνεση;

Ἀνάφερέ μου λοιπὸν καὶ σὺ τὰ δικά σου, ὥστε, ὅπως σὲ εὐχαρίστησα ἐγὼ μὲ ὅσα σοῦ περιέγραψα, ἔτσι καὶ ἐγὼ νὰ δοκιμάσω πολλὴ εὐχαρίστηση, μαθαίνοντας γιὰ τὴν ὑγεία σου. Γιατὶ γνωρίζεις πόση εὐχαρίστηση προκαλεῖ, σ' ἐκείνους ποὺ ξέρουν νὰ ἀγαποῦν ἀληθινά, τὸ νὰ μαθαίνουν κάτι καλὸ γιὰ αὐτοὺς ποὺ ἀγαποῦν.

81

ΣΤΟΝ ΑΡΧΙΑΤΡΟ ΥΜΝΗΤΙΟ

Δὲ θὰ παύσω νὰ σὲ θαυμάζω περισσότερο ἀπὸ ὅλους καὶ ὡς

στα. Ἀργότερα θὰ ἔρθουν οἱ στερήσεις, οἱ κακουχίες, τὸ πολικὸ ψύχος, ἡ ἀσθένεια καὶ οἱ ληστρικὲς ἐπιθέσεις τῶν Ἰσαύρων, γιὰ τὶς ὁποῖες ἐπανέρχεται κάθε τόσο στὰ γράμματά του. (Βλ. καὶ *Ἐπιστολὴ* 84).

χρηστὸν καὶ ὡς ἰατρὸν ἄριστον καὶ ὡς φιλεῖν εἰδότα γνησίως. Ὅταν γὰρ ἡμῖν ἐνταῦθα περὶ τῆς ἀρρωστίας ἡμῶν γίνωνται λόγοι, ἐξ ἀνάγκης καὶ αὐτὸς ἐπεισέρχῃ τοῖς διηγήμασι τούτοις καὶ τῆς πολλῆς σου καὶ ἐπιστήμης καὶ εὐνοίας πεῖραν λαβόντες, οὐ δυνάμεθα σιγῇ τὰς εὐεργεσίας κατέχειν, ἀλλ' εἰς ἅπαντας ἀνακηρύττομεν, ἡμῖν αὐτοῖς τὰ μέγιστα χαριζόμενοι. Τοσοῦτον γὰρ ἡμῖν φίλτρον ἐνέθηκας, ὅτι, καίτοι γε ὑγιαίνοντες, πολλοῦ ἂν ἐπριάμεθά σε ἐνταῦθα ἑλκύσαι, ὥστε σε μόνον ἰδεῖν. Ἀλλ' ἐπειδὴ τοῦτο ἐργῶδες καὶ διὰ τὴν τῆς ὁδοῦ δυσκολίαν καὶ διὰ τὸν τῶν Ἰσαύρων φόβον, τοῦτο μὲν οὐκ ἐπιχειροῦμεν τέως, ἀξιοῦμεν δὲ συνεχῶς ἐπιστέλλειν. Δυνήσῃ γὰρ ἡμῖν τὴν ἐκ τῆς παρουσίας ἡδονὴν χαρίζεσθαι τῇ συνεχείᾳ τῶν γραμμάτων, τῷ μέλιτί σου τῶν τρόπων τὰ γράμματα ἀναχρωννύς.

ΠΒ'

ΚΥΘΗΡΙΩι

Ἡ μὲν συνουσία ἡμῖν ἡ αὐτόθι βραχεῖα γέγονε πρὸς ὑμᾶς, ἡ δὲ ἐντεῦθεν τεχθεῖσα ἀγάπη μεγάλη καὶ ὑψηλὴ καὶ γενναία. Τοῖς γὰρ γνησίως εἰδόσι φιλεῖν οὐ δεῖ εἰς τοῦτο χρόνου μακροῦ, ἀλλὰ καὶ ἐν βραχεῖ δυνατὸν κατορθῶσαι τὸ πᾶν, ὃ δὴ καὶ ἐφ' ἡμῶν γέγονε, καὶ γεγόναμεν ὑμῶν ἐρασταὶ σφοδροί, ὡς πολλῷ συγγενόμενοι τῷ χρόνῳ. Ὅθεν δὴ καὶ ἐπιστέλλομεν τὰ καθ' ἡμᾶς δηλοῦντες, ὅτι τε ὑγιαίνομεν καὶ ἐν ἡσυχίᾳ καὶ ἀπραγμοσύνῃ διάγομεν. Ἴσμεν γὰρ ὅτι χαριούμεθα ταῦτα ὑμῖν ἀπαγγέλλοντες. Καὶ τὰ παρ' ὑμῶν αἰτοῦμεν γράμματα τὰ αὐτὰ ἡμῖν εὐαγγέλια κομίζοντα.

Μὴ δὴ κατοκνεῖτε γράφειν ἡμῖν συνεχῶς καὶ τὰ περὶ τῆς ὑγείας ὑμῶν εὐαγγελίζεσθαι. Οὕτω γὰρ τὰ μέγιστα καὶ ἐν ἀλλοτρίᾳ διατρίβουσι χαριεῖσθε ταῦτα ἐπιστέλλοντες, ἅπερ συνεχῶς ἐπιθυμοῦμεν μαθεῖν.

ἄνδρα ἀγαθὸ καὶ ὡς γιατρὸ ἄριστο καὶ ὡς ἄνθρωπο ποὺ ξέρει νὰ ἀγαπᾶ ἀληθινά. Γιατὶ ὅταν ἐδῶ σ' ἐμᾶς γίνεται συζήτηση γιὰ τὴν ἀσθένειά μου, κατ' ἀνάγκη μπαίνεις καὶ σὺ στὴν συζήτηση αὐτὴ καί, ἐπειδὴ ἔχω πείρα τῆς μεγάλης ἐπιστημοσύνης καὶ εὐμένειάς σου, δὲν μπορῶ νὰ ἀποσιωπήσω τὶς εὐεργεσίες σου, ἀλλὰ τὶς διακηρύσσω σὲ ὅλους, δοκιμάζοντας ἐγὼ ὁ ἴδιος μ' αὐτὸ μεγάλη χαρά. Γιατὶ τόση ἀγάπη ἔβαλες μέσα μου, ὥστε, ἂν καὶ εἶμαι ὑγιής, θὰ σὲ πλήρωνα ὅσο–ὅσο νὰ σὲ φέρω ἐδῶ, μόνο καὶ μόνο γιὰ νὰ σὲ δῶ. Ἀλλ' ἐπειδὴ αὐτὸ εἶναι δύσκολο καὶ ἐξαιτίας τῆς δυσκολίας τοῦ δρόμου, καὶ ἐξαιτίας τοῦ φόβου τῶν Ἰσαύρων, αὐτὸ βέβαια δὲν τὸ ἐπιχειρῶ πρὸς τὸ παρόν, ἀξιῶ ὅμως νὰ μοῦ γράφεις συνεχῶς. Γιατὶ θὰ μπορέσεις νὰ μοῦ χαρίσεις τὴν εὐχαρίστηση τῆς παρουσίας σου μὲ τὴν πυκνότητα τῶν γραμμάτων, χρωματίζοντας τὰ γράμματα αὐτὰ μὲ τὸ μέλι τῶν τρόπων σου.

82

ΣΤΟΝ ΚΥΘΗΡΙΟ

Ἡ συντροφιά μου βέβαια ἐκεῖ μὲ σένα ἦταν σύντομη, ἡ ἀγάπη ὅμως ποὺ γεννήθηκε ἀπὸ αὐτὴν εἶναι μεγάλη καὶ σπουδαία καὶ γενναία. Γιατί, γι' αὐτοὺς ποὺ ξέρουν νὰ ἀγαποῦν ἀληθινά, δὲν χρειάζεται γι' αὐτὸ πολὺς χρόνος, ἀλλ' εἶναι δυνατὸ καὶ σὲ σύντομο χρονικὸ διάστημα νὰ κατορθώσουν τὸ πᾶν. Αὐτὸ ἀκριβῶς συνέβη καὶ μὲ μένα. Ἔγινα σφοδρὸς φίλος σου, σὰν νὰ σὲ συναναστράφηκα ἐπὶ πολὺ χρόνο. Γι' αὐτὸ καὶ σοῦ γράφω ἀναφέροντας τὰ δικά μου, ὅτι δηλαδὴ καὶ ὑγιὴς εἶμαι καὶ ζῶ σὲ ἡσυχία καὶ χωρὶς φροντίδες. Γνωρίζω ὅτι σὲ χαροποιῶ ἀναφέροντάς σου αὐτά, ζητῶ ὅμως καὶ τὰ δικά σου γράμματα νὰ μοῦ φέρνουν τὶς ἴδιες εὐχάριστες εἰδήσεις.

Μὴ ἀμελεῖς λοιπὸν νὰ μοῦ γράφεις συνεχῶς καὶ νὰ μοῦ ἀναφέρεις τὴν εὐχάριστη εἴδηση τῆς ὑγείας σου. Γιατὶ ἔτσι, μολονότι διαμένω σὲ ξένη χώρα, θὰ μὲ χαροποιήσεις πάρα πολὺ γράφοντας αὐτὰ ποὺ συνεχῶς ἐπιθυμῶ νὰ μάθω.

ΠΓ'

ΛΕΟΝΤΙΩι

Τῆς μὲν πόλεως ὑμῶν ἀπηλάθημεν, τῆς δὲ ἀγάπης σου οὐκ ἀπεληλάμεθα. Τὸ μὲν γὰρ ἐφ' ἑτέροις ἔκειτο, τὸ μένειν αὐτόθι ἢ ἐκβάλλεσθαι, τὸ δέ, ἐφ' ἡμῖν. Διὸ οὐδεὶς ἡμᾶς αὐτὸ ἀφελέσθαι δυνήσεται, ἀλλ', ὅπουπερ ἂν ἀπίωμεν, πανταχοῦ περιφερομέν σου τὸ μέλι τῆς ἀγάπης καὶ ἐντρυφῶμεν τῇ μνήμῃ τῆς εὐγενείας τῆς σῆς, τὸν ἔρωτά σου τὸν περὶ ἡμᾶς, τὴν σπουδήν, τὴν σύνεσιν, τὴν φιλοφροσύνην, τὴν φιλοξενίαν, τὰ ἄλλα πάντα συντιθέντες, καὶ τὴν εἰκόνα διαπλάττοντες τῆς σῆς ἀρετῆς.

Ἐπεὶ οὖν οὕτως ἡμᾶς εἷλες καὶ ἐχειρώσω, ὡς καὶ τῆς παρουσίας σου σφόδρα ἐπιθυμεῖν, τοῦτο δὲ οὐκ ἔνι γενέσθαι νῦν, τὴν ἀπὸ τῶν γραμμάτων πάρεχε παραμυθίαν ἡμῖν. Δυνήσῃ γὰρ τῇ πυκνότητι τῶν ἐπιστολῶν σοφίσασθαι τὴν ἐκ τῆς παρουσίας ἡδονὴν τοσαύτῃ κεκοσμημένος συνέσει.

ΠΔ'

ΦΑΥΣΤΙΝΩι

Ἀφικόμεθα εἰς τὴν Κουκουσὸν ὑγιαίνοντες (ἐντεῦθεν γὰρ προοιμιάσομαι, ὅθεν καὶ αὐτὸς ἐπιθυμεῖς ἀρχομένης ἀκοῦσαι τῆς ἐπιστολῆς), καὶ εὑρήκαμεν χωρίων θορύβων καθαρόν, καὶ πολλῆς μὲν ἀπραγμοσύνης, πολλῆς δὲ γέμον ἡσυχίας, καὶ οὐδένα τὸν ἐνοχλοῦντα οὐδὲ ἀπελαύνοντα ἔχον. Καὶ τί θαυμαστὸν εἰ ἐν τῇ πόλει τοῦτο, ὅπουγε τὴν ἐρημοτάτην ὁδὸν καὶ ἐπισφαλῆ καὶ ὕποπτον, τὴν ἐκεῖθεν ἐνταῦθα φέρουσαν, ἀδεῶς καὶ ἀπραγμόνως διήλθομεν, πλείονος ἀπολαύσαντες ἀσφαλείας ἢ ἐν ταῖς εὐνομουμέναις τῶν πόλεων;

Τούτων τοίνυν ἡμῖν τῶν εὐαγγελίων δίδου τὸν μισθόν, συνεχῶς ἡμῖν ἐπιστέλλων περὶ τῆς ὑγείας τῆς σῆς. Καὶ γὰρ ἐν ἡσυχίᾳ

1. Καὶ στὴν ἐπιστολὴ αὐτή, οἱ πρῶτες ἐντυπώσεις τοῦ Χρυσοστόμου ἀπὸ τὴν Κουκουσὸ δὲν εἶναι ἄσχημες (Βλ. καὶ *Ἐπιστολὴ* 80).

83

ΣΤΟ ΛΕΟΝΤΙΟ

Ἀπὸ τὴν πόλη σας βέβαια διώχθηκα, ἀλλὰ δὲν ἀποχωρίστηκα ἀπὸ τὴν ἀγάπη σου. Γιατὶ ἐκεῖνο, τὸ νὰ μείνω δηλαδὴ ἐκεῖ ἢ νὰ διωχθῶ, ἐξαρτῶταν ἀπὸ ἄλλους, ἐνῶ αὐτὸ ἀπὸ μένα. Γι' αὐτὸ κανεὶς δὲν θὰ μπορέσει νὰ μοῦ τὸ ἀφαιρέσει, ἀλλὰ ὅπου καὶ ἂν πηγαίνω, παντοῦ φέρνω μαζί μου τὸ μέλι τῆς ἀγάπης σου καὶ ἀπολαμβάνω τὴν ἀνάμνηση τῆς εὐγένειάς σου, τὴν ἀγάπη σου γιὰ μένα, τὴν προθυμία, τὴ σύνεση, τὴν περιποιητικότητα, τὴ φιλοξενία καὶ ὅλα τὰ ἄλλα, συνθέτοντάς τα καὶ ἀναπλάθοντας τὴν εἰκόνα τῆς ἀρετῆς σου.

Ἐπειδὴ λοιπὸν τόσο πολὺ μὲ κυρίεψες καὶ μὲ σκλάβωσες, ὥστε νὰ ἐπιθυμῶ πάρα πολὺ καὶ τὴν παρουσία σου, αὐτὸ ὅμως δὲν εἶναι τώρα δυνατὸ νὰ γίνει, δίνε μου τοὐλάχιστον τὴν παρηγοριὰ τῶν γραμμάτων. Γιατὶ θὰ μπορέσεις μὲ τὴν συχνότητα τῶν ἐπιστολῶν νὰ μοῦ δώσεις τὴν εὐχαρίστηση τῆς παρουσίας, ἀφοῦ εἶσαι στολισμένος μὲ τόση σύνεση.

84

ΣΤΟΝ ΦΑΥΣΤΙΝΟ

Ἐφθάσαμε στὴν Κουκουσὸ μὲ ὑγεία (θὰ ἀρχίσω ἀπὸ ἐδῶ, ἀπὸ ὅπου καὶ σὺ ἐπιθυμεῖς νὰ ἀκούσεις νὰ ἀρχίζει ἡ ἐπιστολή), καὶ βρήκαμε ἕνα χωριὸ ἀπαλλαγμένο ἀπὸ ταραχές, μὲ πολλὴ ἠρεμία καὶ γεμάτο ἀπόλυτη ἡσυχία χωρὶς νὰ ἔχει κανέναν ποὺ νὰ μᾶς ἐνοχλεῖ ἢ νὰ μᾶς ἐκδιώκει. Καὶ τί τὸ ἄξιο θαυμασμοῦ ἂν αὐτὸ συμβαίνει στὴν πόλη, τὴ στιγμὴ ποὺ τὸν τελείως ἔρημο καὶ ἐπικίνδυνο καὶ ὕποπτο δρόμο, ποὺ ὁδηγεῖ ἀπὸ ἐκεῖ ἐδῶ, τὸν διασχίσαμε ἄφοβα καὶ χωρὶς προβλήματα, αἰσθανόμενοι ἀσφάλεια περισσότερη ἀπὸ ὅση στὶς εὐνομούμενες πόλεις[1];

Γι' αὐτὲς τὶς εὐχάριστες εἰδήσεις ἀντάμειβέ μου γράφοντάς μου συνεχῶς γιὰ τὴν ὑγεία σου. Γιατὶ περνώντας τὸν καιρό μου ἐδῶ

πολλῇ διάγοντες ἐνταῦθα διηνεκῶς ἀναπλάττομέν σου τῆς διανοίας τὸ εὐγενές, τὸ ἐλευθέριον, τὸ μισοπόνηρον, τὸ πεπαρρησιασμένον, ἅπαντα τῶν ἀρετῶν σου τὸν λειμῶνα, καὶ ἐντρυφῶμεν τῇ μνήμῃ, ὅπουπερ ἂν ἀπίωμεν πανταχοῦ σε περιφέροντες καὶ μεθ' ὑπερβολῆς ἐκκαιόμενοι τῷ φίλτρῳ τῷ περὶ σέ. Διὸ καὶ ἐπιθυμοῦμεν καὶ ἐνταῦθά σε παραγενόμενον ἰδεῖν, ἐπεὶ δὲ τοῦτο ἐργῶδες, ἐπὶ τὸν δεύτερον ἐρχόμεθα πλοῦν καὶ τὴν διὰ τῶν γραμμάτων αἰτοῦμεν παράκλησιν. Καὶ γὰρ μεγίστη παραψυχὴ ἡμῖν ἔσται τὸ συνεχῶς ἐπιστολὰς εὐαγγελιζομένας ἡμῖν περὶ τῆς ὑγείας τῆς σῆς.

ΠΕ'

ΛΟΥΚΙΩι ΕΠΙΣΚΟΠΩι

Εἰ καὶ πολλῷ τῷ μέσῳ τῆς ὁδοῦ διεστήκαμεν τῆς εὐλαβείας τῆς σῆς, ἀλλ' ὅμως οὐκ ἔλαθεν ἡμᾶς τὸ μισοπόνηρόν σου τῆς γνώμης, καὶ πῶς ἤλγησας ἐπὶ τοῖς τηλικαῦτα παρανομήσασι καὶ τοσούτων σκανδάλων ἐμπλήσασι τὴν οἰκουμένην. Διὰ τοῦτό σοι χάριτας ὁμολογοῦμεν καὶ θαυμάζοντές σε καὶ μακαρίζοντες οὐ παυόμεθα, ὅτι, ἐν τοσούτῳ κακῶν φορυτῷ, τοσούτων κατὰ κρημνῶν φερομένων καὶ σκοπέλων, αὐτὸς τὴν ὀρθὴν ὁδὸν οὐκ ἐπαύσω βαδίζων, αἰτιώμενός τε τὰ γεγενημένα, ἀποστρεφόμενός τε τοὺς ἐργασαμένους, ὥς σοι πρέπον ἐστίν.

Διὸ δὴ καὶ παρακαλοῦμεν ἐπιμεῖναι τῇ καλῇ ταύτῃ προθυμίᾳ καὶ μείζονα ἐπιδείξασθαι τὸν ζῆλον. Οἶσθα γὰρ ἡλίκος ὑμῖν ἔσται ὁ μισθός, οἷα τὰ βραβεῖα, πηλίκοι οἱ στέφανοι, ὅταν, τοσούτων ὄντων τῶν ταραττόντων, αὐτοὶ τὴν ἐναντίαν φέρησθε, μεγίστην τοῖς παροῦσι κακοῖς ἐντεῦθεν διδόντες τὴν διόρθωσιν. Ὅτι γάρ, εἰ βουληθείητε στῆναι γενναίως, κἂν ὀλίγοι τὸν ἀριθμὸν ἦτε, περιέσεσθε τῶν πλειόνων τῶν ἐπὶ κακίᾳ καλλωπιζομένων, οὐδεὶς ἀντερεῖ. Ἀρετῆς γὰρ ἰσχυρότερον οὐδέν, καὶ τοῦ ταῦτα ζητεῖν ἃ τειχίζει τὰς Ἐκκλησίας.

μὲ πολλὴ ἡσυχία, ἐπαναφέρω διαρκῶς στὴ μνήμη μου τὴν εὐγένεια, τὴν ἐλευθερία, τὴν ἀποστροφὴ τῆς πονηριᾶς καὶ τὸ θάρρος τῆς διάνοιάς σου, ὅλο τὸν κῆπο τῶν ἀρετῶν σου, καὶ τὸν ἀπολαμβάνω νοερά, περιφέροντάς σε παντοῦ ὅπου καὶ ἂν πηγαίνω, καὶ καίομαι στὴν κυριολεξία ὑπερβολικὰ ἀπὸ τὴν ἀγάπη γιὰ σένα. Γι' αὐτὸ καὶ ἐπιθυμῶ νὰ σὲ δῶ νὰ ἔρχεσαι καὶ ἐδῶ. Ἐπειδὴ ὅμως αὐτὸ εἶναι πολὺ δύσκολο, ἔρχομαι στὴ δεύτερη λύση καὶ ζητῶ τὴν παρηγοριὰ ποὺ προσφέρουν τὰ γράμματα. Γιατὶ πράγματι θὰ εἶναι πολὺ μεγάλη ἀναψυχὴ γιὰ μένα τὸ νὰ δέχομαι συνέχεια ἐπιστολές, ποὺ νὰ μοῦ μεταφέρουν τὴν εὐχάριστη ἀγγελία τῆς ὑγείας σου.

85

ΣΤΟΝ ΕΠΙΣΚΟΠΟ ΛΟΥΚΟ

Ἂν καὶ εἶμαι χωρισμένος μὲ μεγάλη ἀπόσταση δρόμου ἀπὸ τὴν εὐλάβειά σου, ὅμως δὲν λησμόνησα τὴν μακριὰ ἀπὸ πονηριὰ διάθεσή σου καὶ πόσο πόνεσες γιὰ ἐκείνους ποὺ ἔκαναν τέτοιες παρανομίες καὶ γέμισαν τὴν οἰκουμένη μὲ τόσα σκάνδαλα. Γι' αὐτὸ σοῦ ἐκφράζω τὶς εὐχαριστίες μου καὶ δὲν παύω νὰ σὲ θαυμάζω καὶ νὰ σὲ μακαρίζω γιὰ τὸ ὅτι, μέσα σὲ τόσο μεγάλη συρροὴ κακῶν, ἐνῶ τόσοι ἔπεφταν σὲ κρημνοὺς καὶ σκοπέλους, σὺ δὲν ἔπαυσες νὰ βαδίζεις τὸ σωστὸ δρόμο, κατακρίνοντας αὐτὰ ποὺ ἔγιναν καὶ ἀπεχθανόμενος ἐκείνους ποὺ τὰ διέπραξαν, ὅπως ἅρμοζε σὲ σένα.

Γι' αὐτὸ καὶ σὲ παρακαλῶ νὰ ἐπιμένεις στὴν καλὴ αὐτὴ διάθεση καὶ νὰ δείξεις μεγαλύτερο ζῆλο. Γιατὶ γνωρίζεις πόσος θὰ εἶναι ὁ μισθός σου, τί εἴδους τὰ βραβεῖα, πόσο μεγάλα τὰ στεφάνια, ὅταν, ἐνῶ τόσοι πολλοὶ εἶναι αὐτοὶ ποὺ προκαλοῦν ταραχές, σὺ βαδίζεις τὸν ἀντίθετο δρόμο, προσφέροντας πάρα πολὺ βελτίωση μὲ τὸν τρόπο αὐτὸ στὰ παρόντα κακά. Γιατὶ κανεὶς δὲν ἀμφιβάλλει πώς, ἂν θελήσετε νὰ κρατηθεῖτε γενναῖοι, ἔστω καὶ ἂν εἶσθε ἀριθμητικὰ λίγοι, θὰ ὑπερτερήσετε τῶν περισσοτέρων, οἱ ὁποῖοι καμαρώνουν γιὰ τὴν κακία τους. Γιατὶ τίποτε δὲν εἶναι ἰσχυρότερο ἀπὸ τὴν ἀρετὴ καὶ ἀπὸ τὸ νὰ ἐπιδιώκει κανεὶς ἐκεῖνα ποὺ περιτειχίζουν τὶς Ἐκκλησίες.

Ἔχοντες τοίνυν τὴν γνώμην ἀρκοῦσαν ὑμῖν εἰς τὸ πολλὴν παρὰ Θεοῦ ῥοπὴν ἐπισπάσασθαι, τὰ παρ' ἑαυτῶν εἰσενεγκεῖν παρακλήθητε, τεῖχος μέγιστον ταῖς πανταχοῦ τῆς οἰκουμένης Ἐκκλησίαις διὰ τῆς γνώμης ταύτης γινόμενοι.

ΠS'

ΜΑΡΗι ΕΠΙΣΚΟΠΩι

Καὶ ἡνίκα προοίμια εἶχεν ὁ χειμὼν ὁ τὴν Ἐκκλησίαν διασαλεύσας, οὐκ ἔλαθεν ἡμᾶς τὸ ὀρθὸν καὶ ἀπερίτρεπτόν σου τῆς γνώμης· καὶ νῦν ὅτε ηὐξήθη τὰ κακά, ἔγνωμεν πάλιν τὴν εὐλάβειαν τὴν σὴν τοῖς αὐτοῖς ἐπιμένουσαν. Διὸ καὶ ἐκ τοσούτου καθήμενοι διαστήματος καὶ τὴν ὀφειλομένην ἀποδιδόαμεν πρόσρησιν, καὶ μακαρίζομεν καὶ θαυμάζομεν, ὅτι, τῶν πλειόνων ἑαυτοὺς κατακρημνισάντων, οἷς εἰς τὰς Ἐκκλησίας παρηνόμησαν, αὐτὸς τὴν ἐναντίαν τοῖς ἄλλοις ἦλθες ὁδόν, τούς τε ταῦτα τολμήσαντας ἀποστρεφόμενος, καὶ ἐπὶ τῆς σοὶ πρεπούσης μένων ἐλευθερίας.

Ἐννοῶν τοίνυν ἡλίκον τοῦ κατορθώματος τούτου τὸ μέγεθος καὶ τὸ μὴ συναπαχθῆναι τοῖς πονηρευομένοις, καὶ ὅτι ὁδὸς ἔσται καὶ προοίμια τῆς τῶν κακῶν διορθώσεως ἡ ἀπερίτρεπτος ὑμῶν αὕτη γνώμη καὶ ἀκλινής, αὐτός τε, ὥς σοι πρέπον ἐστίν, στῆναι γενναίως παρακλήθητι, τούς τε ἄλλους οὓς ἂν οἷός τε ᾖς ἀλείφειν. Οὕτω γὰρ ἀρκέσει εἰς συμμαχίαν ὑμῖν αὕτη ἡ πρόθεσις, τοῦ Θεοῦ τὴν γνώμην ὑμῶν ἀποδεχομένου τὴν ἐν τοσαύτῃ συγχύσει τὰ ὀρθὰ ἑλομένην καὶ τὴν παρ' ἑαυτοῦ παρέχοντος ῥοπήν.

ΠΖ'

ΕΥΛΟΓΙΩι ΕΠΙΣΚΟΠΩι

Ἡμεῖς, κἂν πρὸς αὐτὰς ἀφικώμεθα τῆς οἰκουμένης τὰς ἐσχατιάς, ἐπιλαθέσθαι σου τῆς ἀγάπης οὐ δυνάμεθα, ἀλλὰ πανταχοῦ περιφέροντες ἄπιμεν· οὕτως ἡμᾶς εἷλες καὶ ἐχειρώσω, δέσποτά μου τιμιώτατε καὶ εὐλαβέστατε, ἐπεὶ καὶ νῦν ἐν Κουκουσῷ καθήμενοι,

Ἔχοντας λοιπὸν τὴ διάθεση, ποὺ εἶναι ἀρκετὴ γιὰ σένα στὸ νὰ ἀποσπάσεις πολλὴ βοήθεια ἀπὸ τὸ Θεό, σὲ παρακαλῶ νὰ συνεισφέρεις ὅ,τι ἐξαρτᾶται ἀπὸ σένα, ὥστε νὰ γίνεις μὲ τὴν προθυμία σου αὐτὴ τεῖχος πανίσχυρο σ' ὅλες τὶς Ἐκκλησίες τῆς οἰκουμένης.

86

ΣΤΟΝ ΕΠΙΣΚΟΠΟ ΜΑΡΗ

Καὶ ὅταν ἀκόμα βρισκόταν στὴν ἀρχὴ ἡ συμφορὰ ποὺ συντάραξε τὴν Ἐκκλησία, δὲν μοῦ διέφυγε ἡ σωστὴ καὶ ἀπαρασάλευτη γνώμη σου. Καὶ τώρα ποὺ αὐξήθηκαν τὰ δεινὰ διαπίστωσα ὅτι ἡ εὐλάβειά σου ἐξακολουθεῖ νὰ μένει σταθερὴ στὰ ἴδια. Γι' αὐτό, ἂν καὶ βρίσκομαι τόσο μακριά, καὶ τὸν ὀφειλόμενο σοῦ ἀποδίδω σεβασμὸ καὶ σὲ μακαρίζω καὶ σὲ θαυμάζω, γιατί, ἐνῶ οἱ περισσότεροι κατακρήμνισαν τοὺς ἑαυτούς τους μὲ τὶς παρανομίες ποὺ ἔκαναν στὶς Ἐκκλησίες, σὺ ἀκολούθησες τὸν ἀντίθετο δρόμο ἀπὸ τοὺς ἄλλους, μὲ τὸ νὰ ἀποστρέφεσαι ὅλους ὅσους τόλμησαν νὰ διαπράξουν αὐτά, καὶ μὲ τὸ νὰ μένεις σταθερὰ ἀναπηρέαστος ὅπως σοῦ ταιριάζει.

Κατανοώντας λοιπὸν πόσο μεγάλο εἶναι τὸ μέγεθος τοῦ κατορθώματός σου αὐτοῦ καὶ τὸ ὅτι δὲν παρασύρθηκες ἀπὸ τοὺς πανούργους, καὶ ὅτι αὐτὴ ἡ ἀμετάβλητη καὶ σταθερὴ γνώμη σου θὰ γίνει δρόμος καὶ ἀπαρχὴ γιὰ τὴ διόρθωση τῶν δεινῶν, παρακαλῶ, καὶ σὺ ὅπως σοῦ ταιριάζει νὰ ἀντισταθεῖς μὲ γενναιότητα, καὶ τοὺς ἄλλους, ὅσους μπορεῖς, νὰ τοὺς προετοιμάζεις. Γιατὶ ἔτσι ἡ πρόθεσή σας αὐτὴ θὰ εἶναι ἀρκετὴ νὰ ἀποσπάσει τὴ συμμαχία τοῦ Θεοῦ, ὁ ὁποῖος ἀποδέχεται τὴ διάθεσή σας ποὺ μέσα σὲ τόση σύγχυση προτιμᾶ τὰ σωστᾶ, καὶ θὰ σᾶς παράσχει τὴ βοήθειά του.

87

ΣΤΟΝ ΕΠΙΣΚΟΠΟ ΕΥΛΟΓΙΟ

Ἐγὼ καὶ ἂν ἀκόμα φτάσω στὰ πέρατα τῆς οἰκουμένης, δὲν μπορῶ νὰ ξεχάσω τὴν ἀγάπη σου, ἀλλὰ παντοῦ πηγαίνω περιφέροντας αὐτήν. Τόσο πολὺ μὲ κυρίεψες καὶ μὲ σκλάβωσες, ἐντιμότατε καὶ εὐλαβέστατε δεσπότη μου, ὥστε καὶ τώρα ποὺ βρίσκομαι στὴν

τῷ πάσης τῆς καθ' ἡμᾶς οἰκουμένης ἐρημοτάτῳ χωρίῳ, οὐ παυόμεθα διηνεκῶς τὴν χρηστότητα, τὴν γλυκήτητα, τὴν τῶν τρόπων ἐπιείκειαν, τὸ γνήσιον τῆς διαθέσεως, τὸ πεπυρωμένον, τὸ σφοδρόν, τὸν ζῆλον τὸν φλογὸς σφοδρότερον, τὴν ἄλλην ἅπασάν σου ἀρετὴν ἀναλογιζόμενοι, καὶ τῶν λογισμῶν τούτων τῇ μνήμῃ ἐντρυφῶντες καὶ πρὸς ἅπαντας ἀνακηρύττοντες τὸ στερρὸν τῆς γνώμης, τὸ ἀπερίτρεπτον, ὅπερ ἐπεδείξω πρὸς τοὺς πολεμήσαντας ταῖς Ἐκλησίαις καὶ τοσούτων σκανδάλων τὴν οἰκουμένην ἐμπλήσαντας· εἰ καὶ τὰ μάλιστα τοῦτο οὐ δεῖται τῆς ἡμετέρας γλώττης, σάλπιγγος γὰρ λαμπρότερον αὐτὸς πᾶσι τοῖς κατὰ τὴν ἀνατολὴν καὶ πορρωτάτω οὖσι διὰ τῶν ἔργων αὐτῶν ἀνεβόησας.

Ὑπὲρ τούτων χάριτας ὁμολογοῦμεν, μακαρίζομεν, θαυμάζομεν καὶ παρακαλοῦμεν τὸν αὐτὸν παραμεῖναι ζῆλον ἐπιδεικνύμενον. Οὐδὲ γὰρ ἴσον ἐστί, κατὰ ροῦν τῶν πραγμάτων φερομένων, ὀρθότητα ἐπιδείκνυσθαι καί, πολλῶν ὄντων τῶν ἐπιχειρούντων καταλῦσαι τὰς Ἐκκλησίας, μηδὲν ἐκεῖθεν παραλογίζεσθαι, ἀλλὰ μένειν ἀκλινῆ, τούτους ἀποστρεφόμενον μετὰ τῆς προσηκούσης ἀνδρείας. Οὐ γὰρ μικρὰ αὕτη, ἀλλὰ καὶ σφόδρα μεγίστη τῶν κακῶν διόρθωσις. Ὅτι δὲ τῆς σῆς εὐλαβείας οὕτω διακειμένης πάντες οἱ κατὰ τὴν Παλαιστίνην κύριοί μου τιμιώτατοι καὶ εὐλαβέστατοι ἐπίσκοποι ἕψονταί σου τοῖς ἴχνεσιν, οὐδὲν οἶμαι δεῖν ἀμφιβάλλειν. Οἶδα γὰρ σαφῶς ὅτι ἐν τοῖς τοιούτοις κατορθώμασιν ὥσπερ σῶμα συνεχὲς κεφαλῇ, οὕτως αὐτοὺς τῇ γλυκύτητί σου τῆς ἀγάπης συνῆψας καὶ συνδεδέσθαι παρεσκεύασας, ὅπερ καὶ τοῦτο μέγιστον δεῖγμα τῆς σῆς ἀρετῆς.

ΠΗ'

ΙΩΑΝΝΗι ΕΠΙΣΚΟΠΩι ΙΕΡΟΣΟΛΥΜΩΝ

Ἀπῳκίσθημεν εἰς τὴν Κουκουσόν, τῆς δὲ ἀγάπης τῆς ἡμετέρας

---

1. Ἡ Κουκουσός, τὴν ὁποία συχνὰ ἀναφέρει ὁ Χρυσόστομος στὶς ἐπιστολές του, ὡς «τὸ πάσης τῆς καθ' ἡμᾶς οἰκουμένης ἐρημότατον χωρίον», ἦταν παλιὰ πόλη στοὺς πρόποδες τοῦ Ἀντιταύρου, 170 χιλμ. ΒΑ τῶν Ἀδάνων. Ἔγινε γνωστὴ ἀπὸ τὸ γεγονὸς ὅτι ἐξορίστηκε σ' αὐτὴν ὁ ἱερὸς Χρυσόστομος καὶ ἔζησε τὸ μεγαλύτερο

Κουκουσό[1], τὸ πιὸ ἔρημο χωριὸ ὁλόκληρης τῆς οἰκουμένης, νὰ μὴ παύω νὰ συλλογίζομαι διαρκῶς τὴν ἀγαθότητα, τὴ γλυκύτητα, τὸν ζῆλο ποὺ εἶναι ὁρμητικώτερος ἀπὸ φλόγα, καὶ ὅλες τὶς ἄλλες ἀρετές σου, δοκιμάζοντας εὐχαρίστηση μὲ τὴν ἀνάμνηση τῶν συλλογισμῶν αὐτῶν καὶ δακηρύσσοντας σὲ ὅλους τὴ σταθερότητα καὶ τὸ ἀμετάβλητο τῆς γνώμης ποὺ ἔδειξες ἐναντίον ἐκείνων ποὺ πολέμησαν τὶς Ἐκκλησίες καὶ γέμισαν τὴν οἰκουμένη μὲ τόσα σκάνδαλα. Ἂν καί, ἰδιαίτερα αὐτό, δὲν ἔχει ἀνάγκη τῆς δικῆς μου γλώσσας, ἀφοῦ πιὸ δυνατὰ καὶ ἀπὸ σάλπιγγα σὺ ὁ ἴδιος τὸ βροντοφώναξες σὲ ὅσους βρίσκονται στὴν ἀνατολὴ καὶ ἀκόμα μακρύτερα, μὲ τὰ ἴδια σου τὰ ἔργα.

Γιὰ ὅλα αὐτὰ σοῦ εἶμαι εὐγνώμων, σὲ μακαρίζω, σὲ θαυμάζω καὶ σὲ παρακαλῶ νὰ ἐξακολουθήσεις νὰ δείχνεις τὸν ἴδιο ζῆλο. Γιατὶ τίποτε δὲν εἶναι ἴσο, ἐνῶ τὰ πράγματα πηγαίνουν κατὰ κρημνόν, νὰ ἐπιδεικνύεις εὐθύτητα, καὶ ἐνῶ πολλοὶ εἶναι ἐκεῖνοι ποὺ ἐπιχειροῦν νὰ διαλύσουν τὶς Ἐκκλησίες, νὰ μὴ παραλογίζεσαι ἀπὸ αὐτό, ἀλλὰ νὰ μένεις ἀμετακίνητος, ἀποστρεφόμενος αὐτοὺς μὲ τὴν ἀνδρεία ποὺ ταιριάζει στὶς περιπτώσεις αὐτές. Γιατὶ δὲν εἶναι μικρή, ἀλλὰ πάρα πολὺ μεγάλη ἡ διόρθωση αὐτὴ τῶν κακῶν. Ὅτι λοιπὸν τὸ παράδειγμα τῆς εὐλάβειάς σου θὰ τὸ ἀκολουθήσουν ὅλοι οἱ ἐντιμότατοι καὶ εὐλαβέστατοι κύριοί μου ἐπίσκοποι τῆς Παλαιστίνης, δὲν νομίζω ὅτι πρέπει νὰ ἀμφιβάλλω. Γιατὶ γνωρίζω καλὰ ὅτι μὲ τὰ κατορθώματά σου αὐτὰ τοὺς ἕνωσες καὶ τοὺς ἔκανες νὰ συνδεθοῦν μὲ τὴ γλυκύτητα τῆς ἀγάπης σου, ὅπως τὸ σῶμα ποὺ ἀκολουθεῖ τὴν κεφαλή, πρᾶγμα ποὺ κι' αὐτὸ ἀποτελεῖ μέγιστο δεῖγμα τῆς ἀρετῆς σου.

88

ΣΤΟΝ ΕΠΙΣΚΟΠΟ ΙΕΡΟΣΟΛΥΜΩΝ ΙΩΑΝΝΗ

Ἀπομακρύνθηκα στὴν Κουκουσό, ἀλλὰ δὲν ἀπομακρύνθηκα

χρονικὸ διάστημα τῆς ἐξορίας του ἐκεῖ (404–407 μ. Χ.). Ὁ ἐπίσκοπος τῆς Κουκουσοῦ, τοῦ ὁποίου τὸ ὄνομα δὲν μᾶς ἀναφέρει ὁ ἱ. Χρυσόστομος, τοῦ ἐπιφύλαξε συγκινητικὴ ὑποδοχὴ καὶ φιλοξενία, φθάνοντας μέχρι τοῦ σημείου νὰ τοῦ παραχωρήσει –ἂν ἦταν δυνατὸ– καὶ αὐτὸ τὸν θρόνο του. Βλ. *Ἐπιστολὴ* 125.

οὐ μετῳκίσθημεν. Τὸ μὲν γὰρ ἐφ' ἑτέροις ἔκειτο, τοῦτο δὲ ἐφ' ἡμῖν. Διὸ δή, ἐνταῦθα διατρίβοντες καὶ ἐκ τοσούτου καθήμενοι διαστήματος, καὶ ἐπιστέλλομεν καὶ παρακαλοῦμεν ὑμῶν τὴν εὐλάβειαν, τὴν ἀνδρείαν, ἣν ἐξ ἀρχῆς ἐπεδείξασθε ἀποστραφέντες τοὺς τὰς Ἐκκλησίας τοσούτων θορύβων ἐμπλήσαντας, ταύτην καὶ νῦν διατηρεῖν, καὶ ἄξιον τῶν προοιμίων, μᾶλλον δὲ καὶ πολλῷ λαμπρότερον προσθεῖναι τὸ τέλος. Οὐ γὰρ μικρὸς ἐντεῦθεν ὑμῖν κείσεσθαι ὁ μισθός, ὅταν τοὺς τοσοῦτον χειμῶνα ἐργασαμένους καὶ τὴν οἰκουμένην σχεδὸν ἅπασαν τοσούτων ἐμπλήσαντας σκανδάλων, ὡς προσῆκόν ἐστιν ἀποστρέφησθε καὶ μηδὲν κοινὸν ἔχητε πρὸς αὐτούς. Τοῦτο ἀσφάλεια τῶν Ἐκκλησιῶν, τοῦτο τεῖχος, τοῦτο ὑμέτεροι στέφανοι καὶ βραβεῖα.

Ταῦτ' οὖν εἰδώς, δέσποτά μου τιμιώτατε καὶ εὐλαβέστατε, τάς τε Ἐκκλησίας ἀσφαλίζου, τὴν τούτῳ τῷ τρόπῳ μεγίστην ἐντεῦθεν προσδοκῶν ἀντίδοσιν, ἡμῶν τε τῶν σφόδρα ἀγαπώντων τὴν σὴν εὐλάβειαν καὶ ἐκκρεμαμένων σου τῆς διαθέσεως, διηνεκῶς μέμνησο. Ἴσμεν γὰρ ὅσην περὶ ἡμᾶς ἀγάπην ἐπιδείκνυσαι, διὰ τῶν πραγμάτων αὐτῶν μαθόντες.

ΠΘ'

ΘΕΟΔΟΣΙΩι ΕΠΙΣΚΟΠΩι ΣΚΥΘΟΥΠΟΛΕΩΣ

Τῷ μὲν τόπῳ μακρὰν ὑμῶν διεστήκαμεν, τῇ δὲ ἀγάπῃ ἐγγὺς ὑμῶν ἐσμεν καὶ πλησίον καὶ αὐτῇ συνδεδέμεθα ὑμῶν τῇ ψυχῇ. Τοιοῦτον γὰρ τὸ φιλεῖν· οὐ κωλύεται τόπῳ, οὐ διείργεται ὁδοῦ μήκει, ἀλλὰ πᾶσαν ῥᾳδίως περιίπταται τὴν οἰκουμένην καὶ συγγίνεται τοῖς ἀγαπωμένοις, ὃ δὴ καὶ ἡμεῖς ποιοῦμεν νῦν, ἐν διανοίᾳ ὑμᾶς περιφέροντες. Καὶ παρακαλοῦμεν ὑμᾶς, καθάπερ καὶ ἔμπροσθεν ἐποιήσατε, κοσμοῦντές τε ἑαυτοὺς καὶ τὰς Ἐκκλησίας ἀσφαλιζόμενοι, οὕτω καὶ νῦν ποιήσατε, καὶ τοὺς τοσαύτας ταραχὰς ἐμβαλόντας εἰς τὴν οἰκουμένην ἅπασαν καὶ τὰς Ἐκκλησίας διαταράξαντας ἀπο-

ἀπὸ τὴν ἀγάπη σου. Γιατὶ τὸ πρῶτο ἐξηρτῶταν ἀπὸ τὴ θέληση ἄλλων, ἐνῶ αὐτὸ ἀπὸ ἐμένα. Γι' αὐτὸ λοιπὸν ζώντας ἐδῶ καὶ εὑρισκόμενος σὲ τόσο μεγάλη ἀπόσταση, καὶ σοῦ γράφω καὶ παρακαλῶ τὴν εὐλάβειά σου, τὴν ἀνδρεία ποὺ ἔδειξες ἀπὸ τὴν ἀρχή, ἀποστρεφόμενος αὐτοὺς ποὺ γέμισαν τὶς Ἐκκλησίες μὲ τόσες ταραχές, αὐτὴ τὴν ἀνδρεία νὰ τὴν διατηρεῖς καὶ τώρα, καὶ νὰ προσθέσεις ἀντάξιο πρὸς τὸ προοίμιο, ἢ μᾶλλον πολὺ πιὸ ἐντυπωσιακὸ τὸ τέλος. Γιατὶ δὲν θὰ σοῦ ἀποδοθεῖ γι' αὐτὸ μικρὸς μισθός, ὅταν, ὅπως εἶναι πρέπον, ἀποστρέφεσαι καὶ δὲν ἔχεις τίποτε κοινὸ μ' αὐτοὺς ποὺ προκάλεσαν τόση συμφορὰ καὶ γέμισαν μὲ τόσα σκάνδαλα σχεδὸν ὁλόκληρη τὴν οἰκουμένη. Αὐτὸ εἶναι ἀσφάλεια τῶν Ἐκκλησιῶν, αὐτὸ εἶναι τεῖχος, αὐτὸ τὰ δικά σου στεφάνια καὶ βραβεῖα.

Γνωρίζοντας λοιπὸν αὐτά, ἐντιμότατε καὶ εὐλαβέστατε δεσπότη μου, καὶ τὶς Ἐκκλησίες προφύλασσέ τις ἀπὸ τοὺς κινδύνους, ἀναμένοντας μὲ τὸν τρόπο αὐτὸ τὴν πιὸ μεγάλη ἀνταπόδοση ἀπὸ ἐδῶ, καὶ νὰ θυμᾶσαι διαρκῶς ἐμένα ποὺ ἀγαπῶ πάρα πολὺ τὴν εὐλάβειά σου καὶ εἶμαι κρεμασμένος ἀπὸ τὴν ἐπιθυμία σου. Γιατὶ γνωρίζω πόση ἀγάπη δείχνεις γιὰ μένα, ποὺ τὴν ἔμαθα ἀπὸ τὰ ἴδια τὰ πράγματα.

89

ΣΤΟΝ ΕΠΙΣΚΟΠΟ ΣΚΥΘΟΠΟΛΕΩΣ ΘΕΟΔΟΣΙΟ

Ὡς πρὸς τὸν τόπο βέβαια βρίσκομαι σὲ μακρινὴ ἀπόσταση ἀπὸ σένα, ὡς πρὸς τὴν ἀγάπη ὅμως βρίσκομαι κοντὰ καὶ πλησίον σου καὶ εἶμαι συνδεδεμένος μὲ τὴν ἴδια τὴν ψυχή σου. Γιατὶ τέτοια εἶναι ἡ ἀγάπη. Δὲν κωλύεται ἀπὸ τὸν τόπο, οὔτε παρεμποδίζεται ἀπὸ τὸ μῆκος τοῦ δρόμου, ἀλλὰ μὲ εὐκολία διασχίζει ὅλη τὴν οἰκουμένη καὶ συναντᾶται μὲ ἐκείνους ποὺ ἀγαπᾶ. Αὐτὸ ἀκριβῶς κάνω καὶ ἐγὼ τώρα, περιφέροντάς σε στὴ σκέψη μου. Καὶ σὲ παρακαλῶ, ὅπως ἔκανες καὶ κατὰ τὸ παρελθόν, κοσμώντας τὸν ἑαυτό σου καὶ προφυλάσσοντας τὶς Ἐκκλησίες ἀπὸ τοὺς κινδύνους, ἔτσι νὰ κάνεις καὶ τώρα· νὰ ἀποστρέφεσαι, μὲ τὴν ἀνδρεία ποὺ σοῦ ταιριάζει, αὐτοὺς ποὺ προκάλεσαν τόσες ταραχὲς σ' ὁλόκληρη τὴν οἰκουμένη καὶ συν-

στρέφεσθε μετὰ τῆς προσηκούσης ὑμῖν ἀνδρείας. Τοῦτο γὰρ ἀρχὴ τῆς λύσεως τοῦ χειμῶνος, τοῦτο ἀσφάλεια ταῖς Ἐκκλησίαις, τοῦτο τῶν κακῶν διόρθωσις, ὅταν τοὺς τὰ τοιαῦτα πονηρευσαμένους ὑμεῖς οἱ ὑγιαίνοντες ἀποστρέφησθε καὶ μηδὲν κοινὸν ἔχητε πρὸς αὐτούς.

Ἐννοῶν τοίνυν τοῦ πράγματος τὴν ἀντίδοσιν καὶ τοὺς ἐντεῦθεν κειμένους στεφάνους, τὴν προσήκουσαν ἀνδρείαν ἐπιδείξασθαι παρακλήθητι εἰς τοῦτο αὐτό, καὶ ἡμῶν τῶν ἀγαπώντων σε μεμνῆσθαι διηνεκῶς, τὰ μέγιστα ἡμῖν χαριζόμενος.

ϟ'

ΜΩΥΣΗι ΕΠΙΣΚΟΠΩι

Οἶμαι μὲν μηδὲ γραμμάτων σε δεῖσθαι τῶν ἡμετέρων εἰς τὸ τὴν προσήκουσαν ἀνδρείαν ἐπιδείξασθαι καὶ ἀποστραφῆναι τοὺς τοσαῦτα κακὰ ἐργασαμένους ταῖς Ἐκκλησίαις καὶ τὴν οἰκουμένην ταραχῶν ἐμπλήσαντας· διὰ γὰρ ὧν ἐποίησας, ἐδήλωσας. Ἀλλ' ἐπειδὴ συνεχῶς καὶ δι' ἑκάστης προφάσεως προσφθέγγεσθαί σου τὴν εὐλάβειαν ἐμοὶ περισπούδαστον, καὶ νῦν τὰ αὐτὰ παρακαλῶ, ὥστε αὐτόν τε τῇ προσηκούσῃ ἀνδρείᾳ χρήσασθαι εἰς τὸ ἀποστρέφεσθαι ἐκείνους, τούς τε ἄλλους ἅπαντας εἰς τοῦτο ἀλείφειν. Οὐ γὰρ μικρὸς ὑμῖν κείσεται ὁ μισθός, εἰ τοὺς χειμῶνα τοσοῦτον ἀνάψαντας καὶ τὸ πᾶν ἐμπλήσαντας μυρίων σκανδάλων, μέλλοιτε ἀποστρέφεσθαι ὡς προσῆκόν ἐστι. Καὶ γὰρ μεγίστην ἐντεῦθεν τὰ πράγματα λήψεται διόρθωσιν. Καὶ ἡμῶν δὲ τῶν ἀγαπώντων σε σφόδρα διηνεκῶς μεμνῆσθαι παρακαλοῦμεν. Οἶσθα γὰρ ὅπως διετέθημέν τε καὶ διακείμεθα ἀεὶ περὶ τὴν σὴν εὐλάβειαν.

ϟΑ'

ΡΩΜΑΝΩι ΠΡΕΣΒΥΤΕΡΩι

Καὶ τοῦτο σὸν καὶ τῆς μεγάλης σου καὶ ὑψηλῆς καὶ φιλοσόφου

τάραξαν τὶς Ἐκκλησίες. Γιατὶ αὐτὸ θὰ εἶναι ἡ ἀρχὴ τῆς ἀπαλλαγῆς ἀπὸ τὴ συμφορά, αὐτὸ θὰ εἶναι ἡ ἀσφάλεια γιὰ τὶς Ἐκκλησίες, αὐτὸ θὰ εἶναι ἡ ἐξάλειψη τῶν κακῶν, ὅταν αὐτοὺς ποὺ μηχανεύτηκαν αὐτὰ σεῖς οἱ σώφρονες τοὺς ἀποστρέφεσθε καὶ δὲν ἔχετε τίποτε τὸ κοινὸ μαζί τους.

Κατανοώντας λοιπὸν τὴν ἀνταπόδοση ποὺ θὰ ἔχει τὸ πρᾶγμα αὐτὸ καὶ τὰ στεφάνια ποὺ προέρχονται ἀπὸ αὐτό, παρακαλῶ νὰ δείξεις τὴν πρέπουσα ἀνδρεία σ' αὐτὸ τὸ ἴδιο τὸ θέμα καὶ ἐμένα ποὺ σὲ ἀγαπῶ νὰ μὲ θυμᾶσαι διαρκῶς, χαρίζοντάς μου χαρὰ μεγάλη.

90

ΣΤΟΝ ΕΠΙΣΚΟΠΟ ΜΩΥΣΗ

Νομίζω βέβαια πὼς δὲν σοῦ χρειάζονται τὰ δικά μου γράμματα γιὰ νὰ δείξεις τὴν πρέπουσα ἀνδρεία καὶ νὰ ἀποστραφεῖς αὐτοὺς ποὺ τόσα κακὰ προξένησαν στὶς Ἐκκλησίες καὶ γέμισαν ταραχὲς τὴν οἰκουμένη, γιατὶ μὲ ὅσα ἔκανες τὸ ἔδειξες. Ἐπειδὴ ὅμως μοῦ εἶναι πολὺ σημαντικὸ νὰ συνομιλῶ μὲ τὴν εὐλάβειά σου συνεχῶς καὶ μὲ κάθε πρόφαση, καὶ τώρα γιὰ τὰ ἴδια σὲ παρακαλῶ, ὥστε καὶ σὺ ὁ ἴδιος νὰ δείξεις τὴν ἀνδρεία ποὺ χρειάζεται στὸ νὰ ἀποστρέφεσαι ἐκείνους, καὶ τοὺς ἄλλους ὅλους νὰ τοὺς προετοιμάσεις νὰ κάνουν τὸ ἴδιο. Γιατὶ δὲν θὰ σὲ περιμένει μικρὴ ἀνταμοιβή, ἐὰν θὰ ἀποστρέφεσαι, ὅπως εἶναι πρέπον, αὐτοὺς ποὺ προκάλεσαν τόση συμφορὰ καὶ γέμισαν τὸ πᾶν μὲ μυριάδες σκάνδαλα. Γιατὶ ἀπὸ αὐτὸ ἡ κατάσταση θὰ πάρει μεγάλη διόρθωση. Παρακαλῶ ἐπίσης νὰ θυμᾶσαι διαρκῶς καὶ ἐμένα ποὺ σὲ ἀγαπῶ πάρα πολύ. Γιατὶ γνωρίζεις καὶ πῶς συμπεριφέρθηκα καὶ πῶς αἰσθάνομαι πάντοτε γιὰ τὴν εὐλάβειά σου.

91

ΣΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟ ΡΩΜΑΝΟ

Καὶ αὐτὸ εἶναι γνώρισμα δικό σου καὶ τῆς μεγάλης καὶ ἀνώτε-

γνώμης, τὸ μηδὲ ἐν χειμῶνι τοσούτων πραγμάτων ἐπιλαθέσθαι τῆς ἡμετέρας ἀγάπης, ἀλλὰ μένειν ἀκίνητον καὶ ἀκμάζουσαν διατηροῦντα τὴν πρὸς ἡμᾶς φιλίαν. Τοῦτο γὰρ ἔγνων μὲν καὶ παρὰ τῶν ἐκεῖθεν ἀφικνουμένων σαφῶς, ᾔδειν δὲ καὶ πρὶν ἢ παρ' ἑτέρων μάθω. Οἶδα γάρ σου τὸ στερρὸν καὶ ἀπερίτρεπτον τῆς διανοίας, τὸ πεπηγὸς καὶ ἀκίνητον τῆς γνώμης. Διὸ καὶ πολλὰς ἔχω χάριτας τῇ θεοσεβείᾳ τῇ σῇ, καὶ παρακαλῶ σου τὴν εὐλάβειαν, καὶ ἐν μεγίστης αἰτῶ χάριτος μέρει, τὸ συνεχῶς ἡμῖν ἐπιστέλλειν, ἡνίκα ἂν ἐξῇ. Οἶσθα γὰρ ὅσην δεχόμεθα παράκλησιν καὶ ἐν ἀλλοτρίᾳ διατρίβοντες, ὅταν καὶ γράμματα δεξώμεθα τὰ περὶ τῆς ὑγείας τῆς σῆς ἡμᾶς εὐαγγελιζόμενα. Σφόδρα γὰρ ἐπιθυμοῦμεν καὶ ἐρρῶσθαι καὶ ὑγιαίνειν τὴν σὴν θεοσέβειαν, ἐπειδήπερ ἡ ὑγεία ἡ σὴ πολλοῖς στηριγμὸς καὶ λιμὴν καὶ βακτηρία τυγχάνει καὶ μυρίων κατορθωμάτων ὑπόθεσις.

ϟΒ'

ΜΩΥΣΗ[1] ΠΡΕΣΒΥΤΕΡΩ[1]

Ἡ μὲν ὑπερβολὴ τῶν ἐγκωμίων τῶν τοῖς γράμμασιν ἐγκειμένων τῆς σῆς τιμιότητος, σφόδρα ἡμῶν ὑπερβαίνει τὴν οὐθένειαν. Διό, τούτων ἀφέμενος, μὴ διαλίπῃς εὐχόμενος ὑπέρ τε τοῦ κοινοῦ τῶν Ἐκκλησιῶν, ὑπέρ τε τῆς ταπεινώσεως τῆς ἡμετέρας, καὶ τὸν φιλάνθρωπον παρακαλῶν Θεὸν δοῦναι λύσιν τοῖς καταλαβοῦσι τὴν οἰκουμένην κακοῖς. Εὐχῶν γὰρ μόνων τὰ παρόντα δεῖται πράγματα, καὶ εὐχῶν μάλιστα τῶν ὑμετέρων, τῶν πολλὴν πρὸς τὸν Θεὸν παρρησίαν κεκτημένων. Μὴ δὴ διάλιπητε τοῦτο ἐκτενῶς ποιοῦντες· καὶ ἡμῖν δέ, ἡνίκα ἂν ἐξῇ, συνεχῶς ἐπιστέλλειν μὴ κατοκνεῖτε· οὐ γὰρ πολὺ τῆς ὁδοῦ τὸ μῆκος. Σφόδρα γὰρ ἐπιθυμοῦμεν μανθάνειν περὶ τῆς ὑμετέρας ὑγείας, ἐπείπερ ὑμῶν ἡ ὑγεία πολλοῖς στηριγμὸς καὶ παράκλησις γίνεται. Ἀεὶ μὲν γὰρ ὑμῶν χρεία τῆς ζωῆς, μάλιστα δὲ νῦν ἐν τοσούτῳ χειμῶνι καὶ ζόφῳ, ἵν', ὥσπερ καθαροὶ φωστῆρες φαινόμενοι, λάμπητε τοῖς χειμαζομένοις καὶ κλυδωνιζομένοις.

---

1. Καὶ στὸν πρεσβύτερο Μωϋσῆ συνιστᾶ νὰ προσεύχεται γιὰ τὴν κατάπαυση τῶν δεινῶν τῆς Ἐκκλησίας. (Πρβλ. καὶ *Ἐπιστολὴ* 55η).

ρης καὶ τῆς καρτερικῆς διαθέσεώς σου, τὸ ὅτι μέσα στὴ θεομηνία τόσων καταστάσεων, ὄχι μόνο δὲ λησμόνησες τὴν ἀγάπη μου, ἀλλὰ παραμένεις ἀμετακίνητος καὶ διατηρεῖς ἀκμαία τὴ φιλία σου γιὰ μένα. Αὐτὸ βέβαια τὸ ἔμαθα μὲ σαφήνεια ἀπὸ αὐτοὺς ποὺ ἔρχονται ἀπὸ ἐκεῖ, ἀλλὰ τὸ γνώριζα καὶ πρὶν τὸ μάθω ἀπὸ ἄλλους. Γιατὶ γνωρίζω τὴ σταθερότητα καὶ τὸ ἀμετάβλητο τῆς διάνοιάς σου, τὴν προσηλωμένη καὶ ἀμετακίνητη γνώμη σου. Γι' αὐτὸ καὶ αἰσθάνομαι μεγάλη εὐγνωμοσύνη πρὸς τὴ θεοσέβειά σου καὶ παρακαλῶ τὴν εὐλάβειά σου καὶ ζητῶ σὰν πολὺ μεγάλη χάρη νὰ μοῦ γράφει συνεχῶς, ὅταν τῆς εἶναι δυνατό. Γιατὶ γνωρίζεις πόση παρηγοριὰ αἰσθάνομαι, ζώντας σὲ ξένη χώρα, ὅταν δέχομαι καὶ γράμματα, ποὺ μοῦ φέρνουν τὴν εὐχάριστη εἴδηση τῆς ὑγείας σου. Καὶ ἐπιθυμῶ πάρα πολὺ καὶ νὰ χαίρει καὶ νὰ ὑγιαίνει ἡ θεοσέβειά σου, ἐπειδὴ ἡ ὑγεία ἡ δική σου εἶναι γιὰ πολλοὺς στήριγμα καὶ καταφύγιο καὶ προϋπόθεση μυρίων κατορθωμάτων.

92

ΣΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟ ΜΩΥΣΗ

Τὰ ὑπερβολικὰ ἐγκώμια ποὺ ὑπάρχουν στὰ γράμματα τῆς ἐντιμότητάς σου ξεπερνοῦν κατὰ πολὺ τὴ μηδαμινότητά μου. Γι' αὐτό, ἀφήνοντας αὐτά, μὴ παραλείπεις νὰ προσεύχεσαι γιὰ τὸ σύνολο τῶν Ἐκκλησιῶν καὶ τὴν ταπείνωση τὴ δική μου, καὶ νὰ παρακαλεῖς τὸ Θεὸ[1] νὰ καταπαύσει τὰ δεινὰ ποὺ κατέλαβαν τὴν οἰκουμένη. Γιατὶ ἡ παρούσα κατάσταση μόνο ἀπὸ προσευχὲς ἔχει ἀνάγκη, καὶ μάλιστα τῶν δικῶν σου προσευχῶν, ποὺ ἔχεις πολλὴ παρρησία πρὸς τὸ Θεό. Μὴ παραλείπεις λοιπὸν νὰ τὸ κάνεις αὐτὸ ἀκατάπαυστα, ἀλλὰ καὶ σὲ μένα, ὅταν εἶναι δυνατό, μὴν ἀμελεῖς νὰ γράφεις συνεχῶς, γιατὶ δὲν εἶναι μεγάλη ἡ ἀπόσταση. Καὶ θέλω πάρα πολὺ νὰ μαθαίνω γιὰ τὴν ὑγεία σου, ἐπειδὴ ἡ ὑγεία σου γιὰ πολλοὺς γίνεται παρηγοριὰ καὶ στήριγμα. Γιατὶ πάντοτε βέβαια εἶναι ἀναγκαία ἡ ζωή σου, ἰδιαίτερα ὅμως τώρα μέσα σὲ τόση συμφορὰ καὶ θλίψη, ὥστε, προβάλλοντας σὰν καθαρὰ ἀστέρια, νὰ λάμπετε σ' αὐτοὺς ποὺ δοκιμάζονται καὶ ταλαντεύονται.

Ἵν' οὖν καὶ ἡμεῖς εὐθυμῶμεν, πυκνὰ πέμπετε ἡμῖν γράμματα, περὶ τῆς ὑγείας τῆς ὑμετέρας εὐαγγελιζόμενα, καὶ οὐ μικρὰν καρπωσόμεθα παράκλησιν, ἂν ταῦτα συνεχῶς μανθάνωμεν περὶ τῆς τιμιότητος τῆς ὑμετέρας.

ΛΓ'

ΑΦΘΟΝΙΩι, ΘΕΟΔΟΤΩι, ΧΑΙΡΕΑι, ΠΡΕΣΒΥΤΕΡΟΙΣ ΚΑΙ ΜΟΝΑΖΟΥΣΙ, ΚΑΙ ΠΑΣΙ ΤΟΙΣ ΤΗΣ ΣΥΝΟΙΚΙΑΣ ΥΜΩΝ

Φέρει μέν τι πλέον εἰς παραμυθίας λόγον τοῖς ἀγαπῶσι καὶ ἡ σωματικὴ παρουσία τῶν ἀγαπωμένων. Ἐπεὶ καὶ ὁ μακάριος Παῦλος συνεχῶς, μᾶλλον δὲ διηνεκῶς, τὴν οἰκουμένην ἅπασαν τῶν πιστῶν ἐπὶ τῆς αὐτοῦ διανοίας περιφέρων, καὶ οὐδὲ ἐν ταῖς ἀλύσεσιν, οὐδὲ ἐν τοῖς δεσμοῖς καὶ ἐν τῇ ἀπολογίᾳ ἀνεχόμενος αὐτοὺς ἀποθέσθαι, ὃ καὶ δηλῶν, ἔλεγε, «διὰ τὸ ἔχειν με ἐν τῇ καρδίᾳ ὑμῶν, ἔν τε τοῖς δεσμοῖς μου καὶ ἐν τῇ ἀπολογίᾳ καὶ βεβαιώσει τοῦ Εὐαγγελίου», μετὰ πολλῆς τῆς σπουδῆς καὶ τὴν τοῦ σώματος ἐπεζήτει παρουσίαν, οὕτω λέγων· «ἡμεῖς δὲ ἀπορφανισθέντες ἀφ' ὑμῶν πρὸς καιρὸν ὥρας, προσώπῳ, οὐ καρδίᾳ, περισσοτέρως ἐσπουδάσαμεν τὸ πρόσωπον ὑμῶν ἰδεῖν».

Ὃ δὴ καὶ ἡμεῖς πάσχομεν νῦν, τῶν τε ἑωρακότων ἡμᾶς, τῶν τε οὐχ ἑωρακότων μετὰ πολλῆς τῆς σπουδῆς ἐπιζητοῦντες τὴν παρουσίαν. Ἀλλ' ἐπειδὴ τοῦτο τέως οὐκ ἔνι (κωλύει γὰρ καὶ τῆς ὁδοῦ τὸ μῆκος, καὶ ἡ τοῦ ἔτους ὥρα, καὶ ὁ τῶν ληστῶν φόβος, καὶ τὸ μὴ ῥᾴδιον ἡμῖν εἶναι καὶ τούτων χωρὶς κινεῖσθαι οἴκοθεν, καὶ μακρὰς ἀποδημίας ἀποδημεῖν), ἐπὶ τὸν δεύτερον ἤλθομεν πλοῦν, τήν τε ὀφειλομένην ἀποδιδόντες ὑμῖν πρόσρησιν, καὶ πρὸ ταύτης παρακαλοῦντες καὶ ἐν μέρει μεγίστης αἰτοῦντες χάριτος, τὸ διηνεκῶς ἡμῶν εὐχομένους μεμνῆσθαι καὶ τῷ φιλανθρώπῳ Θεῷ προσπίπτειν μετὰ πολλῆς τῆς εὐγενείας καὶ τῶν δακρύων ὑπὲρ τῆς ταπεινώσεως τῆς

1. *Β' Κορ.* 11,28.
2. *Φιλ.* 1,7.

Γιὰ νὰ χαίρομαι λοιπὸν καὶ ἐγώ, στέλνε μου πυκνὰ γράμματα, ποὺ νὰ μοῦ φέρνουν τὰ εὐχάριστα νέα τῆς ὑγείας σου, καὶ δὲ θὰ παίρνω λίγη παρηγοριά, ἐὰν μαθαίνω αὐτὰ συνεχῶς γιὰ τὴν ἐντιμότητά σου.

93

ΣΤΟΥΣ ΠΡΕΣΒΥΤΕΡΟΥΣ ΚΑΙ ΜΟΝΑΖΟΝΤΕΣ ΑΦΘΟΝΙΟ, ΘΕΟΔΟΤΟ ΚΑΙ ΧΑΙΡΕΑ, ΚΑΙ ΣΕ ΟΛΟΥΣ ΤΟΥΣ ΣΥΓΚΑΤΟΙΚΟΥΣ ΣΑΣ

Καὶ ἡ σωματικὴ παρουσία αὐτῶν ποὺ ἀγαπῶνται παρέχει ὁπωσδήποτε κάποια περισσότερη παρηγοριὰ γιὰ ἐκείνους ποὺ ἀγαποῦν. Γι' αὐτὸ καὶ ὁ μακάριος Παῦλος, μολονότι συνεχῶς, ἢ μᾶλλον πάντοτε, περιέφερε στὴ σκέψη του τοὺς πιστοὺς ὅλης τῆς οἰκουμένης[1] καὶ δὲν ἄντεχε νὰ τοὺς ἀφήσει οὔτε ὅταν ἦταν ἁλυσοδεμένος οὔτε ὅταν ἦταν φυλακισμένος οὔτε ὅταν ἀπολογοῦνταν, πρᾶγμα ποὺ φανερώνοντάς το ἔλεγε, «ἐπειδὴ σᾶς ἔχω μέσα στὴν καρδιά μου καὶ τώρα ποὺ εἶναι φυλακισμένος καὶ ὅταν ἐλεύθερος κηρύττω ὑπερασπίζοντας καὶ βεβαιώνοντας τὴν ἀλήθεια τοῦ Εὐαγγελίου»[2], μὲ πολλὴ λαχτάρα ἐπιζητοῦσε καὶ τὴ σωματικὴ παρουσία τους λέγοντας τὰ ἑξῆς· «ἐμεῖς ὅταν σᾶς στερηθήκαμε προσωρινά, μὲ τὸ σῶμα βέβαια, ὄχι μὲ τὴν καρδιά, εἴχαμε περισσότερη λαχτάρα νὰ δοῦμε τὸ πρόσωπό σας»[3].

Αὐτὸ ἀκριβῶς παθαίνω καὶ ἐγὼ τώρα, ἐπιδιώκοντας μὲ πολλὴ λαχτάρα τὴν παρουσία καὶ αὐτῶν ποὺ μὲ ἔχουν δεῖ καὶ ἐκείνων ποὺ δὲν μὲ εἶδαν. Ἐπειδὴ ὅμως αὐτὸ πρὸς τὸ παρὸν δὲν εἶναι δυνατὸ (γιατὶ τὸ ἐμποδίζουν καὶ ἡ ἀπόσταση τοῦ δρόμου καὶ ἡ ἐποχὴ τοῦ ἔτους καὶ ὁ φόβος τῶν ληστῶν καὶ τὸ ὅτι ἐκτὸς ἀπὸ αὐτὰ δὲν εἶναι εὔκολο σὲ μένα νὰ μετακινηθῶ ἀπὸ τὸ σπίτι μου καὶ νὰ ἀναλάβω μακρὰ ἀποδημία) προτίμησα τὸν δεύτερο δρόμο, καὶ τὸν ὀφειλόμενο χαιρετισμὸ στέλνοντας σὲ σᾶς καὶ πρὶν ἀπὸ αὐτὸν παρακαλώντας καὶ ζητώντας ὡς μεγάλη χάρη τὸ νὰ μὲ μνημονεύετε πάντοτε ὅταν προσεύχεσθε καὶ νὰ ἱκετεύετε τὸν φιλάνθρωπο Θεὸ μὲ πολλὴ

---

3. *Α' Θεσσ.* 2,17.

ἡμετέρας. Οἱ γὰρ τὸν εὔριπον τῶν βιωτικῶν διαφυγόντες πραγμάτων καὶ τοῦ καπνοῦ καὶ τῆς ζάλης τῶν ἐν τῷ μέσῳ κακῶν ἀπαλλαγέντες, καί, καθάπερ εἰς λιμένα τινὰ εὔδιον καὶ ἀκύμαντον, τῆς καλῆς ταύτης φιλοσοφίας ὅρμον τὰς ἑαυτῶν ὀδηγήσαντες ψυχὰς καὶ τὰς νύκτας ταῖς ἱεραῖς παννυχίσιν ἡμέρας ἐργαζόμενοι καὶ φανερώτερον ἐν ταύταις ὁρῶντες ἢ ἐν ταῖς ἡμέραις ἕτεροι, δίκαιοι ἂν εἴητε ἡμῖν ἀπὸ τῶν εὐχῶν ὑμῶν μεταδοῦναι συμμαχίας. Δυνατὸν γὰρ καὶ ἐκ τοσούτου καθημένους διαστήματος ἀπολαύειν ἡμᾶς τούτων, καὶ τόπος οὐδείς ἐστιν, οὐδὲ χρόνος, ὁ τὴν τοιαύτην δυνάμενος διακόψαι βοήθειαν.

Συμμαχήσατε τοίνυν ἡμῖν καὶ χεῖρα ὀρέξατε διὰ τῶν εὐχῶν τῶν ὑμετέρων. Τοῦτο γὰρ μάλιστα μέγιστον ἀγάπης εἶδός ἐστι. Καὶ μετὰ τῶν εὐχῶν τῶν ὑμετέρων καὶ περὶ τῆς ὑγείας τῆς ὑμετέρας δηλοῦν ἡμῖν μὴ κατοκνεῖτε, ἵνα καὶ ἐντεῦθεν μεγίστην δεχώμεθα τὴν παραμυθίαν, ἐντρυφῶντες ὑμῶν τῇ ἀγάπῃ καὶ ὡς παρόντας τοὺς ἀπόντας φανταζόμενοι· δύναται γὰρ καὶ εἰκόνας τοιαύτας ὑπογράψαι τὸ γνησίως φιλεῖν. Κἂν ἐν χαλεπωτέρᾳ ταύτης τύχωμεν ὄντες ἐρημίᾳ, πολλὴν ἐντεῦθεν καρπωσόμεθα τὴν παράκλησιν.

4Δ'

ΠΕΝΤΑΔΙΑι ΔΙΑΚΟΝΩι

Ἐγώ σου τὴν ἀγάπην, ἣν περὶ ἡμᾶς ἔχεις, ᾔδειν μὲν καὶ ἔμπροσθεν δι' αὐτῶν μαθὼν τῶν πραγμάτων, ἔμαθον δὲ σαφέστερον νῦν ἐξ ὧν ἐπέσταλκας ἡμῖν. Καὶ διὰ τοῦτο μάλιστά σε θαυμάζομεν, οὐ διὰ τὸ γράψαι μόνον, ἀλλὰ καὶ διὰ τὸ ἀπαγγεῖλαι ἡμῖν πάντα τὰ γεγενημένα. Τοῦτο γὰρ καὶ θαρρούσης ἡμῖν καὶ μεριμνώσης τὰ ἡμέτερα. Διὰ ταῦτα σκιρτῶμεν, χαίρομεν, εὐφραινόμεθα, μεγίστην παράκλη-

4. Ὁ κατεξοχὴν «λειτουργικὸς» πατὴρ τῆς Ἐκκλησίας, στὶς δοκιμασίες ποὺ περνᾶ, αἰσθάνεται ὅτι ἔχει ἀνάγκη πολλῆς προσευχῆς καὶ δακρύων, καὶ παρακαλεῖ νὰ τὸν βοηθήσουν σ' αὐτὸ οἱ πρεσβύτεροι καὶ μοναχοὶ πρὸς τοὺς ὁποίους γράφει. Οἱ ἄνθρωποι αὐτοὶ ποὺ κατάφεραν νὰ ἀπαλλαγοῦν ἀπὸ τὶς βιωτικὲς μέριμνες καὶ ἔχουν μεταβάλλει τὶς νύχτες σὲ μέρες μὲ τὶς παννυχίδες τους, κρίνει ὅτι εἶναι οἱ πιὸ κατάλληλοι νὰ τὸν βοηθήσουν μὲ τὶς προσευχές τους νὰ ξεπεράσει τὶς δοκιμασίες του. (Πρβλ. *Ἐπιστολὴ* 114).

εὐγένεια καὶ δάκρυα γιὰ τὴ δική μου ταπείνωση[4]. Γιατὶ σεῖς ποὺ διαφύγατε τὸν Εὔριπο[5] τῶν βιωτικῶν προβλημάτων καὶ ἔχετε ἀπαλλαγεῖ ἀπὸ τὸν καπνὸ καὶ τὴν τρικυμία τῶν κακῶν ποὺ προέκυψαν, καὶ ὁδηγήσατε τὶς ψυχές σας στὸν ὅρμο τῆς καλῆς αὐτῆς φιλοσοφίας (τῆς ἀσκήσεως), σὰν σὲ λιμάνι ἥσυχο καὶ γαληνεμένο, καὶ μεταβάλλετε τὶς νύχτες σὲ ἡμέρες μὲ τὶς παννυχίδες καὶ βλέπετε κατὰ τὴ διάρκεια αὐτῶν καθαρότερα ἀπὸ ὅσο βλέπουν ἄλλοι κατὰ τὴ διάρκεια τῆς ἡμέρας, θὰ ἤσασταν οἱ πιὸ κατάλληλοι νὰ μοῦ προσφέρετε μὲ τὶς προσευχές σας βοήθεια. Γιατὶ εἶναι δυνατό, μολονότι βρίσκομαι σὲ τόσο μεγάλη ἀπόσταση, νὰ ἀπολαμβάνω αὐτὲς καὶ δὲν ὑπάρχει κανένας τόπος, οὔτε χρόνος, ποὺ νὰ μπορεῖ νὰ παρεμποδίσει αὐτὴ τὴ βοήθεια.

Συμμαχῆστε λοιπὸν μαζί μου καὶ δῶστε μου χέρι βοήθειας μὲ τὶς προσευχές σας. Γιατὶ αὐτὴ πρὸ πάντων εἶναι ἡ πιὸ μεγάλη μορφὴ ἀγάπης. Ἐπίσης μαζὶ μὲ τὶς προσευχές σας μὴ ἀδιαφορεῖτε νὰ μὲ ἐνημερώνετε γιὰ τὴν ὑγεία σας, ὥστε καὶ ἀπὸ αὐτὸ νὰ δοκιμάζω μεγάλη παρηγοριά, μὲ τὸ νὰ βρίσκω εὐχαρίστηση στὴν ἀγάπη σας καὶ νὰ φαντάζομαι ὡς παρόντες ἐκείνους ποὺ εἶναι ἀπόντες. Γιατὶ καὶ εἰκόνες τέτοιες μπορεῖ νὰ σχηματίσει ἡ γνήσια ἀγάπη. Καὶ ἂν ἀκόμα τύχει νὰ βρεθῶ καὶ σὲ χειρότερη ἀπὸ αὐτὴ τὴν ἐρημιά, θὰ παίρνω μεγάλο κουράγιο ἀπὸ αὐτές.

94

ΣΤΗ ΔΙΑΚΟΝΙΣΣΑ ΠΕΝΤΑΔΙΑ

Ἐγὼ βέβαια γνώριζα καὶ ἀπὸ πρὶν τὴν ἀγάπη ποὺ ἔχεις γιὰ μένα, μαθαίνοντάς την ἀπὸ τὰ ἴδια τὰ πράγματα. Τὴν κατάλαβα ὅμως καλύτερα τώρα ἀπὸ ὅσα μοῦ ἔγραψες. Καὶ σὲ θαυμάζω ἰδιαίτερα γι' αὐτό, ὄχι μόνο γιὰ τὸ ὅτι ἔγραψες, ἀλλὰ καὶ γιὰ τὸ ὅτι μοῦ ἀνάφερες ὅλα ὅσα συνέβησαν. Γιατὶ αὐτὸ εἶναι δεῖγμα ὅτι ἔχεις ἐμπιστοσύνη σὲ μένα καὶ φροντίζεις γιὰ ὅσα μὲ ἀφοροῦν. Γι' αὐτὰ

5. Πρόκειται γιὰ τὸ γνωστὸ στενὸ μεταξὺ Εὔβοιας καὶ Στερεᾶς Ἑλλάδας, μὲ τὴν ἐπίσης γνωστή του παλίρροια, μὲ τὴν ὁποία ὁ ἱερὸς συγγραφέας παρομοιάζει τὰ δεινὰ ποὺ βρῆκαν τὴν Ἐκκλησία στὶς μέρες του.

σιν, καὶ ἐν ἐρημίᾳ τοσαύτῃ καθήμενοι, τὴν ἀνδρείαν ἔχομεν τὴν σήν, τὴν ἔνστασιν, τὴν ἀπερίτρεπτον γνώμην, τὴν σύνεσιν τὴν πολλήν, τὴν ἐλευθεροστομίαν, τὴν παρρησίαν τὴν ὑψηλήν, δι' ἧς κατῄσχυνας μὲν τοὺς ὑπεναντίους, καιρίαν δὲ δέδωκας τῷ διαβόλῳ πληγήν, ἤλειψας δὲ τοὺς ὑπὲρ τῆς ἀληθείας ἀγωνιζομένους, καθάπερ ἀριστεὺς γενναῖος ἐν πολέμῳ τρόπαιον στήσασα λαμπρόν, καὶ νίκην ἀραμένη φαιδράν, καὶ ἡμᾶς δὲ τοσαύτης ἐνέπλησας ἡδονῆς, ὡς νομίζειν μήτε ἐν ἀλλοτρίᾳ εἶναι, μήτε ἐν ξένῃ γῇ, μήτε ἐν ἐρημίᾳ, ἀλλ' ἐκεῖσε παρεῖναι καὶ μεθ' ὑμῶν εἶναι καὶ ἐντρυφᾶν σου τῇ τῆς ψυχῆς ἀρετῇ.

Χαῖρε τοίνυν καὶ εὐφραίνου τοιαύτην ἀραμένη νίκην καὶ τοιούτους εὐκόλως ἐπιστομίσασα θῆρας καὶ τὰς ἀναισχύντους αὐτῶν ἐμφράξασα γλώττας καὶ λυσσῶντα ἀπορράψασα στόματα. Τοιοῦτον γὰρ ἡ ἀλήθεια μεθ' ἧς ἠγωνίσω καὶ ὑπὲρ ἧς ἐσφάγης πολλάκις· ἐν βραχέσι ῥήμασι κρατεῖ τῶν συκοφαντούντων· ὥσπερ οὖν τὸ ψεῦδος κἂν μυρίους περιβάληται λόγων διαύλους, διαρρεῖ καὶ καταπίπτει ῥᾳδίως καὶ ἀράχνης ἐστὶν ἀδρανέστερον. Χαῖρε τοίνυν καὶ εὐφραίνου (οὐ γὰρ παύσομαι συνεχῶς ταῦτα λέγων τὰ ῥήματα), ἀνδρίζου καὶ κραταιοῦ καὶ καταγέλα πάσης ἐπαγομένης σοι παρ' αὐτῶν ἐπιβουλῆς. Ὅσῳ γὰρ ἂν χαλεπώτερον ἀγριαίνωσι, τοσούτῳ βαθυτέρας καθ' ἑαυτῶν τὰς πληγὰς ἐπιφέρουσι, σὲ μὲν οὐδὲ μικρὸν ἀδικοῦντες, ὥσπερ οὐδὲ τὴν πέτραν τὰ κύματα, ἑαυτοὺς δὲ διαλύοντες καὶ ἀσθενεστέρους ποιοῦντες καὶ ὑπερβαλλούσας καθ' ἑαυτῶν σωρεύοντες τὰς τιμωρίας.

Μηδὲν τοίνυν δέδιθι τῶν ἀπειλουμένων, κἂν τοὺς ὀδόντας βρύχωσι, κἂν θυμῷ πολλῷ μεθύωσι, κἂν φόνιον βλέπωσιν, εἰς ἀγριότητα θηρίων ὑπὸ τῆς πονηρίας ἐκπεσόντες. Ὁ γὰρ μέχρι σήμερον ἐξαρπάσας σε τῶν ποικίλων αὐτῶν καὶ διαφόρων ἐπιβουλῶν, οὗτός σε καὶ εἰς τὸ μέλλον ἀνδριζομένην ἐν ἀσφαλείᾳ καταστήσει πλείονι· καὶ ἐρεῖς καὶ αὐτή· «βέλος νηπίων ἐγενήθησαν αἱ πληγαὶ αὐτῶν, καὶ ἐξησθένησαν ἐπ' αὐτοὺς αἱ γλῶσσαι αὐτῶν». Ὅπερ καὶ γέγονε, καὶ ἔσται, ὥστε καὶ σὲ μείζονα καρπώσασθαι τὸν μισθὸν

1. *Ψαλμ.* 63,8.

σκιρτῶ, χαίρομαι καὶ εὐφραίνομαι, καί, μολονότι βρίσκομαι σὲ τόσο μεγάλη ἐρημιά, ἔχω πάρα πολὺ μεγάλη παρηγοριὰ τὴν ἀνδρεία σου, τὴν ἀντίσταση, τὴν ἀμετάβλητη γνώμη, τὴν πολλὴ σύνεση, τὴν εἰλικρίνεια, τὸ μεγάλο θάρρος, μὲ τὸ ὁποῖο καταντρόπιασες τοὺς ἀντίθετους καὶ ἔδωσες χτύπημα στὸν διάβολο, καὶ προετοίμασες αὐτοὺς ποὺ ἀγωνίζονται γιὰ τὴν ἀλήθεια, στήνοντας περίλαμπρο τρόπαιο σὰν γενναῖος ἀγωνιστὴς στὸν πόλεμο καὶ ἐπιτυγχάνοντας λαμπρὴ νίκη, καὶ ἐμένα γέμισες μὲ τόση εὐχαρίστηση, ὥστε νὰ νομίζω ὅτι οὔτε σὲ ξένη χώρα εἶμαι, οὔτε σὲ ἀφιλόξενη γῆ, οὔτε σὲ ἐρημιά, ἀλλὰ ὅτι βρίσκομαι ἐκεῖ καὶ εἶμαι μαζί σου καὶ ἀπολαμβάνω τὴν ἀρετὴ τῆς ψυχῆς σου.

Νὰ χαίρεσαι λοιπὸν καὶ νὰ εὐφραίνεσαι ἀφοῦ πέτυχες τέτοια νίκη, ἀποστομώνοντας εὔκολα τέτοια θηρία, φράζοντας τὶς ἀδιάντροπες γλῶσσες τους καὶ ράβοντας τὰ λυσσασμένα στόματα. Γιατὶ τέτοια εἶναι ἡ ἀλήθεια μὲ τὴν ὁποία ἀγωνίστηκες καὶ γιὰ τὴν ὁποία πολλὲς φορὲς θυσιάστηκες· μὲ λίγα λόγια ἐπιβάλλεται στοὺς συκοφάντες· ὅπως πάλι τὸ ψέμα, καὶ ἂν ἀκόμα ἐκφρασθεῖ μὲ μύριες μορφὲς λόγων, διαρρέει καὶ ἐξαντλεῖται εὔκολα καὶ γίνεται πιὸ ἀνίσχυρο καὶ ἀπὸ τὴν ἀράχνη. Νὰ χαίρεσαι λοιπὸν καὶ νὰ εὐφραίνεσαι (γιατὶ δὲ θὰ πάψω νὰ ἐπαναλαμβάνω συνεχῶς αὐτὰ τὰ λόγια), νὰ αἰσθάνεσαι ἀνδρεία καὶ δυνατὴ καὶ νὰ εἰρωνεύεσαι κάθε σκευωρία ποὺ γίνεται εἰς βάρος σου ἀπὸ αὐτούς. Γιατὶ ὅσο πιὸ πολὺ ἄγριοι γίνονται, τόσο πιὸ βαθειὲς πληγὲς προκαλοῦν στὸν ἑαυτό τους, καὶ ἐνῶ ἐσένα δὲν σὲ βλάπτουν στὸ παραμικρό, ὅπως οὔτε τὰ κύματα βλάπτουν τὴν πέτρα, τοὺς ἑαυτούς τους ὅμως τοὺς διαλύουν καὶ τοὺς κάνουν πιὸ ἀνίσχυρους, καὶ συσσωρεύουν ἐναντίον τους πολὺ μεγάλες τιμωρίες.

Μὴ φοβᾶσαι λοιπὸν τίποτε ἀπὸ αὐτὰ μὲ τὰ ὁποῖα σὲ ἀπειλοῦν, ἔστω καὶ ἂν τρίζουν τὰ δόντια, ἔστω καὶ ἂν διακατέχονται ἀπὸ μεγάλο θυμό, ἔστω καὶ ἂν σὲ βλέπουν μὲ φονικὴ διάθεση, ἔχοντας ξεπέσει σὲ ἀγριότητα θηρίων ἀπὸ τὴν κακία. Γιατὶ αὐτὸς ποὺ μέχρι σήμερα σὲ γλύτωσε ἀπὸ τὶς διάφορες καὶ ποικίλες ἐπιβουλές τους, αὐτὸς καὶ στὸ μέλλον θὰ σὲ φέρει γενναία σὲ περισσότερη ἀσφάλεια καὶ θὰ πεῖς καὶ σύ· «σὰν παιδικὰ βέλη ἔγιναν τὰ χτυπήματά τους καὶ παρέλυσαν ἐπάνω τους οἱ γλῶσσες τους»[1], πρᾶγμα ποὺ ἔγινε καὶ θὰ γίνει, ὥστε καὶ σὺ νὰ ἀπολαύσεις μεγαλύτερη ἀνταμοιβὴ

καὶ λαμπροτέρους στεφάνους λαβεῖν, ἐκείνους τε ἀμετανόητα νοσοῦντας μείζονι παραδοθῆναι κολάσει.

Τί γὰρ ἐνέλιπον ἐπιβουλῆς; ποῖον τρόπον μηχανημάτων οὐκ ἐκίνησαν, ἐπιχειροῦντες ἐπιβουλεύειν τῇ στερρᾷ σου καὶ γνησίᾳ Θεῷ, μᾶλλον δὲ καὶ γενναίᾳ καὶ ἀνδρειοτάτῃ ψυχῇ; Κατήγαγον εἰς ἀγοράν, τὴν ἐκκλησίας καὶ θαλάμου πλέον εἰδυῖαν οὐδέν, ἀπ' ἀγορᾶς εἰς δικαστήριον, ἀπὸ δικαστηρίου εἰς δεσμωτήριον. Ψευδομαρτύρων ἠκόνισαν γλώσσας, συκοφαντίαν ἔρραψαν ἀναίσχυντόν, φόνους εἰργάσαντο καὶ χειμάρρους αἱμάτων ρεῦσαι ἐποίησαν, καὶ πυρὶ καὶ σιδήρῳ σώματα νέων ἀνάλωσαν, ἄνδρας τοσούτους καὶ τοιούτους πληγαῖς, αἰκισμοῖς, μυρίαις τιμωρίαις περιέβαλον, πάντα ἐκίνησαν, ἵνα δυνηθῶσιν ἀναγκάσαι σε καὶ βιάσασθαι τῷ φόβῳ εἰπεῖν τἀναντία ὧν ᾔδεις. Καὶ καθάπερ ἀετὸς ὑψηλὰ πετόμενος, οὕτω διαρρήξασα αὐτῶν τὰ δίκτυα, πρὸς τὸ σοὶ πρέπον τῆς ἐλευθερίας ἀνέβης ὕψος, οὐ παραλογισθεῖσα παρ' αὐτῶν, ἀλλὰ καὶ συκοφάντας αὐτοὺς ἀποφήνασα ἐπὶ τῷ ἐγκλήματι τούτῳ τοῦ ἐμπρησμοῦ, ἐφ' ᾧ μάλιστα ἐδόκουν μέγα φρονεῖν οἱ ἄθλιοι καὶ ταλαίπωροι.

Ἐννοοῦσα τοίνυν τὰ παρελθόντα ἅπαντα, πόσα κύματα καὶ χειμῶνά σοι οὐκ εἰργάσαντο, πόση ζάλη καὶ κλυδώνιον οὐκ ἐποίησεν, ἀλλ' ἐν μέσῃ μαινομένῃ θαλάττῃ μετὰ γαλήνης ἔπλευσας, προσδόκα ταχέως καὶ τὸν λιμένα μετὰ πολλῶν τῶν στεφάνων. Ἐπειδὴ δὲ καὶ περὶ ἡμῶν βούλει μανθάνειν, ζῶμεν, ὑγιαίνομεν, πάσης ἀπηλλάγμεθα ἀρρωστίας. Εἰ δὲ καὶ ἠρρωστοῦμεν, ἱκανὸν ἡμῖν φάρμακον εἰς ὑγείαν τῆς σῆς εὐλαβείας ἡ ἀγάπη, ἡ γνησία καὶ θερμὴ καὶ στερρὰ καὶ ἀπερίτρεπτος. Ἐπεὶ οὖν οὐ τὴν τυχοῦσαν ἡμῖν εὐφροσύνην φέρει τὸ συνεχῶς μανθάνειν τὰ περὶ τῆς ρώσεώς σου καὶ τῆς ἀσφαλείας ἁπάσης, παρακαλοῦμεν, ὃ καὶ χωρὶς παρακλήσεως εἴωθας ποιεῖν, συνεχέστερον ἐπιστέλλειν τὰ περὶ τῆς ὑγείας σου καὶ τοῦ οἴκου σου παντὸς καὶ τῶν προσηκόντων σοι· οἶσθα γὰρ ὅπως καὶ σὲ καὶ τὸν εὐλογημένον σου οἶκον πάντα μεριμνῶμεν.

---

2. Μετὰ τὴν ἐκθρόνιση καὶ τὴν ἐξορία τοῦ ἱεροῦ Χρυσοστόμου, οἱ ἀντίπαλοί του ὄχι μόνο δὲν καθησύχασαν, ἀλλὰ μετῆλθαν κάθε μέσο γιὰ νὰ ἐκφοβίσουν τοὺς ὀπαδούς του καὶ νὰ τοὺς ἀναγκάσουν νὰ καταθέσουν εἰς βάρος του. Ἡ διακόνισσα Πενταδία, πρὸς τὴν ὁποία ἀπευθύνεται ἡ ἐπιστολὴ αὐτή, συγκαταλέγεται μεταξὺ τῶν γυναικῶν ἐκείνων ποὺ ὑπέστησαν μύρια βασανιστήρια καὶ ἐξευτελισμούς, ἀλλὰ τὰ

καὶ νὰ πάρεις πιὸ λαμπρὰ στεφάνια, καὶ ἐκεῖνοι ποὺ νοσοῦν ἀμετανόητα νὰ παραδοθοῦν σὲ μεγαλύτερη κόλαση.

Τί ἄραγε παρέλειψαν ἀπὸ τὴ σκευωρία; Ποιά μέθοδο μηχανορραφίας δὲν ἔθεσαν σὲ ἐνέργεια, στὴν προσπάθειά τους νὰ συκοφαντήσουν τὴ σταθερὴ καὶ εἰλικρινῆ στὸ Θεό, ἢ μᾶλλον τὴν γενναία καὶ ἀνδρεία ψυχή σου; Ὁδήγησαν στὴν ἀγορὰ ἐσένα, ποὺ ἐκτὸς τῆς ἐκκλησίας καὶ τοῦ σπιτιοῦ τίποτε ἄλλο δὲ γνωρίζεις, ἀπὸ τὴν ἀγορὰ στὸ δικαστήριο καὶ ἀπὸ τὸ δικαστήριο στὴ φυλακή. Ἀκόνισαν γλῶσσες ψευδομαρτύρων, χάλκευσαν ἀδιάντροπη συκοφαντία, ἐκτέλεσαν δολοφονίες, καὶ ἔκαναν νὰ ρεύσουν χείμαρροι αἱμάτων, καὶ μὲ φωτιὰ καὶ ξίφος ἀφάνισαν σώματα νέων, ἄνδρες πάρα πολλοὺς καὶ σπουδαίους τοὺς μεταχειρίστηκαν μὲ πλήγματα, βασανιστήρια καὶ μύριες τιμωρίες, ἔκαναν τὰ πάντα γιὰ νὰ μπορέσουν νὰ σὲ ἀναγκάσουν καὶ νὰ σὲ ἐκβιάσουν μὲ τὸν ἐκφοβισμὸ νὰ πεῖς τὰ ἀντίθετα ἀπὸ αὐτὰ ποὺ γνώριζες. Καὶ σὰν ἀετὸς ὑψιπέτης, ἀφοῦ ἔσχισες τὰ δίχτυα τους, ἀνέβηκες στὸ ὕψος τῆς ἐλευθερίας ποὺ σοῦ πρέπει, χωρὶς νὰ ἐξαπατηθεῖς ἀπὸ αὐτούς, καὶ ἀφοῦ τοὺς ἀποκάλεσες συκοφάντες γιὰ τὸ ἔγκλημα αὐτὸ τοῦ ἐμπρησμοῦ, γιὰ τὸ ὁποῖο μάλιστα καυχῶνταν οἱ ἄθλιοι καὶ ταλαίπωροι[2].

Σκεπτόμενη λοιπὸν ὅλα τὰ περασμένα, πόσες ταραχὲς καὶ συμφορὰ δὲν σοῦ προκάλεσαν, πόση θύελλα καὶ τρικυμία δὲν σοῦ ἔφεραν, καὶ ὅμως μέσα στὴ τρικυμισμένη θάλασσα ἔπλευσες μὲ γαλήνη, περίμενε σύντομα καὶ τὸ λιμάνι μὲ τὰ πολλὰ στεφάνια. Ἐπειδὴ ὅμως θέλεις νὰ μάθεις καὶ γιὰ μένα, ζῶ, ὑγιαίνω, ἔχω ἀπαλλαγεῖ ἀπὸ κάθε ἀρρώστια. Ἀλλὰ καὶ ἐὰν ἤμουν ἄρρωστος, θὰ ἦταν ἀρκετὸ φάρμακο γιὰ νὰ θεραπευθῶ ἡ ἀγάπη τῆς εὐλάβειάς σου, ἡ εἰλικρινής, ἡ θερμή, ἡ σταθερὴ καὶ ἀμετάβλητη. Ἐπειδὴ ὅμως μοῦ δίνει μεγάλη χαρὰ τὸ νὰ μαθαίνω διαρκῶς γιὰ τὴν ὑγεία σου καὶ τὴν ἀσφάλειά σου γενικά, σὲ παρακαλῶ, αὐτὸ ποὺ καὶ χωρὶς παράκληση συνηθίζεις νὰ κάνεις, νὰ μοῦ γράφεις πιὸ συχνὰ γιὰ τὴν ὑγεία σου καὶ ὁλόκληρου τοῦ σπιτιοῦ σου, καθὼς καὶ ὅλων τῶν δικῶν σου. Γιατὶ γνωρίζεις ὅτι ἐνδιαφέρομαι καὶ γιὰ σένα καὶ γιὰ ὁλόκληρο τὸ εὐλογημένο σπίτι σου.

ἀντιμετώπισε ὅλα μὲ θάρρος καὶ ἀγωνιστικὸ φρόνημα καὶ μὲ τὴ βοήθεια τοῦ Θεοῦ κατάφερε νὰ φράξει τὶς ἀδιάντροπες γλῶσσες τους καὶ νὰ ράψει τὰ λυσσασμένα στόματά τους.

ϞΕ'

ΠΑΙΑΝΙΩι

Χαλεπὰ τὰ γεγενημένα, ἀλλ' οὐχ ὑπὲρ τῶν παθόντων καὶ στάντων γενναίως, ἀλλ' ὑπὲρ τῶν ποιησάντων θρηνεῖν ἀναγκαῖον. Καθάπερ γὰρ τὰ δυσθάνατα τῶν θηρίων πολλῷ τῷ θυμῷ ταῖς ἀκμαῖς τῶν δοράτων ἐμπίπτοντα, πρὸς τὰ βαθύτερα τῶν σπλάγχνων ὠθοῦσι τὰ ξίφη, οὕτω δὴ καὶ οἱ τὰς παρανομίας ταύτας τολμῶντες, τὸ χαλεπὸν τῆς γεέννης πῦρ κατὰ τῆς ἑαυτῶν συνάγουσι κεφαλῆς. Εἰ δὲ ἐγκαλλωπίζονται οἷς ποιοῦσι, καὶ διὰ τοῦτο μάλιστά εἰσιν ἐλεεινοὶ καὶ πλειόνων ἄξιοι δακρύων, ὅτι καὶ ταύτῃ χαλεπωτέρας ἑαυτοῖς τὰς εὐθύνας κατασκευάζουσι. Τούτους οὖν δεῖ θρηνεῖν διηνεκῶς, τοῖς δὲ πικρῶς οὕτω σφαττομένοις ὑπ' αὐτῶν συνήδεσθαι τῶν βραβείων, τῶν στεφάνων τῶν ἐν τοῖς οὐρανοῖς ἀποκειμένων, καὶ ταύτην μεγίστην ποιεῖσθαι καὶ σαφεστάτην ἀπόδειξιν τῆς καιρίας τοῦ διαβόλου πληγῆς. Εἰ γὰρ μὴ καιρίαν αὐτὴν ἐδέξατο, οὐκ ἂν τοσοῦτον ἔπνευσε διὰ τῶν πειθομένων αὐτῷ.

Ταῦτ' οὖν ἅπαντα ἐννοῶν, δέσποτά μου θαυμασιώτατε, μεγίστην δέχου παράκλησιν, καὶ γράφε συνεχῶς ἡμῖν τὰ περὶ τῆς ὑγείας τῆς σῆς. Ἐπιθυμοῦμεν γὰρ ἰδεῖν καὶ περιπτύξασθαι τὴν φίλην ἡμῖν κεφαλήν, ἀλλ' ἐπειδὴ τοῦτο νῦν οὐκ ἔνι, παρακαλῶ σου τὴν εὐγένειαν, αὐτόν τε ἡμῖν συνεχῶς ἐπιστέλλειν τὰ περὶ τῆς ῥώσεως τῆς σῆς, καὶ τοῖς σφόδρα ἡμᾶς ἀγαπῶσι πολλὴν εἰς τοῦτο παρασκευάζειν τὴν εὐκολίαν.

ϞS'

ΑΜΠΡΟΥΚΛΗι ΔΙΑΚΟΝΩι ΚΑΙ ΤΑΙΣ ΣΥΝ ΑΥΤΗι,

Τὰ κύματα, ταῖς πέτραις προσρηγνύμενα, ἐκείνας μὲν οὐδὲ μι-

1. Τὶς θηριωδίες τῶν ἀντιπάλων του ὁ Ι. Χρυσόστομος τὶς παρομοιάζει μὲ τὶς ἀντιδράσεις τῶν πληγωμένων θηρίων, τὰ ὁποία, καθὼς ἀναπηδοῦν ἀπὸ τὸν πόνο ποὺ τοὺς προκαλοῦν τὰ βέλη τῶν κυνηγῶν, σπρώχνουν πιὸ βαθειὰ τὶς αἰχμές τους, αὐξάνοντας ἔτσι τὸν πόνο τους καὶ ἐπισπεύδοντας τὸ τέλος τους. Γι' αὐτὸ ἀξιοδάκρυτοι

95

ΣΤΟΝ ΠΑΙΑΝΙΟ

Φοβερὰ ὅσα ἔγιναν, ὅμως δὲν εἶναι ἀνάγκη νὰ θρηνοῦμε γιὰ ἐκείνους ποὺ τὰ ὑπέφεραν καὶ τὰ ἀντιμετώπισαν γενναῖα, ἀλλὰ γιὰ ἐκείνους ποὺ τὰ προκάλεσαν. Γιατὶ ὅπως τὰ θηρία ποὺ εἶναι δύσκολη ἡ θανάτωσή τους, πέφτοντας μὲ πολὺ θυμὸ στὶς αἰχμὲς τῶν δοράτων σπρώχνουν τὰ ξίφη πιὸ βαθειὰ στὰ σπλάγχνα τους, ἔτσι καὶ αὐτοὶ ποὺ ἀποτολμοῦν αὐτὲς τὶς παρανομίες συγκεντρώνουν ἐναντίον τῆς κεφαλῆς τους τὴ φοβερὴ φωτιὰ τῆς κολάσεως[1]. Ἐὰν ὅμως κομπάζουν γι' αὐτὰ ποὺ κάνουν, γι' αὐτὸ ἰδιαίτερα εἶναι ἐλεεινοὶ καὶ ἀξιοδάκρυτοι, ἐπειδὴ καὶ γι' αὐτὸ κάνουν πιὸ δύσκολες τὶς εὐθύνες γιὰ τὸν ἑαυτό τους. Αὐτοὺς λοιπὸν πρέπει νὰ θρηνοῦμε διαρκῶς, ὅσο γιὰ ἐκείνους, ποὺ τόσο βάναυσα σφάζονται ἀπὸ αὐτούς, πρέπει νὰ χαιρόμαστε μαζί τους γιὰ τὰ βραβεῖα, τὰ στεφάνια ποὺ τοὺς ἀναμένουν στοὺς οὐρανούς, καὶ νὰ θεωροῦμε αὐτὸ τρανὴ καὶ ὀλοφάνερη ἀπόδειξη τοῦ καίριου πλήγματος τοῦ διαβόλου. Διότι, ἂν δὲ δεχόταν καίρια τὸ πλῆγμα, δὲν θὰ ἐκδήλωνε τόση ὀργὴ μέσω ἐκείνων ποὺ πείθονται σ' αὐτόν.

Σκεπτόμενος ὅλα αὐτά, θαυμασιώτατε δεσπότη μου, δέξου τὴ θερμή μου παράκληση καὶ γράφε μου συνεχῶς γιὰ τὴν ὑγεία σου. Ἐπιθυμῶ βέβαια νὰ δῶ καὶ νὰ ἐναγκαλισθῶ τὴν ἀγαπητὴ σὲ μένα κεφαλή. Ἐπειδὴ ὅμως αὐτὸ τώρα δὲν εἶναι δυνατό, παρακαλῶ λοιπὸν τὴν εὐγένειά σου, καὶ ὁ ἴδιος νὰ μοῦ γράφεις συχνὰ γιὰ τὴν ὑγεία σου καὶ σ' ἐκείνους ποὺ μὲ ἀγαποῦν πολὺ κάνοντας μεγάλη εὐκολία στὸ θέμα αὐτό.

96

ΣΤΗ ΔΙΑΚΟΝΙΣΣΑ ΑΜΠΡΟΥΚΛΑ ΚΑΙ ΤΙΣ ΜΑΖΙ Μ' ΑΥΤΗΝ

Τὰ κύματα, ὅταν προσκρούουν στοὺς βράχους, ἐκείνους βέ-

1. δὲν εἶναι ἐκεῖνοι ποὺ βασανίζονται καὶ σφάζονται βάναυσα, ἀλλὰ ὅσοι ἀποτολμοῦν τὶς θηριωδίες αὐτές, γιατὶ μ' αὐτὲς αὐξάνουν τὸ πῦρ τῆς κολάσεως ποὺ τοὺς ἀναμένει.

κρὸν διασαλεῦσαι δύναται, ἑαυτὰ δὲ μειζόνως τῷ ῥαγδαίῳ τῆς ῥύμης διαλύοντα ἀφανίζει. Τοῦτο καὶ ἐφ' ὑμῶν ἔστιν ἰδεῖν νῦν, καὶ τῶν ἐπιβουλευόντων ὑμῖν εἰκῇ καὶ μάτην. Ὑμῖν μὲν γὰρ καὶ ἡ παρὰ τῷ Θεῷ παρρησία καὶ ἡ παρ' ἀνθρώποις δόξα πλείων ἐντεῦθεν γίνεται, ἐκείνοις δὲ κρῖμα καὶ αἰσχύνη καὶ ὄνειδος. Ἐπεὶ καὶ τοιοῦτον ἡ ἀρετή, καὶ τοιοῦτον ἡ κακία· ἡ μὲν καὶ πολεμουμένη μειζόνως ἀνθεῖ, αὐτὴ δὲ καὶ πολεμοῦσα ἀσθενεστέρα γίνεται καὶ ταύτῃ μάλιστα καταλύεται.

Μεγίστην τοίνυν ἔχουσαι παράκλησιν τῶν γινομένων τὴν ὑπόθεσιν, χαίρετε καὶ εὐφραίνεσθε καὶ κραταιοῦσθε. Ἴστε γὰρ ἐφ' οἷς ἀπεδύσασθε ἐπάθλοις εἰς τὸν τῆς ἀνδρείας ταύτης ἀγῶνα, καὶ ποῖα ὑμᾶς καρτερούσας καὶ εὐχαρίστως φερούσας τὰ συμπίπτοντα ἀναμένει ἀγαθά, «ἃ οὔτε ὀφθαλμὸς εἶδεν, οὔτε οὖς ἤκουσεν, οὔτε ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη». Καὶ τὰ μὲν λυπηρὰ τοιαῦτα παροδεύεται καὶ τῷ παρόντι συγκαταλύεται βίῳ, τὰ δὲ ἐντεῦθεν ἔπαθλα ἀθάνατα μένει. Καὶ πρὸ τῶν ἐπάθλων δὲ ἐκείνων οὐ μικρὰν καὶ ἐντεῦθεν καρποῦσθε ἡδονήν, τῇ ἐλπίδι τοῦ χρηστοῦ συνειδότος καὶ προσδοκίᾳ στεφάνων ἐκείνων τρεφόμεναι.

Ταῦτα οἶδ' ὅτι καὶ πρὸ τῶν ἡμετέρων οἶσθα γραμμάτων, ἀλλ', ἵνα μακρὰν ποιήσωμεν τὴν ἐπιστολήν, ἐξέτεινα τὴν παράκλησιν. Εὖ γε γὰρ οἶδ' ὅτι σφόδρα ἡμῶν τῶν γραμμάτων ἐρᾷς καὶ μεθ' ὑπερβολῆς σφόδρα, καὶ τοῦτο οἶμαι αἴτιον εἶναι τοῦ συνεχῶς ἡμῖν ἐγκαλεῖν, ὅτι μὴ πολλάκις ἐπεστάλκαμεν. Οὐ γὰρ δυνάμεθά σου κορέσαι τὴν ἐπιθυμίαν, κἂν καθ' ἑκάστην πέμπωμεν γράμματα, διὰ τὸ σφόδρα ἡμῶν ἐκκρέμμασθαι τῶν ἐπιστολῶν. Ὁ Θεός σοι τὸν μισθὸν δῷ καὶ τὴν ἀμοιβὴν τῆς τοσαύτης περὶ ἡμᾶς ἀγάπης, καὶ ἐν τῷ παρόντι βίῳ καὶ ἐν τῷ μέλλοντι αἰῶνι.

Ἡμεῖς μέντοι οὐ διαλιμπάνομεν διὰ τῶν ἐμπιπτόντων συνεχῶς ἐπιστέλλοντες· ἡμῖν γὰρ αὐτοῖς τὰ μέγιστα χαριούμεθα τοῦτο

---

1. Ἄλλη προσφιλὴς παρομοίωση ποὺ χρησιμοποιεῖ ὁ Χρυσόστομος, χαρακτηρίζοντας τὶς βιαιότητες τῶν ὀπαδῶν τοῦ Θεοφίλου, εἶναι καὶ αὐτὴ ἐδῶ. Ὅπως τὰ μανιασμένα κύματα, προσκρούοντας πάνω στοὺς βράχους, δὲν μποροῦν καθόλου νὰ τοὺς μετακινήσουν, ἀλλὰ διαλύονται τὰ ἴδια καὶ χάνονται, ἔτσι καὶ οἱ ἐχθροὶ τῆς Ἐκκλησίας, μὲ ὅσο πιὸ μεγάλη ὁρμὴ ἐπιτίθενται ἐναντίον τῶν πιστῶν, αὐτῶν μὲν αὐξά-

βαια δὲν μποροῦν οὔτε ἐλάχιστα νὰ τοὺς κουνήσουν, τὸν ἑαυτό τους ὅμως διαλύοντάς τον περισσότερο ἀπὸ τὴν ὁρμὴ τῆς ροῆς τὸν ἀφανίζουν[1]. Αὐτὸ μποροῦμε νὰ τὸ δοῦμε τώρα καὶ σὲ σᾶς καὶ σ' αὐτοὺς ποὺ σᾶς ἐπιβουλεύονται μάταια καὶ ἄδικα. Γιατὶ γιὰ σᾶς καὶ ἡ παρρησία κοντὰ στὸ Θεὸ καὶ ἡ δόξα ἀπὸ τοὺς ἀνθρώπους γίνονται περισσότερα ἀπὸ αὐτά, ἐνῶ γιὰ ἐκείνους γίνονται κατάκριση καὶ ντροπὴ καὶ μομφή. Γιατὶ ἡ ἀρετὴ καὶ ἡ κακία εἶναι καὶ τέτοια· ἡ ἀρετὴ δηλαδὴ ὅταν πολεμεῖται αὐξάνει περισσότερο, ἐνῶ ἡ κακία καὶ ὅταν ἀκόμα πολεμεῖ γίνεται ἀσθενέστερη καὶ ἔτσι πρὸ πάντων καταλύεται.

Ἔχοντας λοιπὸν πάρα πολὺ μεγάλη παρηγοριὰ τὴν ὑπόθεση τῶν ὅσων ἔγιναν, νὰ χαίρεσθε καὶ νὰ εὐφραίνεσθε καὶ νὰ ἐνδυναμώνεσθε. Γιατὶ γνωρίζετε γιὰ ποιά ἔπαθλα ἀποδυθήκατε στὸν ἀγώνα αὐτῆς τῆς ἀνδρείας, καὶ ποιά ἀγαθὰ σᾶς περιμένουν ὅταν δείχνετε καρτερία καὶ ὑπομένετε μὲ εὐχαρίστηση ὅσα συμβαίνουν, ἀγαθὰ «ποὺ οὔτε μάτι εἶδε, οὔτε αὐτὶ ἄκουσε, οὔτε νοῦς ἀνθρώπου φαντάστηκε»[2]. Καὶ τὰ λυπηρὰ γεγονότα βέβαια παρέρχονται καὶ καταργοῦνται μαζὶ μὲ τὴν παροῦσα ζωή, τὰ ἔπαθλα ὅμως ποὺ προέρχονται ἀπὸ αὐτὰ μένουν ἀθάνατα. Ἀλλὰ καὶ πρὶν ἀπὸ ἐκεῖνα τὰ ἔπαθλα ἀπολαμβάνετε μεγάλη εὐχαρίστηση ἐνισχυόμενες μὲ τὴν ἐλπίδα τῆς ἀγαθῆς συνείδησης καὶ τὴν προσδοκία τῶν στεφανιῶν ἐκείνων.

Αὐτὰ γνωρίζω ὅτι τὰ ἤξερες καὶ πρὶν ἀπὸ τὰ δικά μου γράμματα· ἀλλὰ ἐμάκρυνα τὴν παρηγοριά, γιὰ νὰ κάνω πιὸ μεγάλο τὸ γράμμα. Γιατὶ γνωρίζω καλὰ ὅτι τὰ γράμματά μου τὰ ἀγαπᾶς πάρα πολὺ καὶ ὑπερβολικὰ πολύ· καὶ αὐτὸ νομίζω πὼς εἶναι ἡ αἰτία ποὺ συνεχῶς μὲ κατηγορεῖς ὅτι δὲν σοῦ γράφω πολλὲς φορές. Ἀλλὰ δὲν μπορῶ νὰ κορέσω τὴν ἐπιθυμία σου, ἔστω καὶ ἂν στέλνω γράμματα κάθε μέρα, ἐπειδὴ ἐξαρτᾶσαι πολὺ ἀπὸ τὰ γράμματά μου. Εὔχομαι ὁ Θεὸς νὰ σοῦ δώσει τὸ μισθὸ καὶ τὴν ἀνταμοιβὴ τῆς τόσης ἀγάπης σου γιὰ μένα, καὶ στὴν παροῦσα ζωὴ καὶ στὸν μέλλοντα αἰώνα.

Ἐγὼ λοιπὸν δὲν παραλείπω μὲ αὐτοὺς ποὺ ἔρχονται νὰ σοῦ γράφω συνεχῶς. Γιατὶ ἐγὼ ὁ ἴδιος χαίρομαι πάρα πολὺ κάνοντάς το

νουν τὴν ἀρετὴ καὶ τὴν παρρησία μπροστὰ στὸ Θεό, οἱ ἴδιοι ὅμως ἐπισύρουν τὴν κατάκριση καὶ τὴν τιμωρία.

2. *Α' Κορ.* 2,9. Πρβλ. καὶ *Ἡσ.* 64,4.

ποιοῦντες καὶ τῇ σῇ ψυχῇ συνεχῶς διὰ τῶν γραμμάτων προσαγορεύοντες. Καὶ γὰρ τὴν ἀγάπην, ἣν ἐνέθηκας ἡμῖν ἐξ ἀρχῆς, ταύτην διηνεκῶς ἀκμάζουσαν διατηροῦμεν, κἂν πλείονα τούτου πάλιν ἀπολειφθῶμεν ὑμῖν χρόνον, οὐδὲ ἐντεῦθεν αὐτὴ ἀμαυροτέρα γίνεται. Ἐν γὰρ διανοίᾳ πανταχοῦ περιφέρομεν ὑμᾶς, ἐκπληττόμενοι τὸ ἀπερίτρεπτον ὑμῶν τῆς γνώμης καὶ τὴν πολλὴν ἀνδρείαν. Γράφε δὴ καὶ αὐτὴ συνεχῶς ἡμῖν, τὰ περὶ τῆς ὑγείας τῆς σῆς εὐαγγελιζομένη καὶ τοῦ οἴκου σου παντός, ἵνα πολλὴν καὶ ἐντεῦθεν καρπωσώμεθα τὴν παράκλησιν.

ϛΖ'

ΥΠΑΤΙΩι ΠΡΕΣΒΥΤΕΡΩι

Οἶδας καὶ αὐτός, κύριέ μου τιμιώτατε, ὅσον ὑμῖν φέρει μισθὸν τὰ διὰ τὸν Θεὸν παθήματα, ἡλίκα βραβεῖα, οἵους στεφάνους· μηδὲν οὖν σε θορυβείτω τῶν γινομένων, ἐπείπερ τοὺς ποιοῦντας κακῶς θρηνεῖν δεῖ. Ἐκεῖνοι γάρ εἰσιν οἱ μυρίαν κατὰ τῆς ἑαυτῶν κεφαλῆς ἐπισωρεύοντες κόλασιν. Αὐτὸς τοίνυν, καθώς σοι πρέπον ἐστί, τῇ προσηκούσῃ κεχρημένος ἀνδρείᾳ, ἀράχνης εὐτελέστερον διάσπα τὰ ἐκείνων μηχανήματα καὶ τὰς ἐπιβουλάς, καὶ γράφε συνεχῶς ἡμῖν περὶ τῆς ὑγείας τῆς σῆς εὐαγγελιζόμενος. Πολλὴν γὰρ δεξόμεθα παράκλησιν, καὶ ἐν ἀλλοτρίᾳ διατρίβοντες, τοιαῦτα παρὰ τῆς τιμιότητός σου δεχόμενοι γράμματα.

ϛΗ'

ΧΑΛΚΙΔΙΑι

Οὐχ ὡς ἔτυχεν ἠλγήσαμεν, μαθόντες ἐν τοσαύτῃ σε ἀρρωστίᾳ εἶναι. Οἶσθα γὰρ ὅπως ἀντεχόμεθά σου τῆς ὑγιείας, κυρία μου κοσμιωτάτη καὶ εὐλαβεστάτη. Ἵν' οὖν μὴ κατατεινώμεθα τῇ φροντίδι, διά τινος τοῦ πρώτου ἐκεῖθεν ἀφικνουμένου τοῦτο αὐτὸ δηλῶσαι

1. Καὶ πάλι ἐδῶ ἡ πατρικὴ στοργὴ τοῦ Χρυσοστόμου γιὰ τὴν ἄρρωστη συνεργάτιδά του.

αὐτὸ καὶ ἀπευθυνόμενος συνεχῶς στὴν ψυχή σου μὲ τὰ γράμματα. Γιατὶ τὴν ἀγάπη ποὺ ἔβαλες μέσα μου ἀπὸ τὴν ἀρχή, τὴν διατηρῶ διαρκῶς ἀκμαία. Καὶ ἂν ἀκόμα καθυστερήσω περισσότερο χρόνο ἀπὸ αὐτόν, οὔτε ἀπὸ τὸ γεγονὸς αὐτὸ αὐτὴ ἐξασθενίζεται. Γιατὶ στὴ σκέψη μου σὲ περιφέρω παντοῦ, κατάπληκτος ἀπὸ τὴν ἀμετάβλητη γνώμη καὶ τὴν πολλὴ ἀνδρεία σου. Γράφε μου λοιπὸν καὶ σὺ συνεχῶς, γνωστοποιώντας μου τὴν εὐχάριστη ἀγγελία τῆς ὑγείας τῆς δικῆς σου καὶ ὁλόκληρου τοῦ σπιτιοῦ σου, γιὰ νὰ παίρνω καὶ ἀπὸ αὐτὸ κουράγιο.

97

ΣΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟ ΥΠΑΤΙΟ

Γνωρίζεις καὶ ὁ ἴδιος, ἐντιμότατε κύριε μου, πόσο μισθὸ ἀποφέρουν τὰ παθήματα γιὰ τὸ Θεό, πόσα βραβεῖα, τί εἴδους στεφάνια. Ἂς μὴ σὲ ταράσσει λοιπὸν τίποτε ἀπὸ ὅσα γίνονται, καθόσον πρέπει νὰ θρηνοῦμε ἐκείνους ποὺ διαπράττουν κακὰ ἔργα. Γιατὶ ἐκεῖνοι εἶναι ποὺ συσσωρεύουν ἀνυπολόγιστη κόλαση ἐναντίον τοῦ κεφαλιοῦ τους. Σὺ λοιπόν, ὅπως σοῦ ταιριάζει, χρησιμοποιώντας τὴν ἀνάλογη ἀνδρεία, κατάστρεφε τὶς κατώτερες καὶ ἀπὸ ἀράχνη μηχανορραφίες καὶ σκευωρίες, καὶ γράφε μου συνεχῶς ἀναφέροντάς μου τὴν εὐχάριστη εἴδηση τῆς ὑγείας σου. Γιατὶ πολλὴ ἀνακούφιση δοκιμάζω, ἂν καὶ ζῶ σὲ ξένη χώρα, παίρνοντας τέτοια γράμματα ἀπὸ τὴν ἐντιμότητά σου.

98

ΣΤΗ ΧΑΛΚΙΔΙΑ

Δὲν ἐπόνεσα λίγο μαθαίνοντας ὅτι εἶσαι τόσο ἄρρωστη[1]. Γιατὶ γνωρίζεις πόσο ἐνδιαφέρομαι γιὰ τὴν ὑγεία σου, σεμνότατη καὶ εὐλαβέστατη κυρία μου. Γιὰ νὰ μὴ βασανίζομαι ἀπὸ τὴ φροντίδα, προσπάθησε μὲ κάποιον ποὺ πρῶτος θὰ ἔλθει ἀπὸ ἐκεῖ νὰ μοῦ ανα-

ἡμῖν σπούδασον, εἴ σοι τέλεον τὰ τῆς ἀρρωστίας ἀνῄρηται καὶ πρὸς καθαρὰν ἐπανῆλθες ὑγίειαν. Οὐδὲ γὰρ τὴν τυχοῦσαν καρπούμεθα εὐφροσύνην, καὶ ἐν ἐρημίᾳ τοσαύτῃ καθήμενοι, ὅταν ὑμῶν τῶν ἀγαπώντων ἡμᾶς γνησίως περὶ τῆς ὑγείας καὶ εὐθυμίας μανθάνωμεν.

Εἰδυῖα τοίνυν ἡλίκα ἡμῖν χαρίζῃ τοιαύτην πέμπουσα ἐπιστολήν, μὴ μελλήσῃς μηδὲ ὑπερθῇ, ἀλλ' εὐθέως τοῦτο ποιῆσαι παρακλήθητι, ἵν', ὥσπερ νῦν ὑπὸ τῆς ἀθυμίας συνέχεας ἡμᾶς τὴν ἀρρωστίαν εἰποῦσα, οὕτω τὴν ὑγείαν ἀπαγγείλασα τὴν σήν, πολλὴν ἡμᾶς ἐμπλησθῆναι ποιήσῃς τῆς ἡδονῆς.

ϟθ'

ΑΣΥΓΚΡΙΤΙΑι

Ἐμοὶ μὲν περισπούδαστον τὸ συνεχῶς ὑμῖν ἐπιστέλλειν (τῆς γὰρ διαθέσεως ὑμῶν καὶ τῆς αἰδοῦς καὶ τῆς τιμῆς, ἣν περὶ ἡμᾶς ἐπεδείξασθε, ὅπουπερ ἂν ἀφικώμεθα, ἐπιλαθέσθαι οὐ δυνάμεθα, ἀλλ' ἔχομεν ὑμῶν διηνεκῶς τὴν μνήμην ἀκμάζουσαν πανταχοῦ περιφέροντες), εἰ δὲ μὴ ὁσάκις ἐβουλόμεθα ἐπεστάλκαμεν, ἀλλὰ σπανιάκις, τοῦτο οὐ τῆς ῥᾳθυμίας τῆς ἡμετέρας, ἀλλὰ τῆς τῶν πραγμάτων ἀνάγκης καὶ τοῦ τὴν ὁδὸν ἄβατον ὁδοιπόροις εἶναι νῦν.

Ταῦτ' οὖν εἰδυῖα, κυρία μου κοσμιωτάτη καὶ εὐγενεστάτη, καὶ γραφόντων ἡμῶν καὶ σιγώντων, ὁμοίως διάκεισο περὶ τῆς διαθέσεως, ἣν ἀεὶ περὶ ὑμᾶς ἐπεδειξάμεθα.

Ρ'

ΜΑΡΚΙΑΝΩι ΚΑΙ ΜΑΡΚΕΛΛΙΝΩι

Τοῦτο καὶ ἡμῖν τῆς μακρᾶς σιγῆς αἴτιον γίνεται, ὃ καὶ τῇ εὐγενείᾳ τῇ ὑμετέρᾳ, ἀλλὰ σιγῆς οὐ τῆς κατὰ τὴν γνώμην, ἀλλὰ τῆς κατὰ τὴν γλῶτταν. Ὡς τῇ διανοίᾳ καὶ ἐπιστέλλομεν καὶ προσφεγγόμεθα συνεχῶς, μᾶλλον δὲ διηνεκῶς, τὴν εὐγενεστάτην καὶ ἐμμελεστάτην

φέρεις τοῦτο ἀκριβῶς, ἐὰν ἡ ἀρρώστια σου πέρασε τελείως καὶ ἐπανῆλθες σὲ πλήρη ὑγεία. Γιατὶ δὲν εἶναι τυχαία ἡ χαρὰ ποὺ αἰσθάνομαι, ζώντας σὲ τόση ἐρημιά, νὰ μαθαίνω γιὰ σᾶς ποὺ μὲ ἀγαπᾶτε εἰλικρινά, ὅτι εἶσθε ὑγιεῖς καὶ διατελεῖτε σὲ ψυχικὴ γαλήνη.

Γνωρίζοντας λοιπὸν πόσα μοῦ χαρίζεις στέλνοντας τέτοια ἐπιστολή, μὴ βραδύνεις οὔτε νὰ ἀναβάλεις, ἀλλὰ παρακαλῶ νὰ τὸ κάνεις ἀμέσως, ὥστε, ὅπως τώρα μὲ ἀναστάτωσες ἀπὸ τὴ λύπη, λέγοντας μου γιὰ τὴν ἀρρώστια σου, ἔτσι, ὅταν μοῦ ἀναγγείλεις τὴν ὑγεία σου, θὰ μὲ κάνεις νὰ γεμίσω ἀπὸ πολλὴ εὐχαρίστηση.

99

ΣΤΗΝ ΑΣΥΓΚΡΙΤΙΑ

Γιὰ μένα βέβαια εἶναι πολὺ σημαντικὸ τὸ νὰ σοῦ γράφω συνεχῶς. Γιατὶ ἐξαιτίας τῶν αἰσθημάτων σου καὶ τοῦ σεβασμοῦ καὶ τῆς ἐκτιμήσεως ποὺ ἔδειξες γιὰ μένα, ὅπου καὶ ἂν πηγαίνω, δὲν μπορῶ νὰ σὲ λησμονήσω, ἀλλὰ διατηρῶ τὴν ἀνάμνησή σου διαρκῶς ζωηρὴ καὶ τὴν περιφέρω παντοῦ. Ἐὰν ὅμως δὲν σοῦ ἔγραψα ὅσες φορὲς ἤθελα, ἀλλὰ σπάνια, αὐτὸ δὲν ὀφείλεται στὴν ὀκνηρία τὴ δική μου, ἀλλὰ στὴν ἀνάγκη τῆς καταστάσεως καὶ στὸ ὅτι ὁ δρόμος τώρα εἶναι ἀδιάβατος γιὰ τοὺς ὁδοιπόρους.

Γνωρίζοντας λοιπὸν αὐτά, σεμνότατη καὶ εὐγενέστατη κυρία μου, καὶ ὅταν σοῦ γράφω καὶ ὅταν σιωπῶ νὰ διατηρεῖς τὴν ἴδια γνώμη γιὰ τὰ αἰσθήματα ποὺ πάντοτε ἔδειξα ἀπέναντί σου.

100

ΣΤΟΥΣ ΜΑΡΚΙΑΝΟ ΚΑΙ ΜΑΡΚΕΛΛΙΝΟ

Αἰτία τῆς μακρᾶς σιωπῆς μου γίνεται αὐτὸ ποὺ γίνεται καὶ στὴ δική σας εὐγένεια. Ἀλλὰ γίνεται αἰτία σιωπῆς ὄχι ὡς πρὸς τὴ γνώμη, ἀλλὰ ὡς πρὸς τὴ γλῶσσα. Καθόσον ὡς πρὸς τὴ σκέψη καὶ γράφω καὶ μιλῶ διαρκῶς, ἢ μᾶλλον ἀκατάπαυστα, στὴν εὐγενέστατη καὶ μελωδικὴ ψυχή σας καὶ ἔχοντάς σας χαραγμένους στὴ συνεί-

ὑμῶν ψυχὴν καὶ ἐγκολάψαντες ὑμᾶς τῷ συνειδότι, πανταχοῦ περιφέρομεν· τοιοῦτον γὰρ τὸ φιλεῖν γνησίως.

Ταῦτ' οὖν εἰδότες, κύριοί μου ποθεινότατοι καὶ τιμιώτατοι, ἐπιστέλλετε μέν, ἡνίκα ἂν ἐξῇ, τὰ περὶ τῆς ὑγιείας τῆς ὑμετέρας δηλοῦντες, θαρρεῖτε δέ, ὅτι καὶ σιγώντων ὑμῶν τὴν αὐτὴν περὶ τῆς ἀγάπης ὑμῶν ψῆφον οἴσομεν, ἣν καὶ γραφόντων, ἀπὸ τῆς γνώμης ταῦτα ψηφιζόμενοι τῆς ὑμετέρας.

ΡΑ'

ΣΕΥΗΡΩι ΠΡΕΣΒΥΤΕΡΩι

Ἡμεῖς μέν, καίτοι χωρίον ἐρημότατον οἰκοῦντες, καὶ ἐπεστάλκαμεν πολλάκις πρὸς τὴν σὴν ἐμμέλειαν καὶ τοὺς ἐκεῖθεν ἀφικνουμένους οὐ παυόμεθα συνεχῶς ἐρωτῶντες περὶ τῆς ὑγείας τῆς σῆς, αὐτὸς δὲ οὐκ οἶδα, ἀνθ' ὅτου μανικὸς ἡμῶν οὕτως ἐραστὴς ὢν καὶ πολλὴν εὐκολίαν ἔχων τῶν ἐνταῦθα διακομιζόντων τὰ γράμματα, σιγᾷς οὕτω μακρὰν σιγήν. Ἀλλ' ἡμεῖς τὸ θερμόν σου καὶ γνήσιον, τὸ εἰλικρινὲς τῆς διαθέσεως, ὃ περὶ ἡμᾶς ἀεὶ ἐπεδείξω, ἐννοοῦντες καὶ ἐν τῇ σιγῇ τῇ μακρᾷ μεγίστην καρπούμεθα παράκλησιν. Πλὴν ἀλλὰ βουλόμεθα καὶ γραμμάτων συνεχῶς ἀπολαύειν τῶν σῶν, τὰ περὶ τῆς ὑγιείας τῆς σῆς ἡμῖν ἀπαγγελλόντων, καὶ ἃ παρ' ἑτέρων μανθάνομεν, ταῦτα παρὰ τῆς γλώττης τῆς σῆς καὶ τῆς χειρὸς ἐβουλόμεθα μανθάνειν.

Ποίει δὴ τοῦτο νῦν γοῦν, δέσποτά μου τιμιώτατε· οἶσθα γὰρ ἡλίκα ἡμῖν χαριῇ. Ὡς ἡμεῖς καὶ γράφοντες καὶ μὴ γράφοντες, οὐ παυόμεθα μεμνημένοι καὶ τὴν ἀγάπην, ἣν ἀεὶ περὶ τὴν σὴν ἐπεδειξάμεθα εὐλάβειαν, διατηροῦντες, ὅπουπερ ἂν ὦμεν. Ἡμῖν γὰρ αὐτοῖς τὰ μέγιστα χαριούμεθα τοῦτο ποιοῦντες.

ΡΒ'

ΘΕΟΔΟΤΩι ΑΝΑΓΝΩΣΤΗι

Τί φῄς; Πλείονά σοι τῶν προσδοκηθέντων τὰ κύματα ἐναπέ-

δησή μου, σᾶς περιφέρω παντοῦ. Γιατὶ τέτοια εἶναι ἡ γνήσια ἀγάπη.

Γνωρίζοντας λοιπὸν αὐτά, περιπόθητοι καὶ ἐντιμότατοι κύριοί μου, γράφετε, ὅταν εἶναι δυνατό, ἀναφέροντας τὴν κατάσταση τῆς ὑγείας σας. Καὶ νὰ εἶστε βέβαιοι ὅτι καὶ ὅταν σιωπᾶτε ἔχω γιὰ τὴν ἀγάπη σας τὴν ἴδια γνώμη ποὺ ἔχω καὶ ὅταν γράφετε, καὶ εἶναι αὐτὴ ἡ γνώμη μου ἀνάλογη πρὸς τὴ δική σας.

101

ΣΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟ ΣΕΒΗΡΟ

Ἐγώ, ἂν καὶ διαμένω σὲ ἐρημότατο χωριό, καὶ πολλὲς φορὲς ἔγραψα στὴ χάρη σου καὶ δὲν παύω νὰ ἐρωτῶ ὅσους ἔρχονται ἀπὸ ἐκεῖ συνεχῶς γιὰ τὴν ὑγεία σου. Σὺ ὅμως δὲν γνωρίζω γιὰ ποιό λόγο, ἐνῶ ἤσουν τόσο μανιώδης φίλος μου καὶ εἶχες μεγάλη εὐκολία νὰ βρεῖς αὐτοὺς ποὺ θὰ ἔφερναν ἐδῶ τὰ γράμματα, τηρεῖς τόσο μακρὰ σιωπή. Πάντως ἐγώ, σκεπτόμενος τὰ θερμὰ καὶ γνήσια καὶ εἰλικρινῆ αἰσθήματα, τὰ ὁποῖα ἀνέκαθεν ἔδειξες ἀπέναντί μου, ἀκόμα καὶ ἀπὸ τὴ μακρὰ σιωπή σου παίρνω πολὺ μεγάλη παρηγοριά. Ὅμως θέλω νὰ παίρνω συνεχῶς καὶ γράμματα δικά σου, ποὺ νὰ μοῦ ἀναγγέλλουν τὴν ὑγεία σου καὶ αὐτὰ ποὺ μαθαίνω ἀπὸ ἄλλους, θὰ ἤθελα νὰ τὰ μαθαίνω ἀπὸ τὴ δική σου γλώσσα καὶ τὸ δικό σου χέρι.

Κάνε το λοιπὸν αὐτὸ τώρα, ἐντιμότατε δεσπότη μου· γιατὶ γνωρίζεις βέβαια πόση χαρὰ θὰ μοῦ χαρίσεις. Ὅσο γιὰ μένα, καὶ ὅταν γράφω καὶ ὅταν δὲν γράφω, δὲν παύω νὰ σὲ θυμᾶμαι καὶ νὰ διατηρῶ, ὅπου καὶ ἂν βρίσκομαι, τὴν ἴδια ἀγάπη ποὺ πάντοτε ἔδειξα γιὰ τὴν εὐλάβειά σου. Καὶ τὸ κάνω αὐτὸ γιατὶ ἐγὼ ὁ ἴδιος νοιώθω μεγάλη χαρά.

102

ΣΤΟΝ ΑΝΑΓΝΩΣΤΗ ΘΕΟΔΟΤΟ

Τί λές; Σηκώθηκαν περισσότερα κύματα τώρα ἀπὸ ὅσα περίμε-

στη νῦν καὶ διὰ τοῦτο ἀλγεῖς; Διὰ τοῦτο μὲν οὖν αὐτὸ χαίρειν χρὴ καὶ σκιρτᾶν. Ἐπεὶ καὶ ὁ μακάριος Παῦλος οὕτως ἐποίει, νῦν μὲν λέγων, «οὐ μόνον δέ, ἀλλὰ καὶ καυχώμεθα ἐν ταῖς θλίψεσι», νῦν δέ, ὅτι «χαίρω ἐν τοῖς παθήμασί μου». Ὅσῳ γὰρ ἂν μείζων καὶ τραχύτερος ὁ χειμὼν γένηται, τοσούτῳ πλείων ἡ ἐμπορία, λαμπρότεροι τῆς ὑπομονῆς οἱ στέφανοι, πολλὰ τὰ βραβεῖα. Ἐπεὶ καὶ αὐτὸς σοῦ μὲν ἕνεκεν θαρρῶ· οἶδα γάρ σου τὸ ἀπερίτρεπτον καὶ ἀκλινὲς καὶ στερρόν· τῶν δὲ ἐπιβουλευόντων ἕνεκεν ἀλγῶ καὶ δακρύω, ὅτι οὓς χρὴ ἐν τάξει εἶναι τῶν θεραπευόντων, τὰ τῶν ἐχθρῶν ἐπιδείκνυνται. Ἕν με λυπεῖ μόνον, τὸ τῆς τῶν ὀφθαλμῶν σου ἀσθενείας, ὧν καὶ σφόδρα ἀξιῶ πολύν σε ποιεῖσθαι λόγον, ἰατροῖς τε διαλεγόμενον καὶ τὰ παρὰ σαυτοῦ συνεισφέροντα. Ὡς τῶν γε θλίψεων τῶν ἐπαγομένων σοι (ὅπερ καὶ ἔμπροσθεν εἶπον), αὐτόν τε χαίρειν ἀξιῶ, καὶ ἐγὼ δέ σοι συνήδομαι. Οἶδα γὰρ ὅσος ἐκ τούτου τίκτεταί σοι τῆς ὑπομονῆς ὁ καρπός. Μηδὲν οὖν σε θορυβείτω, μηδὲ ταραττέτω τῶν παρεμπιπτόντων. Ἕν γάρ ἐστι χαλεπόν, ἁμαρτία μόνον. Ὡς τά γε ἄλλα πάντα ἀγρυπνοῦντί σοι καὶ νήφοντι καὶ κερδῶν ὑπόθεσις ἔσται μεγίστη, καὶ τὰ ἀπόρρητα ἐκεῖνα ἀγαθά, τὰ ἐν τοῖς οὐρανοῖς, μετὰ πολλῆς οἴσει σοι τῆς δαψιλείας.

Τοιαύτην τοίνυν καθ᾽ ἑκάστην ἡμέραν πραγματευόμενος πραγματείαν, χαῖρε καὶ εὐφραίνου καὶ συνεχῶς ἡμῖν ἐπιστέλλειν μὴ κατόκνει. Ἡμεῖς μὲν γάρ σε βουλόμεθα καὶ μεθ᾽ ἡμῶν εἶναι, ἀλλ᾽ ἐπειδὴ οὐχ ἡ τοῦ χειμῶνος ὥρα μόνον, ἀλλὰ καὶ ἡ τοῦ θέρους ὁμοίως ἐστὶν ἐπαχθής, ἐδείσαμεν εἰς ἀέρων σε δυσκρασίαν ἐμβαλεῖν, μάλιστα διὰ τὸ τῶν ὀφθαλμῶν πάθος. Ἔργον τοίνυν ποιησάμενος τὸ πολλὴν τούτοις προσάγειν τὴν ἐπιμέλειαν, καὶ περὶ τούτων, ἡνίκα ἂν συνεχῶς ἡμῖν ἐπιστέλλῃς, δήλου, εἴγε κἂν μικρὸν ἄμεινόν σοι διατεθεῖεν, ἵνα, καὶ ἐκ τοσούτου καθήμενοι διαστήματος, πολλὴν καὶ ἐντεῦθεν καρπωσώμεθα τὴν εὐφροσύνην.

---

1. *Ρωμ.* 5,3.
2. *Κολ.* 1,24.

νες καὶ γι' αὐτὸ πονᾶς; 'Αλλὰ γι' αὐτὸ πρέπει νὰ χαίρεσαι καὶ νὰ σκιρτᾶς. Γιατὶ καὶ ὁ μακάριος Παῦλος ἔκαμε τὸ ἴδιο, λέγοντας ἄλλοτε, «καὶ ὄχι μόνο αὐτό, ἀλλὰ καυχιόμαστε ἀκόμα καὶ στὶς δοκιμασίες»[1], καὶ ἄλλοτε, «χαίρομαι γιὰ τὰ παθήματά μου»[2]. Γιατὶ ὅσο πιὸ μεγαλύτερη καὶ σκληρότερη εἶναι ἡ θεομηνία, τόσο πιὸ μεγάλη γίνεται καὶ ἡ ἐπιχείρηση, πιὸ λαμπρὰ τὰ στεφάνια τῆς ὑπομονῆς καὶ πολλὰ τὰ βραβεῖα. 'Αλλὰ κι ἐγώ, σὲ σένα βέβαια ἔχω ἐμπιστοσύνη, ἐπειδὴ γνωρίζω ὅτι εἶσαι ἀμετάβλητος, ἀμετακίνητος καὶ σταθερός, πονῶ ὅμως καὶ χύνω δάκρυα γι' αὐτοὺς ποὺ μηχανορραφοῦν, διότι, αὐτοὶ ποὺ ἔπρεπε νὰ βρίσκονται στὴ θέση τῶν γιατρῶν, δείχνουν διαγωγὴ ἐχθρική. Ἕνα μόνο πρᾶγμα μὲ κάνει νὰ λυπᾶμαι, ἡ ἀρρώστια τῶν ματιῶν σου, γιὰ τὰ ὁποῖα καὶ ἀπαιτῶ νὰ ἐνδιαφερθεῖς πολύ, συζητώντας μὲ γιατροὺς καὶ κάνοντας ὅ,τι ἐξαρτᾶται ἀπὸ σένα. Ὅσο γιὰ τὶς δοκιμασίες ποὺ σὲ βρίσκουν, ὅπως εἶπα καὶ πιὸ πρίν, καὶ σὺ ἔχω τὴν ἀξίωση νὰ χαίρεσαι καὶ ἐγὼ χαίρομαι μαζί σου. Γιατὶ γνωρίζω πόση ἀνταμοιβὴ σοῦ ἑτοιμάζεται γιὰ τὴν ὑπομονὴ αὐτή. Τίποτε λοιπὸν ἀπὸ ὅσα συμβαίνουν νὰ μὴ σὲ στενοχωρεῖ οὔτε νὰ σὲ ταράζει. Ἕνα μόνο πρᾶγμα εἶναι φοβερό, ἡ ἁμαρτία[3]. Ὡς πρὸς ὅλα τὰ ἄλλα, ἐὰν ἐπαγρυπνεῖς καὶ εἶσαι προσεκτικός, θὰ ἀποτελέσουν μεγάλη προϋπόθεση κερδῶν καὶ θὰ σοῦ φέρουν τὰ ἀπερίγραπτα ἐκεῖνα ἀγαθὰ τῶν οὐρανῶν μὲ μεγάλη ἀφθονία.

'Αντιμετωπίζοντας λοιπὸν καθημερινὰ τέτοιον ἀγώνα, νὰ χαίρεσαι καὶ νὰ εὐφραίνεσαι καὶ νὰ μὴ ἀμελεῖς νὰ μοῦ γράφεις συνεχῶς. Ἐγὼ βέβαια θέλω νὰ βρίσκεσαι μαζί μου, ἐπειδὴ ὅμως ὄχι μόνο ἡ χειμερινὴ ἐποχὴ ἀλλὰ καὶ ἡ θερινὴ εἶναι ἐξίσου δυσάρεστη, φοβήθηκα νὰ σὲ ἐκθέσω στὴν τραχύτητα τῶν ἀνέμων, ἰδιαίτερα μάλιστα λόγω τῆς παθήσεως τῶν ματιῶν σου. Γι' αὐτό, κάνοντας ἔργο σου τὸ νὰ τὰ φροντίζεις πάρα πολύ, καθὼς θὰ μοῦ γράφεις συνεχῶς, νὰ μοῦ ἀναφέρεις καὶ γι' αὐτά, ὅταν παρουσιάσουν καὶ τὴν παραμικρὴ βελτίωση, γιὰ νὰ νοιώσω καὶ ἀπὸ αὐτὸ μεγάλη χαρά, ἔστω κι ἂν βρίσκομαι τόσο μακριά.

---

3. Ἡ ἁμαρτία εἶναι τὸ μόνο πρᾶγμα ποὺ θεωρεῖ ὁ Χρυσόστομος φοβερό. Ἐνῶ ὅλα τὰ ἄλλα δεινὰ καὶ οἱ δοκιμασίες τῆς ζωῆς εἶναι πρόσκαιρα καὶ ἀποτελοῦν εὐκαιρίες γιὰ νὰ δοκιμασθεῖ ἡ πίστη μας καὶ νὰ λάμψει ἡ ἀρετή μας.

ΡΓ'

ΑΜΠΡΟΥΚΛΗι ΔΙΑΚΟΝΩι ΚΑΙ ΤΑΙΣ ΣΥΝ ΑΥΤΗι

Μακρῷ μὲν διῴκισμαι τῷ μήκει τῆς ὁδοῦ τῆς ὑμετέρας τιμιότητος, τὰς δὲ ἀνδραγαθίας ὑμῶν καὶ τὰς ἀριστείας τῶν παρόντων οὐκ ἔλαττον ἔμαθον, καὶ σφόδρα συνήσθην ὑμῖν τῆς ἀνδρείας, τῆς ὑπομονῆς, τῆς ἀπεριτρέπτου γνώμης καὶ στερρᾶς καὶ ἀδαμαντίνης διανοίας, τῆς ἐλευθεροστομίας, τῆς παρρησίας. Διὰ ταῦτα μακαρίζων ὑμᾶς οὐ παύομαι ὑπέρ τε τῶν παρόντων, ὑπέρ τε τῶν μελλόντων ὑμᾶς ὑποδέξασθαι ἀγαθῶν ἐν τῷ μέλλοντι αἰῶνι, τῶν ἀπορρήτων ἐκείνων καὶ πάντα νοῦν καὶ λόγον ὑπερβαινόντων.

Σφόδρα δὲ ἡμᾶς ἐλύπησας ἐκ τοσούτου καθημένους διαστήματος, οὐδὲ ἐπιστεῖλαι καταδεξαμένη. Καὶ οἶδα μὲν ὅτι οὐκ ἐκ ῥᾳθυμίας τοῦτο γέγονεν (ἐπίσταμαι γὰρ καὶ γραφούσης ἡμῖν καὶ σιγώσης, τὴν θερμὴν καὶ γνησίαν ἀγάπην, τὴν εἰλικρινῆ καὶ ἄδολον, τὴν ἰσχυρὰν καὶ στερράν), ἀλλὰ διὰ τὸ μηδένα εἶναι τὸν ὑπογράφοντα. Πλὴν ἀλλὰ καὶ οὕτως ἐχρῆν τῇ ἐγχωρίῳ σου γλώττῃ ἡμῖν ἐπιστεῖλαι καὶ τῇ χειρὶ τῇ σῇ. Σφόδρα γὰρ ἀντεχόμεθα, καθάπερ καὶ αὐτὴ οἶσθα, τοῦ συνεχῶς ἐπιστολὰς δέχεσθαι παρὰ τῆς εὐλαβείας τῆς σῆς, ὥστε καθ' ἑκάστην ἡμέραν μανθάνειν ἡμᾶς τὰ περὶ τῆς ὑγείας τῆς σῆς, καὶ οὐ μικρὰν τῆς τοσαύτης ἐρημίας καὶ τῶν ἐνταῦθα περιστάσεων παράκλησιν ταύτην ἔχομεν.

Εἰδυῖα τοίνυν, δέσποινά μου τιμιωτάτη καὶ εὐλαβεστάτη, ὅσην ἐπιθυμίαν ἔχομεν τούτου, μὴ διαλίπῃς τὴν καλὴν ταύτην ἡμῖν χαριζομένη χάριν. Καὶ γὰρ πολλοὶ πολλαχόθεν ἐκεῖθεν ἦλθον. 'Αλλ' οὐκ ἐγκαλῶ ἐκείνων ἕνεκεν, διὰ τί μὴ γράμματα ἡμῖν ἐκόμισαν παρὰ τῆς σῆς κοσμιότητος· εἰκὸς γὰρ αὐτοὺς ἀγνοεῖσθαι παρὰ τῆς εὐλαβείας τῆς σῆς. Νῦν μέντοι ὅτε ἐξῆν μετ' εὐκολίας πάσης ἐπιστεῖλαι, καὶ μάλιστα τοιούτων γεγενημένων αὐτόθι, σφόδρα ἐπεθύμουν δέξασθαι γράμματα. 'Ανάκτησαι τοίνυν τὸ ἐν τῷ παρελθόντι χρόνῳ ῥᾳθυμηθέν, καὶ πυκνότητι καὶ νιφάδι ἐπιστολῶν τὸ μῆκος τῆς ἔμπροσθεν ἡμῖν παραμύθησαι σιγῆς.

---

1 'Αναφορὰ στὸ *Α' Κορ.* 2,9· «ἃ ὀφθαλμὸς οὐκ οἶδε καὶ οὖς οὐκ ἤκουσε καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν».

2. Φαίνεται ὅτι ἡ διακόνισσα 'Αμπρούκλα (ὅπως ἄλλωστε δείχνει καὶ τὸ όνο-

103

ΣΤΗ ΔΙΑΚΟΝΙΣΣΑ ΑΜΠΡΟΥΚΛΗ ΚΑΙ ΤΙΣ ΜΑΖΙ Μ' ΑΥΤΗΝ

Διαμένω βέβαια πολὺ μακριὰ ἀπὸ τὴ ἐντιμότητά σου, τὶς ἀνδραγαθίες ὅμως καὶ τὰ κατορθώματά σας δὲν τὰ ἔμαθα λιγότερο ἀπὸ ἐκείνους ποὺ εἶναι παρόντες καὶ πάρα πολὺ εὐχαριστήθηκα μαζί σας γιὰ τὴν ἀνδρεία σας, τὴν ὑπομονή, τὴν ἀμετάβλητη γνώμη καὶ τὴ σταθερὴ καὶ ἀδαμάντινη διάνοια, τὴν εἰλικρίνεια καὶ τὸ θάρρος. Γι' αὐτὸ δὲν παύω νὰ σᾶς μακαρίζω καὶ γιὰ τὰ τωρινὰ ἀγαθὰ καὶ γιὰ ὅσα πρόκειται νὰ δεχθεῖτε στὸ μέλλοντα αἰώνα, ἐκεῖνα τὰ ἀπερίγραπτα ποὺ ξεπερνοῦν κάθε ἀνθρώπινη σκέψη καὶ λόγο[1].

Μὲ λύπησες πάρα πολὺ πού, ἐνῶ βρίσκομαι τόσο μακριά, οὔτε νὰ μοῦ γράψεις καταδέχτηκες. Καὶ γνωρίζω βέβαια ὅτι αὐτὸ δὲν ἔγινε ἀπὸ ὀκνηρία (γιατὶ ξέρω πολὺ καλά, εἴτε μοῦ γράφεις εἴτε σιωπᾶς, τὴ θερμὴ καὶ γνήσια, τὴν εἰλικρινῆ καὶ ἄδολη, τὴ δυνατὴ καὶ σταθερὴ ἀγάπη σου), ἀλλ' ἐπειδὴ δὲν ὑπάρχει κάποιος νὰ τὸ γράψει. Ἔπρεπε ὅμως καὶ σ' αὐτὴ τὴν περίπτωση νὰ μοῦ γράψεις μὲ τὴν τοπική σου γλώσσα καὶ μὲ τὸ χέρι τὸ δικό σου[2]. Γιατί, ὅπως ξέρεις καὶ ἡ ἴδια, μὲ ἐνδιαφέρει πάρα πολὺ νὰ δέχομαι συνεχῶς γράμματα ἀπὸ τὴν εὐλάβειά σου, γιὰ νὰ μαθαίνω κάθε μέρα γιὰ τὴν ὑγεία σου. Καὶ εἶναι αὐτὸ γιὰ μένα μεγάλη παρηγοριὰ μέσα στὴν τόση ἐρημιὰ καὶ τὶς ἐδῶ καταστάσεις.

Γνωρίζοντας λοιπόν, ἐντιμότατη καὶ εὐλαβέστατη κυρία μου, πόσο τὸ ἐπιθυμῶ αὐτό, μὴ παραλείπεις νὰ μοῦ κάνεις αὐτὴ τὴν καλὴ χάρη. Ἄλλωστε πολλοὶ ἦρθαν ἀπὸ ἐκεῖ κατὰ διάφορα διαστήματα. Ἀλλὰ δὲν σὲ κατηγορῶ ἐξαιτίας ἐκείνων, ἐπειδὴ δὲν μοῦ ἔφεραν γράμματα ἀπὸ τὴ σεμνότητά σου· γιατὶ εἶναι φυσικὸ νὰ μὴ τοὺς γνωρίζει ἡ εὐλάβειά σου. Τώρα ὅμως ποὺ εἶναι δυνατὸ μὲ κάθε εὐκολία νὰ μοῦ γράψεις, τὴ στιγμὴ μάλιστα ποὺ τόσοι ἦρθαν ἐκεῖ, ἐπιθυμῶ πάρα πολὺ νὰ δεχθῶ γράμματα. Ἀπομάκρυνε λοιπὸν τὴν κατὰ τὸ παρελθὸν ραθυμία καὶ μὲ τὴ συχνότητα καὶ τὰ ἀλλεπάλληλα γράμματά σου ἀποζημίωσέ μου γιὰ τὴν προηγούμενη μακρὰ σιωπή σου.

μά της) δὲν ἦταν ἑλληνικῆς καταγωγῆς καὶ κατάφευγε σὲ ἄλλους νὰ τῆς γράψουν τὶς ἐπιστολές της.

ΡΔ'

ΠΕΝΤΑΔΙΑι ΔΙΑΚΟΝΩι

Τῶν μὲν στεφάνων σε μακαρίζω, οὓς ἀνεδήσω καὶ νῦν, διὰ τῆς ἀνδρείας πάντα ἑλομένη παθεῖν ὑπὲρ τῆς ἀληθείας. Διὰ τοῦτο καὶ τὸν Θεὸν ὑπερασπίζοντά σου ἔχεις μετὰ πολλῆς τῆς σφοδρότητος. «Ἕως γὰρ θανάτου», φησίν, «ἀγώνισαι ὑπὲρ τῆς ἀληθείας, καὶ ὁ Κύριος πολεμήσει ὑπὲρ σοῦ», ὅπερ καὶ γέγονε. Μέχρι γὰρ τοσούτου δραμοῦσα τὸν καλὸν τοῦτον ἀγῶνα, πολλὰ ἄνωθεν ἐπεσπάσω τὰ βραβεῖα· τούτου μὲν οὖν ἕνεκεν χαίρω. Ἐπειδὴ δὲ ἔγνων, ὅτι βουλεύῃ περὶ ἀποδημίας καὶ μεταστῆναι ἐκεῖθεν βούλει, παρακαλῶ σου τὴν τιμιότητα μηδὲν τοιοῦτον ἐννοῆσαι μηδὲ βουλεύσασθαι. Πρῶτον μὲν δι' αὐτὸ τοῦτο, ὅτι δὴ στήριγμα τῆς πόλεως εἶ τῆς αὐτόθι καὶ λιμὴν εὐρὺς καὶ βακτηρία καὶ τεῖχος ἀσφαλὲς τοῖς καταπονουμένοις. Μηδὲ τοσαύτην ἀπὸ τῶν χειρῶν ἐμπορίαν ῥίψῃς, μηδὲ τοσοῦτον πρόῃ κέρδος, τοσούτους καθ' ἑκάστην ἡμέραν συνάγουσα θησαυροὺς ἀπὸ τῆς παρουσίας τῆς αὐτόθι. Οἵ τε γὰρ ὁρῶντες, οἵ τε ἀκούοντές σου τὰ κατορθώματα, οὐ μικρὰ κερδαίνουσιν. Οἶσθα δὲ ἡλίκον τοῦτο φέρει σοι τὸν μισθόν.

Πρῶτον μέν, ὅπερ ἔφην, διὰ τοῦτο παρακαλοῦμεν αὐτόθι μένειν· καὶ γὰρ πεῖραν οὐ μικρὰν δέδωκας τῆς ὠφελείας, ἣν παρέσχες διὰ τῆς αὐτόθι παραμονῆς. Ἔπειτα δὲ οὐδὲ ἡ τοῦ ἔτους ὥρα ἐπιτρέπει τοῦτο. Οἶσθα γάρ σου τοῦ σώματος τὴν ἀσθένειαν καὶ πῶς οὐ ῥᾴδιόν σοι κινεῖσθαι ἐν κρυμῷ τοσούτῳ καὶ χειμῶνι. Πρὸς τούτοις, ὡς ἀκούομεν, καὶ τὰ ἰσαυρικὰ ἀνθεῖ.

Πάντα τοίνυν ταῦτα λογισαμένη ὡς συνετή, μηδαμοῦ τέως κινεῖσθαι καταδέχου, καὶ περὶ τούτου γράψαι ἡμῖν διὰ ταχέων παρακλήθητι, καὶ περὶ τῆς ὑγείας συνεχῶς δήλου τῆς σῆς. Ἐπεὶ καὶ νῦν ἠλγήσαμεν, μὴ δεξάμενοι γράμματά σου τῆς τιμιότητος, καὶ ἐν φροντίδι καθεστήκαμεν, μήποτε ἀρρωστία τοῦτο διεκώλυσεν. Ἵν' οὖν καὶ ταύτην ἀνέλῃς ἡμῶν τὴν φροντίδα, ταχέως ἡμῖν πέμψον ἐπιστολὴν ταῦτα δηλοῦσαν.

---

1. *Σοφία Σειράχ* 4,28.

104

ΣΤΗ ΔΙΑΚΟΝΙΣΣΑ ΠΕΝΤΑΔΙΑ

Σὲ μακαρίζω βέβαια γιὰ τὰ στεφάνια μὲ τὰ ὁποῖα τώρα στόλισες τὸ κεφάλι σου, προτιμώντας πάντοτε μὲ ἀνδρεία νὰ ὑποφέρεις γιὰ τὴν ἀλήθεια. Γι' αὐτὸ καὶ ἔχεις ὑπερασπιστή σου τὸ Θεό, ποὺ σὲ ὑπερασπίζεται μὲ πολλὴ δύναμη, γιατὶ λέει· «μέχρι τὴν τελευταία σου ἀναπνοὴ νὰ ἀγωνίζεσαι γιὰ τὴν ἀλήθεια καὶ ὁ Κύριος θὰ πολεμήσει μὲ τὸ μέρος σου»[1], πρᾶγμα ποὺ ἔγινε. Γιατί, ἀφοῦ διήνυσες μέχρις αὐτοῦ τοῦ σημείου τὸν ἀγώνα αὐτὸν τὸν καλό, κέρδισες πολλὰ οὐράνια βραβεῖα. Ἐξαιτίας αὐτοῦ λοιπὸν χαίρομαι. Ἐπειδὴ ὅμως ἔμαθα ὅτι σκέφτεσαι γιὰ ἀποδημία καὶ θέλεις νὰ μετοικήσεις ἀπὸ ἐκεῖ, παρακαλῶ τὴν ἐντιμότητά σου νὰ μὴ ἔχει στὸ νοῦ οὔτε νὰ σκέφτεται τίποτε τέτοιο. Πρῶτον βέβαια γι' αὐτὸ ἀκριβῶς, ἐπειδὴ εἶσαι στήριγμα τῆς πόλεως ἐκεῖ καὶ εὐρὺ λιμάνι καὶ βακτηρία καὶ ἀσφαλὲς τεῖχος γιὰ τοὺς κουρασμένους. Οὔτε νὰ πετάξεις ἀπὸ τὰ χέρια σου μιὰ τόσο μεγάλη ἐμπορία, οὔτε νὰ ἀντιπαρέλθεις τόσο μεγάλο κέρδος, ἀφοῦ κάθε μέρα συνάγεις τόσο πολλοὺς θησαυροὺς ἀπὸ τὴν παρουσία σου ἐκεῖ. Γιατὶ καὶ αὐτοὶ ποὺ βλέπουν καὶ αὐτοὶ ποὺ ἀκοῦνε τὰ κατορθώματά σου δὲν κερδίζουν λίγα. Καὶ γνωρίζεις πόση ἀμοιβὴ σοῦ φέρνει αὐτό.

Πρῶτον λοιπόν, ὅπως εἶπα, γι' αὐτὸ σὲ παρακαλῶ νὰ μείνεις ἐκεῖ. Γιατὶ ἔχεις δώσει μεγάλο δεῖγμα τῆς ὠφέλειας ποὺ πρόσφερες μὲ τὴν ἐκεῖ παραμονή σου. Ἔπειτα καὶ ἡ ἐποχὴ τοῦ ἔτους δὲν τὸ ἐπιτρέπει αὐτό. Γνωρίζεις ἄλλωστε τὴν ἀσθένεια τοῦ σώματός σου καὶ ὅτι δὲν σοῦ εἶναι εὔκολο νὰ μετακινεῖσαι μὲ τόσο κρύο καὶ βαρυχειμωνιά. Κοντὰ στὰ ἄλλα, ὅπως ἀκοῦμε, βρίσκονται σὲ ἀκμὴ τὰ ἰσαυρικὰ γεγονότα.

Ἀφοῦ λοιπὸν σκεφθεῖς ὅλα αὐτά, σὰν συνετὴ ποὺ εἶσαι, μὴ δέχεσαι πρὸς τὸ παρὸν νὰ μετακινηθεῖς πουθενά, καὶ σὲ παρακαλῶ νὰ μοῦ γράψεις γι' αὐτὸ ὅσο γίνεται γρηγορότερα καὶ νὰ μοῦ ἀναφέρεις συνεχῶς γιὰ τὴν ὑγεία σου, γιατὶ καὶ τώρα πόνεσα ποὺ δὲν πῆρα γράμματα τῆς ἐντιμότητάς σου καὶ ἀνησύχησα μήπως ἀρρώστια σὲ ἐμπόδισε νὰ γράψεις. Γιὰ νὰ μοῦ διώξεις λοιπὸν αὐτὴ τὴν ἀγωνία, στεῖλε μου γρήγορα ἐπιστολὴ ποὺ νὰ μοῦ ἀναφέρει ὅλα αὐτά.

ΡΕ'

ΧΑΛΚΙΔΙΑ[1]

Ὁ Θεός σοι τὸν μισθὸν δῴη καὶ ἐνταῦθα καὶ ἐν τῷ μέλλοντι αἰῶνι τῆς περὶ ἡμᾶς αἰδοῦς καὶ τιμῆς καὶ γνησίας ἀγάπης. Οὐδὲ γαρ νῦν μόνον, ἀλλὰ καὶ ἄνωθεν καὶ ἐξ ἀρχῆς οἶδα σαφῶς, ὅπως περὶ ἡμᾶς διατεθῆναι ἐσπούδακας. Διὰ τοῦτο καὶ ἐκ τοσούτου καθήμενος διαστήματος καὶ πολλῷ τῆς ὁδοῦ εἰργόμενος τῷ μέσῳ καὶ ἐν πολλαῖς ὢν ἐνταῦθα θλίψεσι, διά τε τὴν ἐρημίαν τοῦ χωρίου τούτου, διά τε τοὺς συνεχεῖς κινδύνους καὶ τὰς ἐπαλλήλους τῶν λῃστῶν ἐφόδους, διά τε τὴν ἰατρῶν σπάνιν, οὐδενὶ τούτων κωλύομαι μεμνῆσθαί σου διηνεκῶς τῆς ἐμμελείας, ἀλλὰ τὴν ἀγάπην, ἣν ἐξ ἀρχῆς καὶ περὶ σὲ καὶ περὶ τὸν οἶκόν σου ἔσχηκα, ταύτην ἀκμάζουσαν διατηρῶ καὶ νῦν, οὐδὲν οὐδὲ ἀπὸ τοῦ χρόνου, οὐδὲ ἀπὸ τοῦ μήκους τῆς ὁδοῦ μαραίνεσθαι αὐτὴν ἀφείς. Τοιοῦτον γάρ ἐστι τὸ ἀγαπᾶν γνησίως.

Καί σε παρακαλῶ κατὰ τὴν σύνεσίν σου καὶ τὴν εὐλάβειαν, φέρειν τὰ συμπίπτοντα ἅπαντα γενναίως. Οἶσθα γὰρ ὅτι ἐκ πρώτης ἡλικίας μέχρι τοῦ νῦν διὰ ποικίλων καὶ παντοδαπῶν σχεδὸν ὥδευσας πειρασμῶν, καὶ δύνασαι μετ' εὐκολίας τὸν τῆς ὑπομονῆς ἆθλον ἀγωνίζεσθαι, ὥσπερ οὖν καὶ ἠγωνίσω πολλάκις καὶ λαμπροὺς ὑπὲρ τούτων σεαυτῇ προαπέθου τοὺς στεφάνους. Εἰ δὲ μείζων οὗτος τῶν παρελθόντων, ἀλλὰ καὶ ὁ στέφανος πλείων. Μηδὲν οὖν σε ταραττέτω τῶν ἐπαγομένων δεινῶν, ἀλλ' ὅσῳπερ ἂν αὔξηται τὰ κύματα καὶ μεῖζον γένηται τὸ κλυδώνιον, τοσούτῳ μείζονα ἀνάμενε τὴν ἐμπορίαν καὶ πολλῷ πλείονα τὰ ἔπαθλα τῶν ἱδρώτων καὶ μείζονα καὶ λαμπρότερα. «Οὐ γὰρ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλύπτεσθαι εἰς ἡμᾶς». Ὁδὸς γὰρ τὰ παρόντα, καὶ τὰ χρηστὰ καὶ τὰ λυπηρὰ τοῦ βίου τούτου, καὶ ἑκάτερα ὁμοίως παροδεύεται καὶ οὐδὲν αὐτῶν πάγιον, οὐδὲ βεβηκός, ἀλλὰ μιμεῖται τὴν φύσιν, ὁμοῦ τε φαινόμενα καὶ παρατρέχοντα.

---

1. *Ρωμ.* 8,18.
2. Ὅπως καὶ σὲ ἄλλες περιπτώσεις, ἔτσι καὶ ἐδῶ ὁ Χρυσόστομος προσπαθεῖ νὰ τονώσει τὴν ἀγωνιστικὴ διάθεση τῆς Χαλκιδίας, τονίζοντας μὲ ἔμφαση ὅτι τόσο τὰ εὐχάριστα ὅσο καὶ τὰ δυσάρεστα τῆς ζωῆς εἶναι πρόσκαιρα καὶ παρέρχονται.

105

ΣΤΗ ΧΑΛΚΙΔΙΑ

Εἴθε ὁ Θεὸς νὰ σοῦ δώσει τὴν ἀμοιβὴ καὶ ἐδῶ καὶ στὸν μέλλοντα αἰώνα γιὰ τὸ σεβασμό σου πρὸς ἐμένα καὶ τὴν ἐκτίμηση καὶ τὴ γνήσια ἀγάπη. Γιατὶ ὄχι μόνο τώρα, ἀλλὰ καὶ πρὶν καὶ ἀπὸ τὴν ἀρχὴ γνωρίζω καλά, ποιά συμπεριφορὰ φρόντισες νὰ ἔχεις πρὸς ἐμένα. Γι' αὐτό, ἂν καὶ βρίσκομαι σὲ τόση ἀπόσταση καὶ ἐμποδίζομαι ἀπὸ τὸν πολὺν δρόμο ποὺ μεσολαβεῖ καὶ εἶμαι μέσα σὲ πολλὲς ἐδῶ στενοχώριες, ἐξαιτίας καὶ τῆς ἐρημιᾶς τοῦ χωριοῦ αὐτοῦ καὶ τῶν συνεχῶν κινδύνων καὶ τῶν ἀλλεπάλληλων ἐπιθέσεων τῶν ληστῶν, ἀλλὰ καὶ ἐξαιτίας τῆς ἔλλειψης γιατρῶν, ἀπὸ τίποτε ἀπ' ὅλα αὐτὰ δὲν ἐμποδίζομαι νὰ θυμᾶμαι διαρκῶς τὴν χάρη σου καὶ νὰ διατηρῶ καὶ τώρα ἀμείωτη τὴν ἀγάπη ποὺ ἀπὸ τὴ ἀρχὴ εἶχα γιὰ σένα καὶ γιὰ τὸ σπίτι σου, χωρὶς νὰ τὴν ἀφήνω νὰ μαραθεῖ οὔτε ἀπὸ τὸ χρόνο, οὔτε ἀπὸ τὴν ἀπόσταση τοῦ δρόμου. Γιατὶ τέτοιο πρᾶγμα εἶναι ἡ γνήσια ἀγάπη.

Σὲ παρακαλῶ λοιπόν, μὲ τὴ φρόνηση καὶ τὴν εὐλάβεια ποὺ σὲ διακρίνει, νὰ ὑποφέρεις μὲ γενναιότητα ὅσα συμβαίνουν. Γιατὶ γνωρίζεις ὅτι ἀπὸ τὴν πρώτη ἡλικία μέχρι τώρα πέρασες σχεδὸν μέσα ἀπὸ ποικίλες καὶ διάφορες δοκιμασίες καὶ μπορεῖς μὲ εὐκολία νὰ ἀντιμετωπίζεις τὸν ἀγώνα τῆς ὑπομονῆς, ὅπως ἄλλωστε ἀγωνίστηκες ἤδη πολλὲς φορὲς καὶ ἔχεις ἐξασφαλίσει λαμπρὰ στεφάνια γιὰ τὸν ἑαυτό σου. Ἐὰν ὅμως ὁ ἀγώνας αὐτὸς εἶναι μεγαλύτερος ἀπὸ τοὺς προηγούμενους, εἶναι καὶ τὸ στεφάνι μεγαλύτερο. Ἂς μὴ σὲ τρομάζει λοιπὸν κανένα ἀπὸ τὰ ἐπερχόμενα δεινά, ἀλλά, ὅσο καὶ ἂν αὐξάνονται τὰ κύματα καὶ γίνεται μεγαλύτερη ἡ θαλασσοταραχή, τόσο μεγαλύτερη περίμενε τὴν ἐμπορία καὶ πολὺ περισσότερα τὰ βραβεῖα τῶν ἱδρώτων σου καὶ μεγαλύτερα καὶ λαμπρότερα· καθόσον «τὰ τωρινὰ παθήματα δὲν εἶναι ἰσάξια πρὸς τὴ δόξα ποὺ πρόκειται νὰ φανερωθεῖ σὲ μᾶς»[1]. Γιατὶ τὰ παρόντα εἶναι δρόμος, καὶ τὰ καλὰ καὶ τὰ δυσάρεστα αὐτῆς τῆς ζωῆς, καὶ τὰ δύο μὲ ὅμοιο τρόπο παρέρχονται καὶ τίποτε ἀπὸ αὐτὰ δὲν εἶναι σταθερό, οὔτε μόνιμο, ἀλλὰ μιμοῦνται τὴ φύση, κάνουν τὴν ἐμφάνισή τους καὶ συγχρόνως παρέρχονται[2].

Καθάπερ οὖν ὁδῖται καὶ ὁδοιπόροι ἄν τε διὰ λειμώνων ὁδεύωσιν, ἄν τε διὰ φαράγγων, οὐδεμίαν οὐδὲ ἐντεῦθεν καρποῦνται τὴν ἡδονήν, οὐδὲ ἐκεῖθεν ὑπομένουσι λύπην (ὁδῖται γάρ εἰσιν, οὐχὶ πολῖται, ἑκάτερα παρατρέχοντες, καὶ πρὸς τὴν πατρίδα τὴν ἑαυτῶν ἐπειγόμενοι), οὕτω παρακαλῶ καὶ ὑμᾶς μήτε πρὸς τὰ φαιδρὰ τοῦ παρόντος κεχηνέναι βίου, μήτε ὑπὸ τῶν λυπηρῶν καταβαπτίζεσθαι, ἀλλ' ἓν μόνον σκοπεῖν, ὅπως εἰς τὴν κοινὴν ἁπάντων ἡμῶν πατρίδα μετὰ πολλῆς παραγένησθε τῆς παρρησίας. Ἐπειδήπερ τοῦτό ἐστι τὸ μόνον καὶ πεπηγὸς καὶ ἀθάνατον ἀγαθόν, τὰ δὲ ἄλλα πάντα ἄνθος χόρτου καὶ καπνὸς καὶ εἴ τι τούτων εὐτελέστερον.

PS'

ΑΣΥΓΚΡΙΤΙΑι ΚΑΙ ΤΑΙΣ ΣΥΝ ΑΥΤΗι

Οἶδα τὴν ἀγάπην ὑμῶν καὶ τὴν διάθεσιν ἣν περὶ ἡμᾶς ἔχειν ἐσπουδάκατε, καὶ συνεχῶς ἐβουλόμην ἐπιστέλλειν, ἀλλ' ὁ τῶν Ἰσαύρων φόβος, πᾶσαν ἀποτειχίσας ὁδόν, οὐκ ἀφίησιν εὐπορεῖν τῶν πρὸς τοῦτο διακονησομένων ἡμῖν. Ἡνίκα γοῦν ἂν ἐπιτύχωμεν τούτων, τὴν ὀφειλομένην ἀποδιδόαμεν ὑμῖν πρόσρησιν, τὰ συνήθη παρακαλοῦντες ὑμᾶς, μηδὲν θορυβεῖσθαι μηδὲ ταράττεσθαι ὑπὸ τῶν συνεχῶν τούτων καὶ ἐπαλλήλων πειρασμῶν. Εἰ γὰρ ἔμποροι καὶ ναῦται φορτίων ὀλίγων ἕνεκεν οὕτω μακρὰ διαβαίνουσι πελάγη καὶ τοσούτων κατατολμῶσι κυμάτων, καὶ στρατιῶται δὲ καὶ αὐτῆς καταφρονοῦσι τῆς ζωῆς ὑπὲρ ἐπικήρου καὶ βραχέος μισθοῦ, καὶ ζῶντες μὲν καὶ λιμῷ μάχονται πολλάκις καὶ ὁδοιπορίαις μακραῖς κατατείνονται καὶ διηνεκῶς ἐπὶ τῆς ἀλλοτρίας διάγουσιν, ὕστερον δὲ καὶ ἄωρον καὶ βίαιον πολλοὶ τούτων ὑπομένουσι θάνατον, οὐδὲν ἐντεῦθεν οὐ μικρόν, οὐ μέγα καρπωσάμενοι, ὅταν οὐράνιος ὁ ἆθλος προκέηται καὶ μετὰ τὴν τελευτὴν μείζων ἡ ἀντίδοσις καὶ πολλῷ

Ὅλοι ἐδῶ στὴ γῆ εἴμαστε ὁδοιπόροι, ποὺ ἐπειγόμαστε νὰ φθάσουμε στὴν ἀληθινὴ καὶ μόνιμη πατρίδα μας μὲ παρρησία. Οἱ εὐχάριστες ἢ δυσάρεστες περιστάσεις, ποὺ συναντᾶμε στὸ δρόμο μας, δὲν πρέπει νὰ μᾶς παρασύρουν. Πρέπει νὰ τὶς προσπερνᾶ-

Ὅπως λοιπὸν οἱ ὁδίτες καὶ οἱ ὁδοιπόροι, εἴτε βαδίζουν μέσα ἀπὸ λιβάδια, εἴτε μέσα ἀπὸ φαράγγια, καμμιὰ εὐχαρίστηση δὲ δοκιμάζουν ἀπὸ τὰ πρῶτα οὔτε ὑποφέρουν στενοχώρια ἀπὸ τὰ δεύτερα, γιατὶ εἶναι ὁδοιπόροι καὶ ὄχι πολίτες, ποὺ καὶ τὰ δύο τὰ προσπερνοῦν καὶ βιάζονται νὰ φθάσουν στὴν πατρίδα τους, ἔτσι παρακαλῶ καὶ σένα οὔτε νὰ θαμπώνεσαι ἀπὸ τὰ εὐχάριστα τῆς ζωῆς αὐτῆς, οὔτε νὰ καταποντίζεσαι ἀπὸ τὶς θλίψεις, ἀλλὰ ἕνα μόνο νὰ ἔχεις γιὰ σκοπό σου, πῶς θὰ φθάσεις στὴν κοινὴ ὅλων μας πατρίδα μὲ πολλὴ παρρησία. Γιατὶ αὐτὸ εἶναι τὸ μόνιμο καὶ σταθερὸ καὶ ἀθάνατο ἀγαθό, ἐνῶ ὅλα τὰ ἄλλα εἶναι ἄνθος χορταριοῦ καὶ καπνὸς καὶ ὅ,τι πιὸ εὐτελὲς ἀπὸ αὐτὰ ὑπάρχει.

106

ΣΤΗΝ ΑΣΥΓΚΡΙΤΙΑ ΚΑΙ ΤΙΣ ΜΑΖΙ ΜΕ ΑΥΤΗΝ

Γνωρίζω τὴν ἀγάπη σας καὶ τὰ αἰσθήματα ποὺ φροντίσατε νὰ ἔχετε γιὰ μένα. Καὶ ἤθελα νὰ σᾶς γράφω συνεχῶς, ἀλλὰ ὁ φόβος τῶν Ἰσαύρων, ποὺ ἀπέκλεισε κάθε δρόμο, δὲν ἀφήνει νὰ περνοῦν εὔκολα ἐκεῖνοι ποὺ θὰ μᾶς ἐξυπηρετήσουν γιὰ τὸ σκοπὸ αὐτό. Ὅποτε λοιπὸν ἐπιτύχω αὐτούς, σᾶς ἀποδίδω τὸν ὀφειλόμενο χαιρετισμὸ καὶ σᾶς παρακαλῶ ὡς συνήθως νὰ μὴ θορυβεῖσθε οὔτε νὰ ταράσσεσθε ἀπὸ τὶς συνεχεῖς καὶ ἀλλεπάλληλες αὐτὲς δοκιμασίες. Γιατί, ἂν οἱ ἔμποροι καὶ οἱ ναῦτες γιὰ λίγα φορτία διασχίζουν τόσο μεγάλα πελάγη καὶ ριψοκινδυνεύουν μὲ τόσα κύματα, καὶ οἱ στρατιῶτες περιφρονοῦν καὶ τὴν ἴδια τὴ ζωή τους γιὰ φθαρτὸ καὶ μικρῆς διάρκειας μισθὸ καί, ἐνῶ ζοῦν, πολεμοῦν πολλὲς φορὲς πεινασμένοι καὶ βασανίζονται μὲ μακρὲς ὁδοιπορίες καὶ ζοῦν διαρκῶς σὲ ξένη χώρα, ἔπειτα ὅμως πολλοὶ ἀπὸ αὐτοὺς ὑφίστανται πρόωρο καὶ βίαιο θάνατο, χωρὶς ἀπὸ αὐτὸ νὰ κερδίσουν τίποτε, οὔτε μικρὸ οὔτε μεγάλο, ὅταν ὑπάρχει οὐράνιο βραβεῖο καὶ μετὰ τὸν θάνατο ἡ ἀνταμοιβὴ εἶναι μεγαλύτερη καὶ κατὰ πολὺ περισσότερη, ποιά συγγνώ-

---

με, ὅπως οἱ ὁδοιπόροι, ἔχοντας στραμμένο τὸ βλέμμα μας στὴν οὐράνια πατρίδα μας. Πρβλ. καὶ τὶς *Ἐπιστολὲς* 102, 117, 118, 174, 196 κ.ἄ.

πλείων, ποίας τεύξονται συγγνώμης οἱ καταμαλακιζόμενοι καὶ μὴ καὶ αὐτῆς καταφρονοῦντες τῆς ζωῆς;

Ταῦτ' οὖν ἅπαντα λογιζομένη, καὶ ὅτι καπνὸς τὰ παρόντα καὶ ὄναρ και πᾶσα εὐημερία ἀνθρωπίνη φύλλων ἠρινῶν οὐδὲν ἄμεινον διάκειται, γινομένων τε ὁμοῦ καὶ μαραινομένων εὐθέως, ὑψηλοτέρα πάντων τῶν τοιούτων γίνου βελῶν. Ἔξεστι γάρ, ἐὰν θέλῃς, καὶ τὴν βιωτικὴν καταπατῆσαι φαντασίαν. Ἓν σκόπει μόνον, ὅπως μετὰ πολλῆς τῆς σπουδῆς τὴν τεθλιμμένην ὁδὸν διανύσαι δυνηθῇς, τὴν πρὸς αὐτὸν ἀνάγουσαν.

ΡΖ'

ΚΑΣΤΩι, ΟΥΑΛΕΡΙΩι, ΔΙΟΦΑΝΤΩι, ΚΑΙ ΚΥΡΙΑΚΩι ΠΡΕΣΒΥΤΕΡΟΙΣ

Ὃ συμβαίνει τῷ χρυσίῳ βασανιζομένῳ πολλάκις ὑπὸ πυρός, τοῦτο καὶ ταῖς χρυσαῖς εἴωθε προσγίνεσθαι ψυχαῖς ὑπὸ τῶν πειρασμῶν. Ἐκείνην τε γὰρ τὴν ὕλην λαμπροτέραν πολλῷ καὶ καθαρωτέραν ἡ τῆς φλογὸς ἀποφαίνει φύσις, ὁμιλοῦσα αὐτῇ χρόνον τοσοῦτον, ὅσον ἂν ὁ τῆς τέχνης ἐπιτρέπει νόμος, τούς τε τῷ χρυσίῳ κατὰ διάνοιαν ἐοικότας ἀνθρώπους, χρυσίου παντὸς φαιδροτέρους καὶ πολυτελεστέρους μετὰ πολλῆς τῆς περιουσίας ἡ τῶν ἐπαλλήλων πειρασμῶν ἐργάζεται κάμινος. Διὰ δὴ τοῦτο, καὶ ἐκ τοσούτου καθήμενοι διαστήματος, οὐ παυόμεθα διηνεκῶς μακαρίζοντες ὑμᾶς. Ἴστε γάρ, ἴστε σαφῶς, ὅσον τῶν τοιούτων ἐπιβουλῶν τὸ κέρδος καὶ πῶς ἡ τοῦ παρόντος εὐημερία βίου ὄνομα μόνον ἐστὶ ψιλόν, πράγματος ἔρημον, τὰ δὲ μέλλοντα ἀγαθά, πεπηγότα, ἀκίνητα μόνιμα, ἀθάνατα. Καὶ οὐ τοῦτο μόνον ἐστὶ τὸ θαῦμα τῆς ἀρετῆς, ὅτι τοιαῦτα ἡμῖν τὰ ἔπαθλα παρέχεται, ἀλλ' ὅτι καὶ πρὸ τῶν ἐπάθλων οἱ ἀγῶνες αὐτῆς ἔπαθλα γίνονται, καὶ οὐ μόνον τοῦ θεάτρου λυθέντος τὰ βραβεῖα τοῖς νενικηκόσιν ἔρχεται φέρουσα, ἀλλὰ καὶ ἐν αὐτῷ μέσῳ τῷ σκάμματι λαμπροὺς τοῖς ἀγωνιζομένοις πλέκει τοὺς στεφάνους.

Διὰ τοῦτο καὶ Παῦλος οὐκ ἐπὶ ταῖς ἀντιδόσεσι τῶν θλίψεων χαίρει καὶ εὐφραίνεται μόνον, ἀλλὰ καὶ ἐπ' αὐταῖς ταῖς θλίψεσι καλ-

μη θὰ ἔχουν ἐκεῖνοι ποὺ δείχνουν δειλία καὶ δὲν περιφρονοῦν ἀκόμα καὶ τὴν ἴδια τὴ ζωή τους;

Σκεπτομένη λοιπὸν ὅλα αὐτὰ καὶ ὅτι τὰ παρόντα εἶναι καπνὸς καὶ ὄνειρο καὶ ὅτι ὅλη ἡ ἀνθρώπινη εὐτυχία δὲν εἶναι ἀνώτερη ἀπὸ τὰ ἀνοιξιάτικα φύλλα, ποὺ κάνουν τὴν ἐμφάνισή τους καὶ συγχρόνως μαραίνονται ἀμέσως, γίνε πιὸ ἀνώτερη ἀπὸ ὅλα αὐτὰ τὰ βέλη. Γιατὶ μπορεῖς, ἂν θέλεις, νὰ περιφρονήσεις καὶ τὴν κοσμικὴ φαντασία. Ἕνα πρᾶγμα μόνο πρόσεχε, πῶς θὰ μπορέσεις νὰ διανύσεις μὲ πολλὴ προθυμία τὴ γεμάτη θλίψεις ὁδό, ποὺ ὁδηγεῖ πρὸς Ἐκεῖνον.

107

ΣΤΟΥΣ ΠΡΕΣΒΥΤΕΡΟΥΣ ΚΑΣΤΟ, ΟΥΑΛΕΡΙΟ, ΔΙΟΦΑΝΤΟ ΚΑΙ ΚΥΡΙΑΚΟ

Αὐτὸ ποὺ συμβαίνει μὲ τὸ χρυσάφι, ποὺ δοκιμάζεται πολλὲς φορὲς ἀπὸ τὴ φωτιά, τὸ ἴδιο συνήθως γίνεται καὶ στὶς χρυσὲς ψυχὲς ἀπὸ τὶς δοκιμασίες. Γιατὶ ἐκείνη τὴν ὕλη (τοῦ χρυσαφιοῦ) τὴν ἐμφανίζει πιὸ λαμπερὴ καὶ καθαρὴ ἡ ἰδιοσυστασία τῆς φλόγας, ὅταν ἔρχεται σὲ ἐπαφὴ μ' αὐτὴν τόσο χρονικὸ διάστημα, ὅσο ἐπιβάλλει ὁ νόμος τῆς τέχνης. Καὶ τοὺς ἀνθρώπους, ποὺ ὡς πρὸς τὴ διάνοια μοιάζουν μὲ τὸ χρυσάφι, τὸ καμίνι τῶν ἀλλεπάλληλων δοκιμασιῶν τοὺς κάνει σὲ πολὺ μεγάλο βαθμὸ πιὸ λαμπεροὺς καὶ πολυτελεῖς ἀπὸ ὁποιοδήποτε χρυσάφι. Γι' αὐτὸ λοιπόν, ἂν καὶ βρίσκομαι σὲ τόση ἀπόσταση, δὲν παύω νὰ σᾶς μακαρίζω. Γιατὶ γνωρίζετε, γνωρίζετε πολὺ καλά, πόσο εἶναι τὸ κέρδος τῶν σκευωριῶν αὐτοῦ τοῦ εἴδους, καὶ ὅτι ἡ εὐτυχία τῆς παρούσας ζωῆς εἶναι μόνο γυμνὸ ὄνομα, χωρὶς περιεχόμενο, ἐνῶ τὰ μέλλοντα ἀγαθὰ εἶναι πάγια, ἀμετακίνητα, μόνιμα, ἀθάνατα. Καὶ δὲν εἶναι μόνο αὐτὸ τὸ θαῦμα τῆς ἀρετῆς, ὅτι δηλαδὴ μᾶς δίνει τέτοια βραβεῖα, ἀλλὰ ὅτι καὶ πρὶν ἀπὸ τὰ βραβεῖα οἱ ἀγῶνες της γίνονται βραβεῖα καὶ δὲν ἔρχεται φέρνοντας τὰ βραβεῖα στοὺς νικητὲς μόνο μετὰ τὴ λήξη τοῦ ἀγώνα, ἀλλὰ καὶ μέσα σ' αὐτὸν τὸν ἴδιο τὸ στίβο πλέκει γι' αὐτοὺς ποὺ ἀγωνίζονται λαμπρὰ στεφάνια.

Γι' αὐτὸ καὶ ὁ Παῦλος δὲν χαίρεται καὶ ἐφραίνεται μόνο γιὰ τὶς ἀνταμοιβὲς τῶν θλίψεων, ἀλλὰ καυχιέται καὶ γιὰ τὶς ἴδιες τὶς θλί-

λωπίζεται, οὕτω λέγων· «οὐ μόνον δέ, ἀλλὰ καὶ καυχώμεθα ἐν ταῖς θλίψεσιν». Εἶτα ἀπαριθμούμενος τὸν ὁρμαθὸν τῶν βραβείων τῆς θλίψεως, φησίν, «ὅτι ὑπομονὴν αὕτη τίκτει», τὴν μητέρα τῶν ἀγαθῶν, τὸν ἀκύμαντον λιμένα, τὴν ἐν γαλήνῃ ζωήν, τὴν πέτρας ἰσχυροτέραν καὶ ἀδάμαντος στερροτέραν, τὴν ὅπλου παντὸς δυνατωτέραν καὶ τειχῶν ἀσφαλεστέραν. Αὕτη δὲ κατορθωθεῖσα δοκίμους καὶ γενναίους ποιεῖ τοὺς αὐτῆς τροφίμους καὶ μεθ' ὑπερβολῆς ἀχειρώτους. Οὐδενὶ γὰρ ἀφίησι τῶν προσπιπτόντων αὐτοῖς θορυβεῖσθαι λυπηρῶν, οὐδὲ ὑποσκελίζεσθαι, ἀλλ' ὥσπερ ἡ πέτρα, ὅσῳπερ ἂν ὑπὸ πλειόνων παίηται κυμάτων, αὕτη μὲν ἐκκαθαίρεται μειζόνως, οὐδὲ μικρὸν κινουμένη, τῶν δὲ προσρηγνυμένων αὐτῇ τὸν ὄγκον ὑδάτων διαφθείρει ῥᾳδίως, οὐ τῷ παίειν, ἀλλὰ τῷ παίεσθαι ἀφανίζουσα, οὕτω δὴ καὶ ὁ δόκιμος ἐξ ὑπομονῆς γενόμενος, πάσης ἀνώτερος ἕστηκεν ἐπιβουλῆς. Καὶ τὸ δὴ θαυμαστόν, ὅτι ἰσχυρότερος γίνεται, οὐ τῷ ποιεῖν κακῶς, ἀλλὰ τῷ πάσχειν κακῶς τοὺς ποιοῦντας διαλύων ῥᾳδίως.

Ταῦτα οὐχ ὡς δεομένοις παρ' ἡμῶν μανθάνειν ἐπέσταλκα· οἶδα γὰρ ὑμῶν τὴν σύνεσιν, ἣν καὶ διὰ τῶν ἔργων αὐτῶν ἐπεδείξασθε· ἃ γὰρ διὰ ῥημάτων ἐφιλοσοφήσαμεν νῦν ἡμεῖς, ταῦτα ὑμεῖς δι' ὧν ἐπάθετε ἀνεκηρύξατε. Οὐ τοίνυν ὡς δεομένοις μανθάνειν παρ' ἡμῶν ταῦτα ἐπέσταλκα, ἀλλ' ἐπειδὴ μακρὸν ἐσιγήσατε χρόνον, μᾶλλον δὲ κοινῇ μακρὰν ἐσιγήσαμεν σιγήν, ἐβουλήθην καὶ τὴν ἐπιστολὴν γενέσθαι μακράν. Ἀθληταῖς δὲ ὑπομονῆς οὕτω γενναίοις ἐπιστέλλοντα, περὶ τίνος ἑτέρου διαλέγεσθαι ἐχρῆν, ἢ περὶ τούτων, δι' ὧν οὕτως ἀνεφάνητε λαμπροὶ καὶ εὐδόκιμοι;

Ἀλλ' οὐδὲ ἐνταῦθα ἵσταται τῆς ἀθλήσεως ὁ καρπός, ἀλλὰ πρόεισι περαιτέρω βρύων. «Ἡ γὰρ δοκιμή», φησίν, «ἐλπίδα τίκτει»· ἐλπίδα πάντως ἐπὶ τῶν πραγμάτων ἐκβησομένην, οὐ κατὰ τὴν ἀνθρωπίνην ταύτην, ἣ κατατείνασα πολλάκις τοῖς πόνοις τοὺς πρὸς αὐτὴν κεχηνότας, οὐκ ἴσχυσε τοὺς καρποὺς ἀποδοῦναι τῶν πόνων αὐτοῖς, ἀλλὰ μετὰ τῆς ζημίας καὶ αἰσχύνῃ καὶ κινδύνοις αὐτοὺς περιέβαλεν. Ἀλλ' οὐκ αὐτὴ τοιαύτη, ἐπειδὴ οὐδὲ ἀνθρωπίνη, ὅπερ ἑνὶ

1. *Ρωμ.* 5,3.
2. Ὅ. π.
3. Τὴν ἴδια παρομοίωση βλέπε καὶ στὴν ἐπιστολὴ 96.

ψεις, λέγοντας τὰ ἑξῆς· «καὶ ὄχι μόνο αὐτό, ἀλλὰ καυχιόμαστε καὶ γιὰ τὶς θλίψεις»[1]. Ἔπειτα, ἀπαριθμώντας τὴν ἀρμαθιὰ τῶν βραβείων τῆς θλίψεως, λέει ὅτι «αὐτὴ γεννάει ὑπομονή»[2], ποὺ εἶναι ἡ μητέρα τῶν ἀγαθῶν, τὸ ἀκύμαντο λιμάνι, ἡ γαληνεμένη ζωή, πιὸ ἰσχυρὴ καὶ ἀπὸ τὸν βράχο καὶ πιὸ στέρεη καὶ ἀπὸ διαμάντι, πιὸ δυνατὴ ἀπὸ κάθε ὅπλο καὶ πιὸ ἀσφαλὴς ἀπὸ τὰ τείχη. Καὶ ὅταν αὐτὴ ἡ ὑπομονὴ κατορθωθεῖ κάνει ἄξιους καὶ γενναίους τοὺς μαθητές της καὶ ἀμετακίνητους. Γιατὶ δὲν τοὺς ἀφήνει νὰ ταράσσονται μὲ κανένα ἀπὸ τὰ θλιβερὰ γεγονότα ποὺ τοὺς βρίσκουν, οὔτε νὰ καταβάλλονται, ἀλλά, ὅπως ὁ βράχος ὅσο καὶ ἂν χτυπιέται ἀπὸ πολλὰ κύματα, αὐτὸς βέβαια καθαρίζεται περισσότερο, χωρὶς νὰ μετακινεῖται καθόλου, τὸν ὄγκο ὅμως τοῦ νεροῦ ποὺ προσκρούει ἐπάνω του τὸν διαλύει εὔκολα, ὄχι χτυπώντας τον, ἀλλὰ δεχόμενος τὰ χτυπήματά του[3]. Κατὰ τὸν ἴδιο λοιπὸν τρόπο καὶ ἐκεῖνος ποὺ ἔγινε ἄξιος μὲ τὴν ὑπομονὴ εἶναι ἀνώτερος ἀπὸ κάθε σκευωρία. Καὶ τὸ πιὸ ἀξιοθαύμαστο εἶναι, ὅτι γίνεται πιὸ δυνατὸς καὶ διαλύει τοὺς κακοὺς εὔκολα, ὄχι μὲ τὸ νὰ ἐνεργεῖ κακῶς, ἀλλὰ μὲ τὸ νὰ κακοποιεῖται.

Αὐτὰ σᾶς τὰ ἔγραψα ὄχι ἐπειδὴ εἴχατε ἀνάγκη νὰ τὰ μάθετε ἀπὸ μένα· γιατὶ γνωρίζω τὴ φρόνησή σας ποὺ ἐπιδείξατε καὶ ἔμπρακτα, ἀφοῦ αὐτὰ ποὺ μὲ λόγια ἀνέφερα τώρα ἐγώ, αὐτὰ ἐσεῖς τὰ διακηρύξατε μὲ ὅσα ἐπάθατε. Δὲν τὰ ἔγραψα λοιπὸν αὐτὰ ἐπειδὴ εἴχατε ἀνάγκη νὰ τὰ μάθετε ἀπὸ μένα, ἀλλὰ ἐπειδὴ γιὰ πολὺ χρονικὸ διάστημα σιωπήσατε, ἢ μᾶλλον ἐξίσου σιωπήσαμε καὶ σεῖς κι ἐγὼ γιὰ πολὺ διάστημα, θέλησα καὶ ἡ ἐπιστολὴ νὰ εἶναι μεγάλη. Καὶ γράφοντας σὲ τόσο γενναίους ἀθλητὲς τῆς ὑπομονῆς, γιὰ ποιό ἄλλο ἔπρεπε νὰ μιλήσω, παρὰ γι' αὐτὰ μὲ τὰ ὁποῖα ἀναδειχθήκατε τόσο λαμπροὶ καὶ ἄξιοι;

Ὅμως δὲν σταματᾶ ἐδῶ τὸ κέρδος τῆς ἀθλήσεως, ἀλλὰ προχωρεῖ παραπέρα ἀναβρύζοντας. Γιατὶ λέει, «ἡ δοκιμασία γεννᾶ τὴν ἐλπίδα»[4]. Ἐλπίδα ποὺ ἐπαληθεύεται ὁπωσδήποτε στὰ πράγματα καὶ ὄχι σὰν τὴν ἀνθρώπινη, ἡ ὁποία, ἀφοῦ βασανίσει πολλὲς φορὲς μὲ τοὺς πόνους ἐκείνους ποὺ εἶναι ξετρελλαμένοι μαζί της, δὲν ἔχει τὴ δύναμη νὰ τοὺς ἀνταποδώσει τοὺς καρποὺς τῶν πόνων τους, ἀλλὰ μαζὶ μὲ τὴ ζημιὰ τοὺς περιβάλλει καὶ μὲ ντροπὴ καὶ κινδύνους. Αὐτὴ ὅμως ἡ ἐλπίδα δὲν εἶναι τέτοιου εἴδους, ἐπειδὴ δὲν εἶναι ἀν-

4. *Ρωμ.* 5,5.

ῥήματι δηλῶν ὁ Παῦλος ἔλεγεν· «ἡ δὲ ἐλπὶς οὐ καταισχύνει». Οὐ γὰρ δὴ μόνον οὐ ζημιοῖ τὸν τὰ τοιαῦτα ἀγωνιζόμενον, οὐδὲ οὐ μόνον οὐ καταισχύνει, ἀλλὰ καὶ πολλῷ πλείονα καὶ πλοῦτον καὶ δόξαν αὐτῷ τῶν πόνων καὶ τῶν ἱδρώτων ἔρχεται φέρουσα. Τοιαύτη γὰρ ἡ χαριζομένη χεὶρ τούτων τῶν πόνων τὰς ἀμοιβάς.

Τάχα ὑπερέβημεν τὸ μέτρον τῆς ἐπιστολῆς, ἀλλ' οὐ παρ' ὑμῖν τοῖς οὕτω σφοδροῖς ἡμῶν ἐρασταῖς. Οὐ γὰρ ἐπιστολιμαίων γραμμάτων νόμῳ, ἀλλὰ θεσμῷ φιλίας τὰ τοιαῦτα κρίνοντες, εὖ οἶδ' ὅτι καὶ βραχεῖαν εἶναι ταύτην ἡγήσεσθε τὴν ἐπιστολήν. Ἀλλ' ὅμως, εἰ καὶ βραχεῖα ὑμῖν εἶναι δοκεῖ, οὐ παύσομαι καὶ ταύτης ἀπαιτῶν ὑμᾶς τοὺς μισθούς, οὐ τὸ φιλεῖσθαι παρ' ὑμῶν· οὐ γὰρ δεῖσθε εἰς τοῦτο τοῦ ἀπαιτήσαντος, οἴκοθεν αὐτὸ μετὰ πολλῆς ἀεὶ τῆς δαψιλείας καὶ κατατιθέντες καὶ ὀφείλοντες· οὐδὲ τὸ ἀντιγράψαι ἡμῖν· οἶδα γὰρ ὅτι οὐδὲ εἰς τοῦτο ἑτέρου τινὸς ὑμῖν δεῖ τοῦ ἀναμνήσοντος ὑμᾶς· ἀλλὰ τίς ὁ μισθός; Τὸ δῆλον ἡμῖν ποιῆσαι, ὅτι σκιρτᾶτε, ὅτι χαίρετε καὶ εὐφραίνεσθε καὶ ὅτι οὐδὲν ὑπὸ τῶν ἐπενεχθέντων ὑμῖν πεπόνθατε δεινῶν, ἀλλὰ πλείονος ἡδονῆς ὑμῖν ὑπόθεσις αἱ ἐπιβουλαὶ γίνονται. Ἂν γὰρ δεξώμεθα ἐπιστολὴν ταῦτα φέρουσαν ἡμῖν τὰ εὐαγγέλια, καὶ ἐρημίας καὶ λιμοῦ καὶ λοιμοῦ καὶ πολέμων ἰαυρικῶν καὶ ἀρρωστίας ἁπάσης, οἷς ἅπασιν ἐκδεδόμεθα νῦν, ἔσται ἡμῖν παράκλησις τὰ τοιαῦτα γράμματα καὶ φάρμακα καὶ ἰατρεῖα.

Ἐννοοῦντες τοίνυν ἡλίκα ἡμῖν χαριεῖσθε, καὶ ἐπιστεῖλαι, καὶ ταῦτα ἡμῖν ἐπιστεῖλαι παρακλήθητε, ἵνα ἡμᾶς, καὶ ἐκ τοσούτου καθημένους διαστήματος, πολλῆς ἐμπλήσητε τῆς εὐφροσύνης.

ΡΗ'

ΟΥΡΒΙΚΙΩ͵ ΕΠΙΣΚΟΠΩ͵

Εἰ καὶ πολὺν ἔχω χρόνον μὴ συγγενόμενός σου τῇ εὐλαβείᾳ,

---

5. *Ρωμ.* 5,5.

6. Οἱ ἐπιστολὲς τοῦ Χρυσοστόμου δὲν τηροῦν ἀπαρέγκλιτα τὸν κανόνα τῆς ἐπιστολογραφίας περὶ συντομίας. Ὁ ἱερὸς πατὴρ ἀφήνει νὰ καθορίσει τὴν ἔκταση κάθε ἐπιστολῆς του ὁ σκοπὸς γιὰ τὸν ὁποῖο τὴν γράφει καὶ τὸ πρόσωπο πρὸς τὸ ὁποῖο τὴν ἀπευθύνει. Ἄλλωστε ἡ ἔκταση τῶν φιλικῶν ἐπιστολῶν ἔχει τὰ δικά της

θρώπινη. Αὐτὸ ὁ Παῦλος δηλώνοντάς το μὲ ἕνα λόγο ἔλεγε· «ἐνῶ ἡ ἐλπίδα δὲν ντροπιάζει»[5]. Γιατὶ πραγματικὰ ὄχι μόνο δὲ ζημιώνει ἐκεῖνον ποὺ ἀγωνίζεται γι' αὐτά, οὔτε μόνο δὲν τὸν ντροπιάζει, ἀλλὰ ἔρχεται φέρνοντάς του πλοῦτο καὶ δόξα πολὺ περισσότερα ἀπὸ τοὺς πόνους καὶ τοὺς ἱδρῶτες του. Γιατὶ τέτοιο εἶναι τὸ χέρι ποὺ χαρίζει τὶς ἀμοιβὲς αὐτῶν τῶν πόνων.

Ἴσως νὰ ξεπέρασα τὴ συνήθη ἔκταση τῆς ἐπιστολῆς[6], δὲ θὰ θεωρηθεῖ ὅμως ἔτσι ἀπὸ σᾶς τοὺς τόσο σφοδροὺς φίλους. Γιατί, κρίνοντας αὐτοῦ τοῦ εἴδους τὰ πράγματα ὄχι μὲ τὸ νόμο τῶν γραμμάτων ποὺ ἐπιβάλλει ἡ ἐπιστολογραφία, ἀλλὰ μὲ τὸ θεσμὸ τῆς φιλίας, ξέρω καλὰ ὅτι θὰ νομίσετε πὼς ἡ ἐπιστολὴ αὐτὴ εἶναι σύντομη. Ὅμως, ἔστω καὶ ἂν σᾶς φανεῖ πὼς εἶναι σύντομη, δὲν θὰ παύσω νὰ ἀπαιτῶ καὶ αὐτῆς τὴν ἀντιμισθία ἀπὸ σᾶς. Ὄχι τὸ νὰ ἀγαπιέμαι ἀπὸ σᾶς· γιατὶ δὲν ἔχετε ἀνάγκη νὰ σᾶς τὸ ἀπαιτήσει κανεὶς αὐτό, ἀφοῦ αὐτὸ μοῦ τὸ ὀφείλετε καὶ τὸ ἐκπληρώνετε αὐτονόητα μὲ πολλὴ μεγαλοδωρία. Οὔτε τὸ νὰ μοῦ ἀνταποδώσετε τὸ γράμμα· γιατὶ γνωρίζω πὼς οὔτε κι' αὐτὸ χρειάζεται νὰ σᾶς τὸ ὑπενθυμίσει κάποιος ἄλλος. Τότε ποιά εἶναι ἡ ἀντιμισθία ποὺ ζητῶ; Τὸ νὰ μοῦ γνωρίσετε ὅτι σκιρτᾶτε, ὅτι χαίρεσθε καὶ εὐφραίνεσθε καὶ ὅτι δὲν πάθατε τίποτε ἀπὸ τὰ δεινὰ ποὺ σᾶς βρῆκαν, ἀλλὰ οἱ σκευωρίες γίνονται ἀφορμὴ περισσότερης χαρᾶς γιὰ σᾶς. Γιατί, ἂν δεχθῶ ἐπιστολὴ ποὺ θὰ μοῦ φέρει αὐτὲς τὶς εὐχάριστες εἰδήσεις, τότε καὶ στὴν ἐρημιὰ καὶ στὴν πείνα καὶ στὴν ἐπιδημία καὶ στὶς ἐπιθέσεις τῶν Ἰσαύρων καὶ σ' ὅλες τὶς ἀρρώστιες, στὰ ὁποῖα τώρα ἔχω παραδοθεῖ, γιὰ μένα τὰ γράμματα αὐτὰ θὰ εἶναι παρηγοριὰ καὶ φάρμακα καὶ μέσα θεραπείας.

Σκεπτόμενοι λοιπὸν πόσα θὰ μοῦ χαρίσετε, παρακαλῶ νὰ μοῦ στείλετε ἐπιστολὴ καὶ νὰ μοῦ γράψετε αὐτά, ὥστε, ἂν καὶ βρίσκομαι σὲ τόση ἀπόσταση, νὰ μὲ γεμίσετε μὲ μεγάλη χαρά.

108

ΣΤΟΝ ΕΠΙΣΚΟΠΟ ΟΥΡΒΙΚΙΟ

Ἂν καὶ ἔχω πολὺ χρονικὸ διάστημα ποὺ δὲν συνάντησα τὴν

κριτήρια. Ἕνα πολὺ φιλικὸ πρόσωπο καὶ τὴν πιὸ μεγάλη ἐπιστολὴ τὴν θεωρεῖ σύντομη.

ἀλλ' οὐδὲν ἐντεῦθεν ῥᾳθυμότερος περὶ τὸ φιλεῖν γέγονα. Τοιαύτη γὰρ τῆς γνησίας ἀγάπης ἡ φύσις· οὐ χρόνῳ μακρῷ μαραίνεται, οὐ δυσκολίᾳ πραγμάτων ἀμαυροῦται, ἀλλὰ μένει διηνεκῶς ἀκμάζουσα. Διὸ δὴ καὶ ἡμεῖς, καὶ ἐν πολλαῖς περιστάσεσι γενόμενοι καὶ νῦν εἰς τὴν ἐσχάτην τῆς οἰκουμένης ἐρημίαν ἀπενεχθέντες καὶ φόβῳ συζῶντες διηνεκεῖ τῷ τῶν λῃστῶν καὶ πολιορκίᾳ κοινῇ (καθ' ἑκάστην γὰρ ἡμέραν ἡ Κουκουσὸς πολιορκεῖται, τὰς ὁδοὺς τῶν λῃστῶν ἀποτειχισάντων), οὐδενὶ τούτων γεγόναμεν ῥᾳθυμότεροι περὶ τὴν σὴν εὐλάβειαν, ἀλλὰ καὶ γράφομεν καὶ τὴν ὀφειλομένην ἀποδιδόαμεν πρόσρησιν, καί σε παρακαλοῦμεν, εἰ μὴ βαρὺ μηδὲ ἐπαχθές, καὶ αὐτὸν ἡμῖν ἐπιστέλλειν. Οὕτω γὰρ καὶ ἡδονὴν πολλὴν καρπωσόμεθα, παρ' ὑμῶν τῶν οὕτω γνησίως ἀγαπώντων ἡμᾶς δεχόμενοι γράμματα καὶ διὰ τούτων τὴν παρουσίαν φανταζόμενοι τὴν ὑμετέραν.

ΡΘ'

ΡΟΥΦΙΝΩι ΕΠΙΣΚΟΠΩι

Οἶδά σου τῆς ἀγάπης τὸ στερρόν. Ὀλίγα μέν σοί ποτε συνεγενόμεθα ἐν Ἀντιοχείᾳ, δέσποτά μου τιμιώτατε καὶ εὐλαβέστατε, πολλὴν δέ σου πεῖραν τῆς εὐλαβείας καὶ τῆς συνέσεως εἰληφότες καὶ τῆς περὶ ἡμᾶς ἀγάπης. Ἐξ ἐκείνου, καίτοι πολλοῦ μεταξὺ γενομένου τοῦ χρόνου, τὴν περὶ σὲ ἀγάπην ἀκμάζουσαν διατηροῦμεν καὶ ὡς χθὲς καὶ πρῴην σε ἑωρακότες, οὕτως σου φανταζόμεθα τὴν παρουσίαν. Διὸ καὶ ἐπιστέλλομεν καὶ παρακαλοῦμεν μεμνῆσθαι ἡμῶν διηνεκῶς. Ἀπήχθημεν εἰς χωρίον τῆς καθ' ἡμᾶς οἰκουμένης ἐρημότατον, τὴν Κουκουσόν, καὶ καθ' ἑκάστην σχεδὸν τὴν ἡμέραν ὑπὸ τῆς τῶν Ἰσαύρων πολιορκούμεθα ἐφόδου. Ἀλλ' ὅμως, καὶ ἐν τοσαύταις ὄντες περιστάσεσιν, ἣν θαρρῶμεν περὶ τῆς ἀγάπης τῆς ὑμετέρας καὶ ἴδωμεν σαφῶς, ὅτι γνησίας ἀπολαύομεν διαθέσεως, οὐ τὴν τυχοῦσαν καὶ ἐν ταῖς θλίψεσι ταύταις καρπωσόμεθα τὴν παράκλησιν.

εὐλάβειά σου, ὅμως δὲν ἔγινα ἀπὸ αὐτὸ πιὸ ὀκνηρὸς στὸ νὰ σὲ ἀγαπῶ. Γιατὶ τέτοια εἶναι ἡ φύση τῆς ἀγάπης· δὲν μαραίνεται ἀπὸ τὸν πολὺ χρόνο, οὔτε ἐπισκιάζεται ἀπὸ τὴ δυσκολία τῶν περιστάσεων, ἀλλὰ μένει διαρκῶς ἀκμαία[1]. Γι' αὐτὸ λοιπὸν καὶ ἐγώ, μολονότι βρίσκομαι σὲ πολὺ δεινὲς καταστάσεις καὶ ἔχω τώρα ὁδηγηθεῖ μακριὰ στὴ χειρότερη ἐρημιὰ τῆς οἰκουμένης, καὶ ζοῦμε διαρκῶς μὲ τὸ φόβο τῶν ληστῶν καὶ σὲ καινούργια πολιορκία (γιατὶ κάθε μέρα ἡ Κουκουσὸς πολιορκεῖται, ἀφοῦ οἱ ληστὲς ἀπέκλεισαν τοὺς δρόμους), ἐξαιτίας κανενὸς ἀπὸ αὐτὰ δὲν ἔγινα πιὸ ὀκνηρὸς ὡς πρὸς τὴν εὐλάβειά σου, ἀλλὰ καὶ σοῦ γράφω καὶ σοῦ στέλνω τὸν ὀφειλόμενο χαιρετισμὸ καὶ σὲ παρακαλῶ, ἐὰν δὲν εἶναι βαρὺ οὔτε δυσβάσταχτο, καὶ σὺ νὰ μοῦ γράφεις. Γιατὶ ἔτσι καὶ εὐχαρίστηση πολλὴ θὰ δοκιμάζω, ὅταν δέχομαι γράμματα ἀπὸ σένα ποὺ τόσο εἰλικρινὰ μὲ ἀγαπᾶς, καὶ μὲ τὰ γράμματα αὐτὰ θὰ φαντάζομαι ὅτι εἶσαι παρών.

109

ΣΤΟΝ ΕΠΙΣΚΟΠΟ ΡΟΥΦΙΝΟ

Γνωρίζω τὴ σταθερότητα τῆς ἀγάπης σου. Γιὰ λίγο βέβαια συναναστράφηκα κάποτε μαζί σου στὴν Ἀντιόχεια, ἐντιμότατε καὶ εὐλαβέστατε δεσπότη μου, ἀλλὰ ἀπέκτησα πολλὴ πείρα τῆς εὐλάβειας καὶ τῆς συνέσεώς σου καὶ τῆς ἀγάπης σου γιὰ μένα. Ἀπὸ τότε, ἂν καὶ μεσολάβησε πολὺς χρόνος, διατηρῶ ἀκμαία τὴν ἀγάπη μου γιὰ σένα, καὶ σὰν νὰ σὲ εἶδα χθὲς καὶ πρόσφατα, ἔτσι φαντάζομαι τὴν παρουσία σου. Γι' αὐτὸ καὶ σοῦ γράφω καὶ παρακαλῶ νὰ μὲ θυμᾶσαι παντοτινά. Μᾶς ἔχουν ὁδηγήσει σ' ἕνα πολὺ ἔρημο χωριὸ τῆς οἰκουμένης μας, τὴν Κουκουσό, καὶ κάθε μέρα δεχόμαστε τὴν ἐπίθεση τῶν Ἰσαύρων. Ἀλλ' ὅμως, ἂν καὶ βρίσκομαι σὲ τόσο δύσκολες περιστάσεις, ἐὰν ἔχω σίγουρη τὴν ἀγάπη τὴ δική σου καὶ δῶ καθαρὰ ὅτι ἀπολαμβάνω τὰ εἰλικρινῆ σου αἰσθήματα, θὰ ἔχω ὄχι μικρὴ παρηγοριὰ καὶ στὶς δοκιμασίες μου αὐτές.

1. Πρβλ. καὶ *Α' Κορ.* 13,8· «ἡ ἀγάπη οὐδέποτε ἐκπίπτει». Πρβλ. *Ἐπιστολὴ* 63.

ΡΙ'

ΒΑΣΣΩι ΕΠΙΣΚΟΠΩι

Τί τοῦτο; Ὁ τοσαύτην περὶ ἡμᾶς ἀγάπην ἐπιδειξάμενος καὶ ἐν τῷ ἔμπροσθεν χρόνῳ καὶ ἔναγχος ἐν Κωνσταντινουπόλει, ἀκούσας ἡμᾶς ἐκ γειτόνων εἶναι τῆς σῆς τιμιότητος, οὐδὲ γραμμάτων ἡμᾶς ἠξίωσας. Οὐκ οἶσθ' ὅπως διακείμεθά σου περὶ τὴν εὐλάβειαν καὶ ὅπως συνδεδέμεθά σοι τῷ τῆς φιλίας δεσμῷ; Ἐγὼ μὲν γὰρ προσεδόκων σε καὶ ἥξειν ἐνταῦθα καὶ παρακαλέσειν ἡμᾶς ἐν ἐρημίᾳ τοσαύτῃ καθεστῶτας. Τί γὰρ ἂν γένοιτο ἐρημότερον Κουκουσοῦ, μετὰ τῆς ἐρημίας καὶ ὑπὸ τῆς τῶν Ἰσαύρων πολιορκουμένης ἐφόδου; Ἀλλ' ὅμως, εἰ τοῦτο ἐργῶδες διά τε αὐτῶν τῶν λῃστῶν τὸν φόβον, διά τε τῆς ὁδοῦ τὴν δυσκολίαν, γράφειν ἡμῖν μὴ κατόκνει καὶ τὰ περὶ τῆς ὑγείας τῆς σῆς εὐαγγελίζεσθαι, ἵνα, καὶ ἐν ἀλλοτρίᾳ διατρίβοντες, πολλὴν ἐντεῦθεν καρπωσώμεθα τὴν παράκλησιν.

ΡΙΑ'

ΑΝΑΤΟΛΙΩι ΕΠΙΣΚΟΠΩι ΑΔΑΝΗΣ

Ἐγὼ μὲν καὶ συγγενέσθαι ἐπεθύμουν σου τῇ τιμιότητι, παρὰ πολλῶν ἀκούων τὸν θερμὸν ἔρωτα, ὃν περὶ ἡμᾶς ἔχεις, καὶ ταῦτα μὴ συγγενόμενος ἡμῖν. Ἐπειδὴ δὲ τοῦτο τέως οὐκ ἔνι, τὸ τῆς συνουσίας ἐλπὶς γενέσθαι, διορθοῦμαι τῇ τῶν γραμμάτων ὁμιλίᾳ, χάριν ἑαυτῷ παρέχων μεγίστην. Εἰ γὰρ καὶ ἐρημότατον χωρίον, εἰς ὃ νῦν ἀπηνέχθημεν, ἡ Κουκουσός, καὶ κινδύνων γέμον πολλῶν, καὶ φόβῳ διηνεκεῖ τῶν λῃστῶν πολιορκούμενον, ἀλλ' οὐδὲν τούτων ἡμᾶς θορυβεῖ, οὐδὲ διαταράττει, τῆς ὑμετέρας ἀπολαύοντας ἀγάπης· ἀλλ', εἰ καὶ τῷ σώματι διεστήκαμεν, τῇ ψυχῇ συνδεδεμένοι μετὰ πολλῆς τῆς

110

ΣΤΟΝ ΕΠΙΣΚΟΠΟ ΒΑΣΣΟ

Γιατί αὐτό; Σὺ ποὺ ἔδειξες τόσο μεγάλη ἀγάπη πρὸς ἐμένα καὶ κατὰ τὸ προηγούμενο χρονικὸ διάστημα καὶ πρόσφατα στὴν Κωνσταντινούπολη, ὅταν ἔμαθες ὅτι εἶμαι γείτονας τῆς ἐντιμότητάς σου, δὲ καταδέχτηκες οὔτε γράμματα νὰ μοῦ στείλεις. Δὲ γνωρίζεις πῶς εἶμαι διατεθειμένος ἀπέναντι στὴν εὐλάβειά σου καὶ πῶς εἶμαι συνδεδεμένος μαζί σου μὲ τὸ δεσμὸ τῆς φιλίας; Ἐγὼ βέβαια περίμενα νὰ ἔρθεις καὶ ἐδῶ καὶ νὰ μὲ παρηγορήσεις ποὺ βρίσκομαι σὲ τόση ἐρημιά. Γιατὶ τί θὰ μποροῦσε νὰ ὑπάρξει πιὸ ἔρημο ἀπὸ τὴν Κουκουσό, ἡ ὁποία μαζὶ μὲ τὴν ἐρημιὰ πολιορκεῖται ἀπὸ τὴν ἔφοδο τῶν Ἰσαύρων; Ἀλλ ὅμως, ἐὰν αὐτὸ εἶναι δύσκολο, καὶ ἐξαιτίας τοῦ φόβου τῶν ἴδιων τῶν ληστῶν καὶ ἐξαιτίας τῆς δυσκολίας τοῦ δρόμου, μὴ ἀποφεύγεις νὰ μοῦ γράφεις καὶ νὰ μοῦ ἀναγγέλλεις τὰ εὐχάριστα τῆς ὑγείας σου, ὥστε, ἂν καὶ διαμένω σὲ ξένη χώρα, νὰ παίρνω ἀπὸ αὐτὸ πολλὴ παρηγοριά.

111

ΣΤΟΝ ΕΠΙΣΚΟΠΟ ΑΔΑΝΗΣ ΑΝΑΤΟΛΙΟ

Ἐγὼ βέβαια θὰ ἤθελα καὶ νὰ συναντηθῶ μὲ τὴν ἐντιμότητά σου, ἀκούοντας ἀπὸ πολλοὺς τὴ θερμὴ ἀγάπη ποὺ ἔχεις γιὰ μένα, καὶ αὐτὸ χωρὶς νὰ μὲ ἔχεις συναντήσει. Ἐπειδὴ ὅμως αὐτὸ πρὸς τὸ παρὸν δὲν εἶναι δυνατό, νὰ ἐκπληρωθεῖ δηλαδὴ ἡ ἐλπίδα τῆς συνάντησης, διορθώνω τὸ πρᾶγμα μὲ τὴν ἐπικοινωνία τῶν γραμμάτων, παρέχοντας στὸν ἑαυτό μου πολὺ μεγάλη χάρη. Γιατί, ἂν καὶ εἶναι πολὺ ἔρημο τὸ χωριὸ στὸ ὁποῖο ἔχω τώρα μεταφερθεῖ, δηλαδὴ ἡ Κουκουσός, καὶ εἶναι γεμάτο ἀπὸ πολλοὺς κινδύνους καὶ πολιορκεῖται ἀπὸ τὸν διαρκῆ φόβο τῶν ληστῶν, ὅμως τίποτε ἀπὸ αὐτὰ δὲν μὲ θορυβεῖ οὔτε μὲ ταράσσει, ἀφοῦ ἔχω τὴ δική σου ἀγάπη. Καὶ μολονότι σωματικὰ εἶμαι χωρισμένος, ὄντας συνδεδεμένος ψυχικὰ μαζί σου πολὺ δυνατά, ἔχω τὴν ἐντύπωση ὅτι κατοικῶ μᾶλλον στὴ

σφοδρότητος ὑμῖν, τὴν ὑμετέραν μᾶλλον τὴν ἀτάραχον καὶ ἀπόλεμον, ἢ τὴν Κουκουσὸν οἰκεῖν δοκοῦμεν, ἀεὶ μεθ' ὑμῶν ὄντες τῇ διαθέσει, καὶ ὅπουπερ ἂν ὦμεν, ἐπὶ διανοίας σε περιφέροντες.

ΡΙΒ'

ΘΕΟΔΩΡΩι ΕΠΙΣΚΟΠΩι

Εἰ μὲν οἷόν τε ἦν καὶ ἐλθεῖν καὶ περιπτύξασθαί σου τὴν εὐλάβειαν καὶ ἐντυρφῆσαί σου τῇ ἀγάπῃ διὰ τῆς παρουσίας αὐτῆς, μετὰ πολλῆς ἂν τοῦτο ἐποιήσαμεν τῆς σπουδῆς καὶ τοῦ τάχους· ἐπειδὴ δὲ τοῦτο οὐκ ἐφ' ἡμῖν κεῖται νῦν, διὰ τῶν γραμμάτων τὸ αὐτὸ τοῦτο πληροῦμεν. Κἂν γὰρ πρὸς αὐτὰς τῆς οἰκουμένης τὰς ἐσχατιὰς ἀπενεχθῶμεν, ἐπιλαθέσθαι σου τῆς ἀγάπης οὐ δυνάμεθα, τῆς γνησίας καὶ θερμῆς καὶ εἰλικρινοῦς καὶ ἀδόλου, τῆς τε ἄνωθεν καὶ ἐξ ἀρχῆς, ἥν τε ἐπεδείξω νῦν. Οὐδὲ γὰρ ἔλαθεν ἡμᾶς ὅσα καὶ εἰπεῖν καὶ ποιῆσαι ὑπὲρ ἡμῶν ἐσπούδασας, δέσποτά μου τιμιώτατε καὶ θεοφιλέστατε. Εἰ δὲ μηδὲν γέγονε πλέον, ἀλλὰ τὸν Θεὸν ὀφειλέτην ἔχεις τῆς σπουδῆς καὶ τῆς προθυμίας καὶ τὸν μισθὸν ἀπηρτισμένον.

Καὶ ἡμεῖς οὐ παυόμεθα χάριν εἰδότες σου τῇ ὁσιότητι καὶ πρὸς ἅπαντας ἀνακηρύττοντές σου τὴν εὐλάβειαν καὶ παρακαλοῦντες τὴν αὐτὴν ἀγάπην διὰ παντὸς ἀκμάζουσαν διατηρεῖν. Οὐ γὰρ τὴν τυχοῦσαν, καὶ ἐν ἐρημίᾳ καθήμενοι, καρπούμεθα τὴν παράκλησιν, ὅταν τοσοῦτον ἐν καρδίᾳ θησαυρὸν καὶ πλοῦτον ἀποκείμενον ἔχωμεν, τῆς ἐγρηγορυίας καὶ γενναίας σου ψυχῆς τὴν ἀγάπην.

ΡΙΓ'

ΠΑΛΛΑΔΙΩι ΕΠΙΣΚΟΠΩι

Ὑπὲρ μὲν τῶν καθ' ἡμᾶς αὐτοὺς οὐδὲν δεόμεθα παρακλήσεως (ἀρκεῖ γὰρ ἡμῖν εἰς παράκλησιν τῶν γενομένων ἡ ὑπόθεσις), θρηνοῦμεν δὲ τὸν κοινὸν τῶν Ἐκκλησιῶν χειμῶνα καὶ τὸ τὴν οἰκουμένην καταλαβὸν ναυάγιον, καὶ πάντας ὑμᾶς παρακαλοῦμεν εὐχαῖς

δική σου ἤρεμη καὶ ἀπόλεμη πόλη, καὶ ὄχι στὴν Κουκουσό, διότι εἶμαι νοερὰ πάντοτε μαζί σου καὶ ὅπου καὶ ἂν βρίσκομαι, σὲ ἔχω στὴ σκέψη μου.

112

ΣΤΟΝ ΕΠΙΣΚΟΠΟ ΘΕΟΔΩΡΟ

Ἐὰν ἦταν δυνατὸ νὰ ἔρθω καὶ νὰ ἐναγκαλισθῶ τὴν εὐλάβειά σου καὶ νὰ ἀπολαύσω τὴν ἀγάπη σου μὲ τὴν ἴδια τὴν παρουσία μου, θὰ τὸ ἔκανα μὲ πολλὴ βιασύνη καὶ ταχύτητα. Ἐπειδὴ ὅμως αὐτὸ δὲν ἐξαρτᾶται τώρα ἀπὸ μένα, ἐκπληρώνω τὴν ἐπιθυμία μου αὐτὴ μὲ τὰ γράμματα. Γιατί, καὶ ἂν ἀκόμα μεταφερθῶ στὶς ἐσχατιὲς τῆς οἰκουμένης, δὲν μπορῶ νὰ λησμονήσω τὴν ἀγάπη σου, τὴ γνήσια καὶ θερμὴ καὶ εἰλικρινῆ καὶ ἄδολη, τὴν παλιὰ καὶ ἀρχική, ἀλλὰ καὶ αὐτὴν ποὺ ἔδειξες τώρα. Γιατὶ δὲν μοῦ διέφυγαν ὅσα ἔσπευσες καὶ νὰ πεῖς καὶ νὰ κάνεις γιὰ μένα, ἐντιμότατε καὶ θεοφιλέστατε δεσπότη μου. Ἐὰν ὅμως δὲν ἔγινε τίποτε περισσότερο, ἀλλὰ ἔχεις τὸν Θεὸ ὀφειλέτη γιὰ τὸ ἐνδιαφέρον καὶ τὴν προθυμία καὶ τὴν ὁλοκληρωμένη ἀμοιβή.

Καὶ ἐγὼ δὲν παύω νὰ χρεωστῶ εὐγνωμοσύνη στὴν ὁσιότητά σου καὶ νὰ διακηρύσσω πρὸς ὅλους τὴν εὐλάβειά σου καὶ νὰ παρακαλῶ νὰ διατηρεῖς τὴν ἴδια ἀγάπη γιὰ πάντα ἀκμαία. Γιατὶ δὲν εἶναι τυχαία ἡ παρηγοριὰ ποὺ παίρνω, ἂν καὶ βρίσκομαι στὴν ἐρημιά, ὅταν ἔχω ἀποταμιευμένο στὴν καρδιὰ τόσο μεγάλο θησαυρὸ καὶ πλοῦτο, τὴν ἀγάπη δηλαδὴ τῆς ἄγρυπνης καὶ γενναίας ψυχῆς σου.

113

ΣΤΟΝ ΕΠΙΣΚΟΠΟ ΠΑΛΛΑΔΙΟ

Γιὰ ὅσα βέβαια συμβαίνουν σὲ μένα τὸν ἴδιο δὲν ἔχω ἀνάγκη παρηγοριᾶς· γιατὶ μοῦ εἶναι ἀρκετὰ γιὰ παρηγοριὰ τὰ ἴδια τὰ συμβαίνοντα. Θρηνῶ ὅμως τὴν κοινὴ συμφορὰ τῶν Ἐκκλησιῶν καὶ τὸ ναυάγιο ποὺ βρῆκε τὴν οἰκουμένη, καὶ παρακαλῶ ὅλους σας νὰ

βοηθεῖν, ὥστε τὴν πανωλεθρίαν ταύτην λυθῆναί ποτε καὶ εἰς λευκὴν ἅπαντα μεταβαλεῖν γαλήνην. Τοῦτο δὴ ποιοῦντες μὴ διαλίπητε. Λανθάνοντες γὰρ καὶ κρυπτόμενοι, πλείονα σχολὴν ἔχετε νῦν προσκαρτερεῖν ταῖς εὐχαῖς καὶ μετὰ θλιβομένης διανοίας. Οὐ μικρὸν δὲ τοῦτο, τῷ φιλανθρώπῳ προσπίπτειν Θεῷ.

Μὴ διαλίπητε οὖν τοῦτο ποιοῦντες, καὶ ἡνίκα ἂν ἐξῇ, καὶ γράφετε ἡμῖν συνεχῶς. Εἰ γὰρ καὶ πολλῷ τῷ μήκει τῆς ἐμμελείας ὑμῶν ἀπῳκίσθημεν, ἀλλ' οὐ παυόμεθα καθ' ἑκάστην ἡμέραν μεριμνῶντες τὰ ὑμέτερα καὶ τοὺς ἐκεῖθεν ἀφικνουμένους (εἰ καὶ τούτων σπανιάκις ἐπιτυγχάνομεν) ἐρωτῶντες καὶ περιεργαζόμενοι.

Ἵν' οὖν σαφέστερον πάντα εἰδότες ὦμεν, ὅταν ἐγχωρῇ, παρέχετε ταύτην ἡμῖν τὴν χάριν, περὶ τῆς ὑγιείας τῆς ὑμετέρας εὐαγγελιζόμενοι ἡμᾶς, ἵνα, καὶ ἐν ἐρημίᾳ διατρίβοντες, πολλὴν καρπωσώμεθα τὴν παράκλησιν.

ΡΙΔ'

ΕΛΠΙΔΙΩι ΕΠΙΣΚΟΠΩι

Καὶ τοῦτο σόν, τοῦτο νήφοντος καὶ ἐγρηγορότος κυβερνήτου, τὸ μηδὲ εἰς τοσοῦτον ἀρθέντος τοῦ χειμῶνος ἀναπεσεῖν, ἀλλ' ἐπιμένειν ἔτι μεριμνῶντα καὶ φροντίζοντα καὶ κατὰ τὸ ἐγχωροῦν τὰ ἑαυτοῦ πάντα εἰσφέροντα, πανταχοῦ διὰ τῶν γραμμάτων περιτρέχοντα, τοὺς ἐγγύς, τοὺς πόρρωθεν συγκροτοῦντα, διεγείροντα, παρεγγυῶντα μηδένα τῷ κλυδωνίῳ παρασυρῆναι, ἀλλ' ἑστάναι καὶ νήφειν, κἂν μυρία τούτων ἐπίῃ χαλεπώτερα κύματα, καὶ ἐν ἑνὶ ἱδρυμένων τόπῳ, πανταχοῦ διὰ τῆς παραινέσεως ἵπτασθαι. Οὐδὲν γὰρ ἡμᾶς ἔλαθε τῶν σῶν, καίτοι ἐκ τοσούτου καθημένους διαστήματος.

Διὸ καὶ μακαρίζομεν καὶ θαυμάζομέν σου τὴν εὐλάβειαν καὶ τὴν διεγηγερμένην ψυχὴν καὶ τὴν ἀπερίτρεπτον γνώμην καὶ τὴν ἐν

---

1. Γιὰ τὴν κατάπαυση τῶν δεινῶν ποὺ βρῆκαν τὴν «οἰκουμενικὴ Ἐκκλησία», ὁ ἱ. Χρυσόστομος δὲν παύει νὰ παρακαλεῖ τοὺς ἀποδέκτες τῶν ἐπιστολῶν του νὰ προσεύχονται στὸν φιλάνθρωπο Θεό. Παρβλ. καὶ *Ἐπιστολὴ* 55, 92 κ.ἄ.

βοηθεῖτε μὲ προσευχές, ὥστε κάποτε νὰ καταπαύσει αὐτὴ ἡ πανωλεθρία καὶ νὰ μεταβάλει τὰ πάντα σὲ γαλήνη γεμάτη χαρά. Μὴ παραλείπετε λοιπὸν αὐτὸ νὰ τὸ κάνετε. Γιατί, καθὼς διαφεύγετε τὴν προσοχὴ καὶ κρύβεσθε, ἔχετε περισσότερο τώρα χρόνο νὰ ἐπιμένετε στὶς προσευχὲς μὲ καρτερία καὶ μὲ θλιμμένη διάνοια. Καὶ δὲν εἶναι λίγο αὐτό, τὸ νὰ ἱκετεύετε τὸν φιλάνθρωπο Θεό[1].

Μὴ παραλείπετε λοιπὸν νὰ τὸ κάνετε αὐτὸ καί, ὅταν εἶναι δυνατό, νὰ μοῦ γράφεις συνεχῶς. Γιατί, ἂν καὶ μεταφέρθηκα σὲ μακρινὴ ἀπὸ τὴ χάρη σου ἀπόσταση, ὅμως δὲν παύω κάθε μέρα νὰ ἐνδιαφέρομαι γιὰ σένα καὶ νὰ ἐρωτῶ αὐτοὺς ποὺ ἔρχονται ἀπὸ ἐκεῖ (ἂν καὶ σπάνια τοὺς πετυχαίνω) καὶ νὰ ζητῶ λεπτομερεῖς πληροφορίες.

Γιὰ νὰ εἶμαι λοιπὸν γιὰ ὅλα καλύτερα πληροφορημένος, ὅταν εἶναι δυνατόν, κάνε μου αὐτὴ τὴ χάρη, ἀναφέροντάς μου τὰ εὐχάριστα νέα τῆς ὑγείας σου, ὥστε καὶ ἐδῶ στὴν ἐρημιὰ ποὺ βρίσκομαι νὰ δοκιμάζω πολλὴ παρηγοριά.

114

ΣΤΟΝ ΕΠΙΣΚΟΠΟ ΕΛΠΙΔΙΟ[1]

Καὶ αὐτὸ εἶναι γνώρισμα δικό σου, γνώρισμα νηφάλιου καὶ ἐπάγρυπνου κυβερνήτη, τὸ νὰ μὴ ἀποθαρρύνεται, ἂν καὶ ἡ θεομηνία ἔφθασε σὲ τέτοιο σημεῖο, ἀλλὰ νὰ ἐπιμένει ἀκόμα μεριμνώντας καὶ φροντίζοντας καί, ὅσο εἶναι δυνατόν, νὰ συνεισφέρει ὅλα ὅσα ἐξαρτῶνται ἀπὸ αὐτὸν τρέχοντας μὲ γράμματα παντοῦ, συγκροτώντας καὶ τονώνοντας αὐτοὺς ποὺ βρίσκονται κοντὰ καὶ αὐτοὺς ποὺ βρίσκονται μακριά, παρακινώντας τους νὰ μὴ παρασυρθεῖ κανεὶς ἀπὸ τὴν ταραχή, ἀλλὰ νὰ στέκονται ὄρθιοι καὶ νὰ εἶναι ἐπάγρυπνοι, καὶ ἂν ἀκόμα παρουσιασθοῦν μύριες φορὲς φοβερότερα ἀπὸ αὐτὰ τὰ κύματα, μένοντας σ' ἕνα τόπο, νὰ πετοῦν παντοῦ μὲ τὴν παραίνεση. Γιατὶ τίποτε ἀπὸ τὰ δικά σου δὲν μοῦ διέφυγε, ἂν καὶ βρίσκομαι σὲ τόσο μεγάλη ἀπόσταση.

Γι αὐτὸ καὶ σὲ μακαρίζω καὶ θαυμάζω τὴν εὐλάβεια καὶ τὴν ἐπάγρυπνη ψυχή σου, καθὼς καὶ τὴν ἀμετάβλητη γνώμη σου καὶ

1. Ὁ Ἐλπίδιος ἦταν ἐπίσκοπος Λαοδικείας.

τοσούτῳ γήρᾳ νεάζουσαν προθυμίαν· καὶ οὐδὲν ἀπεικός. Ὅταν μὲν γὰρ τὰ προκείμενα τῆς τοῦ σώματος δέηται ρώμης, κώλυμα ἐνταῦθα τὸ γῆρας γίνεται, ὅταν δε ψυχῆς ἀπαιτῇ φιλοσοφίαν, οὐδὲν ἡ πολιὰ τοῖς κατορθώμασιν ἐπισκοπεῖν εἴωθεν· οὐ τοίνυν οὐδὲ ἐπεσκότησεν, ἀλλ' ἅπαντα παρὰ τῆς σῆς εὐλαβείας εἰσενήνεκται. Ὅτι δὲ καὶ καρπὸν δώσει τὸν προσήκοντα ὁ πόνος οὗτος καὶ ἡ τοσαύτη ἀγρυπνία, οὐδὲν οἶμαι δεῖν ἀμφιβάλλειν.

Ἐπειδὴ δὲ μετὰ τῆς οἰκουμένης ἁπάσης καὶ ἡμετέραν μέριμναν κατεδέξω, διὰ τὴν πολλήν σου καὶ θερμὴν ἀγάπην, καὶ μαθεῖν ἐπιθυμεῖς οἶ διατρίβομεν καὶ ἐν τίσιν ὁρμᾷ τὰ ἡμέτερα καὶ τίνες οἱ συνόντες ἡμῖν, καὶ μαθεῖν οὐχ ἁπλῶς, ἀλλ' ὥστε καὶ χάριν αὐτοῖς εἰδέναι, ἡμεῖς μὲν ὑπὲρ τῆς τοσαύτης ἀγάπης οὐ παυσόμεθά σε ἀνακηρύττοντες, στεφανοῦντες, παρὰ πᾶσιν ἀναγορεύοντες, χάριτας ὁμολογοῦντες παρὰ τοῖς ἐντυγχάνουσι καὶ συγγινομένοις ἡμῖν. Αὐτὸς δὲ τὰς μεγίστας ἀμοιβὰς καὶ μείζους τῶν πόνων ἀνάμενε παρὰ τοῦ φιλανθρώπου Θεοῦ, τοῦ ταῖς ἀντιδόσεσιν ἐκ πολλοῦ τοῦ περιόντος νικῶντος τοὺς ἀγαθόν τι ποιεῖν ἢ λέγειν ἐσπουδακότας.

Ὥστε δέ σε καὶ ἑτέρωθεν ἡσθῆναι μαθόντα τὰ ἡμέτερα, πρὸς μὲν τὸν ἐρημότατον χωρίον ἀπῳκίσθημεν, τὴν Κουκουσόν, πλὴν ἐρημίας οὐδεμίαν αἴσθησιν ἔχομεν· τοσαύτης ἀπολαύομεν ἡσυχίας, τοσαύτης ἀδείας, τοσαύτης παρὰ πάντων θεραπείας. Τά τε γὰρ λείψανα τῆς ἀρρωστίας εὐχαῖς ταῖς σαῖς ἀπεθέμεθα καὶ ἐν ὑγείᾳ διάγομεν νῦν, τοῦ τε φόβου τῶν Ἰσαύρων ἀπηλλάγημεν καὶ ἐν ἀσφαλείᾳ κατέστημεν, ἀπραγμοσύνῃ τε ἐντρυφῶντες πολλῇ. Πάρεισι δὲ ἡμῖν καὶ οἱ τιμιώτατοι πρεσβύτεροι Κωνστάντιος καὶ Εὐήθιος, προσδοκῶνται δὲ καὶ ἕτεροι ταχέως ἀφίξεσθαι, οὓς εἰς τὸ παρὸν τὰ δεσμὰ κατεῖχεν· ἀλλὰ πάντες ἀφέθησαν καὶ εὖ οἶδ' ὅτι πτήσονται πρὸς ἡμᾶς.

Μὴ δὴ διαλίπῃς εὐχόμενος ὑπὲρ ἡμῶν τῶν σφόδρα σε ἀγαπώντων, δέσποτα αἰδεσιμώτατε καὶ θεοφιλέστατε, καὶ συνεχῶς ἐπιστέλλων, ἡνίκα ἂν ἐξῇ, καὶ τὰ περὶ τῆς ὑγείας δηλῶν τῆς σῆς. Οἶσθα γὰρ ὅπως ἡμῖν περισπούδαστον καθ' ἑκάστην, εἰ οἷόν τε,

---

2. Τὴν ἀποκατάσταση τῆς ὑγείας του τὴν ἀποδίδει στὶς προσευχὲς τοῦ ἐπισκόπου, πρὸς τὸν ὁποῖο, κατὰ τὴ συνήθειά του, θὰ εἶχε γράψει ὁ ἱερὸς Χρυσόστομος νὰ παρακαλεῖ τὸ Θεό. (Βλ. καὶ *Ἐπιστολὴ* 93).

τὴν σὲ τόσο βαθειὰ γηρατειὰ σφριγηλή σου διάθεση. Καὶ αὐτὸ καθόλου παράλογο. Γιατὶ συνήθως, ὅταν αὐτά, γιὰ τὰ ὁποῖα γίνεται λόγος, ἀπαιτοῦν σωματικὴ δύναμη, τὰ γηρατειὰ στὴν περίπτωση αὐτὴ γίνονται ἐμπόδιο. Ὅταν ὅμως ἀπαιτοῦν σθένος ψυχικό, τότε τὰ γηρατειὰ δὲν συνηθίζεται νὰ παρεμποδίζουν σὲ τίποτε τὰ κατορθώματα. Ἡ εὐλάβειά σου λοιπὸν ὄχι μόνο δὲν τὰ παρεμπόδισε, ἀλλὰ πρόσφερε τὰ πάντα. Ὅτι ὁ κόπος σου αὐτὸς καὶ ἡ τόση ἀγρυπνία θὰ δώσει τοὺς ἀνάλογους καρπούς, νομίζω πὼς καθόλου δὲν πρέπει νὰ ἀμφιβάλλει κανείς.

Ἐπειδὴ ὅμως μαζὶ μὲ ὅλη τὴν οἰκουμένη, ἀπὸ τὴν πολλὴ καὶ θερμή σου ἀγάπη, ἀνάλαβες καὶ τὴ δική μου φροντίδα, καὶ ἐπιθυμεῖς νὰ μάθεις ποῦ διαμένω, μὲ τί καταγίνομαι καὶ ποιοί βρίσκονται μαζί μου, καὶ δὲν θέλεις ἁπλῶς νὰ μάθεις, ἀλλὰ γιὰ νὰ τοὺς ἐκφράσεις τὴν εὐγνωμοσύνη σου, ἐγὼ γιὰ τὴν τόση σου ἀγάπη δὲν θὰ παύσω νὰ σὲ ἀνακηρύσσω, νὰ σὲ στεφανώνω, νὰ σὲ προβάλλω σὲ ὅλους καὶ νὰ ἐκφράζω τὶς εὐχαριστίες μου σ' ὅσους συναντῶ καὶ σ' ὅσους εἶναι μαζί μου. Ἐσὺ ὅμως τὶς μέγιστες ἀμοιβὲς καὶ μεγαλύτερες ἀπὸ τοὺς κόπους σου περίμενέ τις ἀπὸ τὸν φιλάνθρωπο Θεό, ὁ ὁποῖος στὶς ἀνταποδόσεις ὑπερνικᾶ κατὰ πολὺ ἐκείνους ποὺ προθυμοποιήθηκαν νὰ κάνουν ἢ νὰ ποῦν κάτι τὸ καλό.

Γιὰ νὰ εὐχαριστηθεῖς ὅμως καὶ ἀπὸ ἄλλη πλευρὰ μαθαίνοντας τὰ δικά μου, σοῦ γνωρίζω ὅτι ἔχω ἐξορισθεῖ σ' ἕνα πολὺ ἔρημο χωριό, τὴν Κουκουσό, ἀλλὰ δὲν ἔχω αἴσθηση τῆς ἐρημιᾶς, ἀφοῦ ἔχω τόση ἡσυχία, τόση ἄνεση, τόση περιποίηση ἀπὸ ὅλους. Γιατὶ καὶ τὰ κατάλοιπα τῆς ἀρρώστιας μὲ τὶς προσευχές σου[2] τὰ ἀπέβαλα καὶ ζῶ τώρα ὑγιής, καὶ ἀπὸ τὸν φόβο τῶν Ἰσαύρων ἀπαλλαχτήκαμε καὶ σὲ ἀσφάλεια βρισκόμαστε καὶ ἀπολαμβάνομε μεγάλη ἡσυχία. Ἐπίσης παρευρίσκονται κοντά μου καὶ οἱ ἐντιμότατοι πρεσβύτεροι Κωνστάντιος καὶ Εὐήθιος, καὶ ἀναμένονται νὰ ἔρθουν σύντομα καὶ ἄλλοι, οἱ ὁποῖοι μέχρι τώρα ἦταν δέσμιοι, ἀλλὰ ὅλοι ἐλευθερώθηκαν καὶ γνωρίζω καλὰ ὅτι θὰ πετάξουν πρὸς ἐμένα.

Μὴ παραλείπεις λοιπὸν νὰ προσεύχεσαι γιὰ μένα ποὺ πολὺ σὲ ἀγαπῶ, πολυσέβαστε καὶ θεοφιλέστατε δεσπότη μου, καὶ νὰ μοῦ γράφεις συνεχῶς, ὅταν εἶναι δυνατόν, καὶ νὰ μοῦ γνωρίζεις τὰ τῆς ὑγείας σου. Γιατὶ γνωρίζεις πόσο πολὺ σπουδαῖο εἶναι γιὰ μένα, ἂν

ἡμέραν περὶ ταύτης μανθάνειν. Τὸν δεσπότην μου τὸν τιμιώτατον καὶ εὐλαβέστατον πρεσβύτερον Ἀσυγκρίτιον, μετὰ τῶν γλυκυτάτων αὐτοῦ παιδίων, καὶ πάντα σου τῆς θεοσεβείας τὸν κλῆρον πολλὰ παρ' ἡμῶν προσειπεῖν παρακλήθητι.

ΡΙΕ'

ΘΕΟΦΙΛΩι ΠΡΕΣΒΥΤΕΡΩι

Καὶ τοῦτο τῆς εὐγνωμοσύνης καὶ τῆς σῆς εὐχαρίστου σου γνώμης, τὸ μηδενὸς ἀπολελαυκότα παρὰ τούτων, οἷς σε παρακατεθέμεθα, τὸ πᾶν ἀπειληφέναι νομίζειν ἀπὸ τῆς ἡμετέρας προθυμίας. Ἀλλ' ἡμεῖς οὐκ ἀρκεσθησόμεθα τούτῳ, ἀλλὰ καὶ τῷ κυρίῳ μου Θεοδώρῳ τῷ ἐπαρχικῷ, τῷ ἀγαγόντι ἡμᾶς εἰς τὴν Κουκουσόν, πολλὰ ταύτης ἕνεκεν διελέχθημεν τῆς ὑποθέσεως, καὶ πολλοῖς ἐπιστέλλοντες καὶ ταῦτα ἐπεστάλκαμεν. Ἄν τε γοῦν γένηταί τι ἀπὸ τῶν γραμμάτων πλέον τῶν ἡμετέρων, ἄν τε γράμματα μένῃ μόνον τὰ γράμματα, μηδὲν ἀνύσαντα παρὰ τοῖς ἀποδεχομένοις αὐτά, διὰ ταχέων ἡμῖν δηλῶσαι σπούδασον. Καὶ γὰρ ἐν τούτῳ μάλιστα τὴν ἀγάπην σου θαυμάζομεν καὶ τοῦ θαρρεῖν ἡμῖν τοῦτο μέγιστον ποιούμεθα σημεῖον, τὸ καὶ περὶ τούτων ἡμῖν διαλέγεσθαι.

Δήλωσον τοίνυν ἡμῖν ἄν τε γένηταί τι πλέον, ἄν τε μηδέν, ἵν', ἂν μὲν τὸ πρότερον ᾖ, χάριτας ὁμολογήσωμεν τοῖς τὴν ἑαυτῶν ὠφεληκόσι ψυχήν· ἑαυτοῖς γὰρ μᾶλλον ἢ σοὶ χαριοῦνται τοῦτο ποιοῦντες· ἄν τε τὸ δεύτερον, ἑτέραν τινὰ ὁδὸν σύντομον καὶ εὐκολωτέραν ἐπινοήσωμεν, δι' ἧς πάντως πάσης ἀπολαύσῃ παραμυθίας, ὡς ἐν μηδεμιᾷ εἶναι στενοχωρίᾳ. Ἡμῖν γὰρ αὐτοῖς τὰ μέγιστα χαριούμεθα, τῆς εὐγενοῦς σου καὶ ἐλευθέρας οὕτω φροντίζοντες ψυχῆς. Καὶ γράφε συνεχῶς ἡμῖν, τὰ περὶ τῆς ὑγείας τῆς σῆς καὶ τῆς εὐδοκιμήσεως εὐαγγελιζόμενος.

---

1. Τὸ ἐνδιαφέρον τοῦ ἱ. Χρυσοστόμου καὶ γιὰ θέματα προσωπικὰ τῶν συνεργατῶν του δὲν εἶναι μικρότερο ἀπὸ τὸ ἐνδιαφέρον του γιὰ τὴν Ἐκκλησία γενικότερα. Ἔτσι, παρὰ τὶς κακουχίες καὶ ταλαιπωρίες ποὺ ὑπέφερε κατὰ τὴ διάρκεια τοῦ ταξιδιοῦ του γιὰ τὴν Κουκουσό, βρῆκε εὐκαιρία νὰ μιλήσει διὰ μακρῶν τὸ πρόβλημα ποὺ ἀπασχολοῦσε τὸν πρεσβύτερο Θεόφιλο, μὲ τὸν ἐπικεφαλῆς τῶν ὀργάνων ποὺ τὸν

εἶναι δυνατὸν κάθε μέρα νὰ μαθαίνω γι αὐτήν. Σὲ παρακαλῶ στὸν ἐντιμότατο καὶ εὐλαβέστατο δεσπότη μου, τὸν πρεσβύτερο Ἀσυγκρίτιο, μαζὶ μὲ τὰ τόσο γλυκὰ παιδιά του καὶ σ' ὅλο τὸν κλῆρο τῆς θεοσέβειάς σου, νὰ μεταβιβάσεις πολλοὺς χαιρετισμοὺς ἀπὸ μένα.

115

ΣΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟ ΘΕΟΦΙΛΟ

Καὶ αὐτὸ εἶναι χαρακτηριστικὸ τῆς εὐγνωμοσύνης καὶ τοῦ εὐγνώμονα χαρακτήρα σου, τὸ ὅτι, ἐνῶ δὲν κέρδισες τίποτε ἀπὸ αὐτοὺς στοὺς ὁποίους σὲ ἐμπιστεύθηκα, νομίζεις ὅτι ἀπόλαυσες τὸ πᾶν ἀπὸ τὴ δική μου διάθεση. Ὅμως ἐγὼ δὲν θὰ ἀρκεσθῶ σ' αὐτό, ἀλλὰ θὰ προσθέσω ὅτι καὶ μὲ τὸν κύριό μου Θεόδωρο τὸν ἐπαρχιακό, ποὺ μὲ ὁδήγησε στὴν Κουκουσό, εἴπαμε πολλὰ ἐξ ἀφορμῆς αὐτῆς τῆς ὑποθέσεως καὶ γράφοντας σὲ πολλοὺς τὰ ἔγραψα καὶ αὐτά. Ἂν λοιπὸν γίνει κάτι περισσότερο ἀπὸ τὰ γράμματα τὰ δικά μου, ἢ ἂν τὰ γράμματα μείνουν μόνο γράμματα, χωρὶς νὰ φέρουν καμμιὰ ὠφέλεια ἀπὸ αὐτοὺς ποὺ τὰ δέχθηκαν, φρόντισε νὰ μοῦ τὸ γνωστοποιήσεις γρήγορα. Γιατὶ καὶ σ' αὐτὸ θαυμάζω τὴν ἀγάπη σου καὶ τὸ θεωρῶ σὰν μεγάλο δεῖγμα τῆς ἐμπιστοσύνης ποὺ μοῦ ἔχεις, τὸ ὅτι καὶ γι' αὐτὸ συζητεῖς μαζί μου.

Πληροφόρησέ μου λοιπὸν ἂν γίνει κάτι περισσότερο ἢ ἂν δὲν γίνει τίποτε, ὥστε, ἂν συμβεῖ τὸ πρῶτο, νὰ εὐχαριστήσω αὐτοὺς ποὺ ὠφέλησαν τὴν ψυχή τους· γιατὶ περισσότερο τοὺς ἑαυτούς τους θὰ ὠφελήσουν κάνοντας αὐτό, παρὰ ἐσένα. Ἂν πάλι συμβεῖ τὸ δεύτερο, νὰ ἐπινοήσω κάποιο ἄλλο δρόμο σύντομο καὶ εὐκολότερο, μὲ τὸν ὁποῖο ὁπωσδήποτε θὰ βρεῖς κάθε παρηγοριά, ὥστε νὰ μὴ στενοχωριέσαι καθόλου. Γιατὶ σὲ μένα τὸν ἴδιο προσφέρω χαρά, φροντίζοντας ἔτσι γιὰ τὴν εὐγενικὴ καὶ ἐλεύθερη ψυχή σου. Καὶ γράφε μου συνεχῶς ἀναγγέλλοντάς μου τὰ τῆς ὑγείας σου καὶ τὰ εὐχάριστα νέα τῆς ἐπιτυχίας[1].

ὁδηγοῦσαν στὸν τόπο τῆς ἐξορίας του Θεόδωρο. Ἀλλὰ δὲν ἀρκέστηκε μόνο σ' αὐτό. Ἔγραψε καὶ σὲ πολλὰ ἄλλα πρόσωπα γιὰ τὴ ἴδια ὑπόθεση, καὶ ζητᾶ τώρα ἀπὸ τὸ Θεόφιλο νὰ τοῦ γράψει, ἂν ἐπετεύχθηκε κάτι, γιὰ νὰ ἐνεργήσει ἀνάλογα. Βλ. καὶ τὴν *Ἐπιστ.* 117, ὅπου μεσολαβεῖ γιὰ τὴ διευθέτηση κι ἄλλου προσωπικοῦ ζητήματος.

ΡΙS'

ΒΑΛΕΝΤΙΝΩι

Τί τοῦτο; Εἰδὼς ὅπως σου χαίρομεν τοῖς ἀγαθοῖς καὶ σκιρτῶμεν ἐπὶ ταῖς σαῖς εὐδοκιμήσεσι, καὶ πρὸ πάντων ὀφείλων ἡμῖν δηλῶσαι τῆς τιμῆς τὸ μέγεθος, εἰς ὃ νῦν ἀνέβης, ὑπέμεινας ἡμᾶς πρότερον παρ' ἑτέρων μαθεῖν τοῦτο, καὶ οὐ νομίζεις δεῖσθαί σοι πολλῆς εἰς τοῦτο ἀπολογίας, ὅτι ἠνέσχου, τό γε σὸν μέρος, τοσοῦτον χρόνον ἡμᾶς ζημιῶσαι εὐφροσύνης μέγεθος τηλικοῦτον; Τὸ μὲν γὰρ ἀξίωμά σου τὸ ἀληθὲς καὶ ἡ μεγίστη σου ἀρχή, τῆς ψυχῆς σου ἐστιν ἡ ἀρετή. Ἀλλ' ἐπειδὴ καὶ τούτοις τοῖς βιωτικοῖς εἰς τὴν ἐκείνης ὠφέλειαν κεχρῆσθαι μεμελέτηκας καὶ ὅσῳ ἂν γένῃ δυνατώτερος, τοσούτῳ λιμὴν εὐρύτερος τοῖς δεομένοις καθίστασαι, διὰ τοῦτο νῦν χαίρομεν καὶ σκιρτῶμεν, ἀλλ' ὅμως οὐκ ἀφίεμέν σε τοῦ τῆς σιγῆς ἐγκλήματος.

Πῶς οὖν ἡμῖν ἀπολογήσῃ καλῶς; Τῇ πυκνότητι τῶν ἐπιστολῶν καὶ τῷ συνεχῶς τὰ περὶ τῆς ὑγείας ἡμῖν δηλοῦν τῆς σῆς καὶ τοῦ οἴκου σου παντός. Ἐπεὶ οὖν σε καὶ τὸν τρόπον τῆς ἀπολογίας ἐδιδάξαμεν, προστίθει τὰ παρὰ σαυτοῦ λοιπόν. Εἰ γὰρ καὶ μετὰ τὴν ἐπιστολὴν ταύτην μένεις σιγῶν, γραψόμεθα σε ῥᾳθυμίας πολλῆς καὶ ἀλγήσομεν. Οἶδα δὲ σαφῶς ὅτι πικροτάτην ταύτην ἡγήσῃ διδόναι δίκην, τὸ ἀλγεῖν ἐπὶ τούτοις ἡμᾶς, ἐπειδὴ οἶδα πῶς καὶ φιλεῖν ἡμᾶς γνησίως καὶ θερμῶς ἐσπούδακας.

ΡΙΖ'

ΘΕΟΔΩΡΑι

Γράφω μὲν ὀλιγάκις τῇ κοσμιότητί σου, διὰ τὸ μὴ ῥᾳδίως ἐπιτυγχάνειν τῶν κομιζόντων τὰ γράμματα· μέμνημαι δέ σου οὐκ ὀλιγάκις, ἀλλὰ καὶ διηνεκῶς. Τὸ μὲν γὰρ ἐφ' ἡμῖν κεῖται, τὸ δὲ οὐκ ἐφ' ἡμῖν· ἀλλὰ τοῦ μὲν μεμνῆσθαι διηνεκῶς, αὐτοὶ κύριοι, τοῦ δὲ κομίζειν τὰς ἐπιστολάς, οὐκ ἔτι. Διὰ τοῦτο τὸ μὲν ἀεὶ γίνεται, τὸ δέ, ἡνίκα

116

ΣΤΟΝ ΒΑΛΕΝΤΙΝΟ

Γιατί αὐτό; Ἐνῶ γνωρίζεις πόσο χαίρομαι γιὰ τὰ εὐχάριστά σου καὶ σκιρτῶ γιὰ τὶς προόδους σου, καὶ ἐνῶ ὄφειλες νὰ μοῦ ἀναφέρεις πρὶν ἀπὸ ὅλους τὸ μεγάλο ἀξίωμα στὸ ὁποῖο ἔφθασες, περίμενες νὰ τὸ μάθω πρῶτα ἀπὸ ἄλλους καὶ δὲν νομίζεις ὅτι χρειάζεσαι μεγάλη ἀπολογία γι αὐτό, ὅτι δηλαδὴ ἀνέχθηκες, ὅσο ἐξαρτῶταν ἀπὸ σένα, νὰ μοῦ στερήσεις τόσο χρόνο ἀπὸ μιὰ τόσο μεγάλη εὐφροσύνη; Βέβαια τὸ ἀληθινό σου ἀξίωμα καὶ ἡ πιὸ μεγάλη σου ἐξουσία εἶναι ἡ ἀρετὴ τῆς ψυχῆς σου. Ἐπειδὴ ὅμως ἔχεις φροντίσει ἀκόμα καὶ αὐτὰ τὰ κοσμικὰ νὰ τὰ χρησιμοποιεῖς γιὰ τὴν ὠφέλεια ἐκείνης, καὶ ὅσο δυνατώτερος συμβεῖ νὰ γίνεις, τόσο εὐρύτερο λιμάνι γιὰ ὅσους ἔχουν ἀνάγκη γίνεσαι, γι' αὐτὸ τώρα χαίρομαι καὶ σκιρτῶ, ἀλλ' ὅμως δὲ σὲ συγχωρῶ γιὰ τὸ ἔγκλημα τῆς σιωπῆς.

Μὲ ποιό τρόπο λοιπὸν θὰ ἀπολογηθεῖς σὲ μένα καλῶς; Μὲ τὴν πυκνότητα τῶν ἐπιστολῶν καὶ μὲ τὸ νὰ μοῦ γνωρίζεις συνεχῶς τὴν κατάσταση τῆς ὑγείας τῆς δικῆς σου καὶ ὁλόκληρου τοῦ σπιτιοῦ σου. Ἀφοῦ λοιπὸν σοῦ ὑπέδειξα καὶ τὸν τρόπο τῆς ἀπολογίας, κάνε στὸ ἑξῆς τὸ χρέος σου. Γιατί, ἂν καὶ μετὰ ἀπὸ αὐτὴ τὴν ἐπιστολὴ ἐξακολουθήσεις νὰ σιωπᾶς, θὰ σοῦ καταλογίσω μεγάλη ἀδιαφορία καὶ θὰ πονέσω πολύ. Καὶ γνωρίζω καλὰ ὅτι θὰ θεωρήσεις πάρα πολὺ πικρὴ τιμωρία τὸ νὰ πονέσω ἐγὼ γι' αὐτά, γιατὶ ξέρω πόσο φρόντισες νὰ μὲ ἀγαπᾶς γνήσια καὶ θερμά.

117

ΣΤΗ ΘΕΟΔΩΡΑ

Γράφω βέβαια σπάνια στὴ σεμνότητά σου, ἐπειδὴ δὲν πετυχαίνω εὔκολα τοὺς γραμματοκομιστές, ὅμως δὲ σὲ θυμᾶμαι σπάνια, ἀλλὰ διαρκῶς. Γιατὶ τὸ ἕνα ἐξαρτᾶται ἀπὸ μένα, ἐνῶ τὸ ἄλλο ὄχι. Τοῦ νὰ σὲ θυμᾶμαι δηλαδὴ διαρκῶς εἶμαι κύριος ἐγώ, τοῦ νὰ φέρνω ὅμως τὶς ἐπιστολὲς ὄχι πιά. Γι' αὐτὸ τὸ ἕνα γίνεται πάντοτε, ἐνῶ τὸ

ἂν ἐξῇ. Τὰς μὲν οὖν ἄλλας ἐπιστολὰς πρόσρησιν ἐχούσας ἐπέμπομεν, ταύτην δὲ καὶ χάριτος αἴτησιν. Τίς δὲ ἡ χάρις; Σοὶ τῇ παρεχούσῃ μᾶλλον ἢ τῷ δεχομένῳ τὸ κέρδος φέρουσα καὶ πρὸ τοῦ λαμβάνοντος τὸν διδόντα ὠφελοῦσα.

Καὶ γὰρ ἦλθεν εἰς ἡμᾶς, ὅτι δὴ Εὐστάθιος τῶν προσκεκρουκότων ἐστὶ τῇ τιμιότητί σου καὶ τῆς οἰκίας τῆς σῆς ἐξέπεσε καὶ ἀπὸ ὄψεως γέγονεν. Ὅπως μὲν οὖν ἔχει τοῦ πράγματος ἡ φύσις καὶ τίνος ἕνεκεν τοσαύτην ὑπέμεινεν ὀργήν, εἰπεῖν οὐκ ἔχω· ἐκεῖνο γὰρ ἔγνων μόνον· ἃ δὲ χρή σε παρ' ἡμῶν ἀκοῦσαι τῶν σφόδρα σου τῆς σωτηρίας ἀντεχομένων, ἐστὶ ταῦτα. Οἶσθα ὡς οὐδὲν ὁ παρὼν βίος, ἀλλ' ἢ ἄνθη μιμεῖται ἠρινὰ καὶ σκιὰς ἀδρανεῖς καὶ ὀνειράτων ἐστὶν ἀπάτη· τὰ δὲ ἀληθῆ πράγματα καὶ πεπηγότα καὶ ἀμετακίνητα, τὰ μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν ἡμᾶς διαδεξόμενά ἐστι. Ταῦτα καὶ παρ' ἡμῶν πολλάκις ἤκουσας, καὶ οἴκοθεν φιλοσοφοῦσα διατελεῖς. Διόπερ οὐδὲ μακρὰν ποιοῦμαι τὴν ἐπιστολήν, ἀλλ' ἐκεῖνό φαμεν· εἰ μὲν ἀδίκως τινὲς ἐπηρεάσαντες ἐξέβαλον, αἰδουμένη τοῦ δικαίου τὴν φύσιν, διόρθωσον τὸ γεγενημένον· εἰ δὲ δικαίως, τοὺς τῆς φιλανθρωπίας τιμῶσα νόμους, τὸ αὐτὸ δὴ τοῦτο πάλιν ποίησον, ἔνθα καὶ αὐτὴ τὸ πλέον καρπώσῃ μᾶλλον ἢ ἐκεῖνος. Ὥσπερ γὰρ ὁ τὸν ὁμόδουλον ἀπαιτῶν τὰ ἑκατὸν δηνάρια, οὐκ ἐκεῖνον τοσοῦτον ἔβλαψεν, ὅσον ἑαυτῷ καιρίαν ἔδωκε τὴν πληγήν, διὰ τῆς πρὸς τὸν σύνδουλον ἀκριβολογίας μυρίων ταλάντων συγχώρησιν ἀνατρέψας, οὕτως ὁ παρατρέχων τὰ τοῦ πλησίον ἁμαρτήματα ἡμερωτέρας ἑαυτῷ ποιεῖ τὰς ἐν τῷ μέλλοντι εὐθύνας, καὶ ὅσῳ ἂν μείζονα τὰ ἁμαρτήματα ἀφῇ, τοσούτῳ καὶ αὐτὸς πλείονος τεύξεται τῆς συγχωρήσεως. Οὐ ταύτῃ δὲ μόνον ἐστὶ τὸ διάφορον, ἀλλὰ καὶ τῷ δουλικὴν διδόντα χάριν, δεσποτικὴν λαμβάνειν δωρεάν.

Μὴ τοίνυν μοι λέγε, ὅτι τὸ καὶ τὸ αὐτῷ πεπλημμέληται. Ὅσῳ γὰρ ἂν δείξῃς χαλεπώτερα τὰ γεγενημένα, τοσούτῳ τῆς συγχωρήσεως ἀναγκαιοτέρας ἀποφαίνεις τὴν πρόφασιν, ἐπειδήπερ πολλῷ

---

1. Καὶ ἄλλη μεσολάβηση τοῦ Χρυσοστόμου γιὰ τὴ διευθέτηση προσωπικοῦ ζητήματος τοῦ Εὐσταθίου. Τὸ περιεχόμενο τῆς ἐπιστολῆς αὐτῆς θυμίζει πολὺ τὴν *Πρὸς Φιλήμονα* ἐπιστολὴ τοῦ Παύλου.

ἄλλο, ὅταν εἶναι δυνατό. Τὶς ἄλλες λοιπὸν ἐπιστολὲς τὶς ἔγραφα στέλνοντας χαιρετισμούς, αὐτὴν ὅμως καὶ γιὰ νὰ σοῦ ζητήσω κάποια χάρη[1]. Ποιά εἶναι ἡ χάρη; Εἶναι ἐκείνη ποὺ φέρνει κέρδος περισσότερο σὲ σένα ποὺ τὴν προσφέρεις, παρὰ σ' ἐκεῖνον ποὺ τὴ δέχεται καὶ πρὶν ἀπὸ ἐκεῖνον ποὺ τὴν παίρνει ὠφελεῖ ἐκεῖνον ποὺ τὴ δίνει.

Ἔφθασε σὲ μένα ἡ πληροφορία ὅτι ὁ Εὐστάθιος εἶναι ἕνας ἀπὸ αὐτοὺς ποὺ συγκρούσθηκαν μὲ τὴν ἐντιμότητά σου καὶ ἐκδιώχθηκε ἀπὸ τὸ σπίτι σου καὶ ἐξαφανίστηκε. Βέβαια δὲν εἶμαι σὲ θέση νὰ γνωρίζω πῶς ἀκριβῶς ἔγιναν τὰ πράγματα καὶ γιὰ ποιά αἰτία δέχτηκε τόση τιμωρία. Γιατὶ ἐγὼ αὐτὸ μόνο γνωρίζω. Αὐτὰ ὅμως ποὺ πρέπει νὰ ἀκούσεις ἀπὸ μένα, ποὺ ἐνδιαφέρομαι πάρα πολὺ γιὰ τὴ σωτηρία σου, εἶναι τὰ ἑξῆς. Γνωρίζεις ὅτι ἡ παρούσα ζωὴ δὲν εἶναι τίποτε ἄλλο, ἀλλὰ μοιάζει μὲ ἀνοιξιάτικα λουλούδια καὶ ἀδρανεῖς σκιὲς καὶ εἶναι ἀπατηλὴ ὅπως τὰ ὄνειρα· ἐνῶ τὰ ἀληθινὰ πράγματα καὶ τὰ πάγια καὶ ἀμετακίνητα εἶναι ἐκεῖνα ποὺ θὰ μᾶς διαδεχθοῦν μετὰ τὴν ἀποδημία μας ἀπὸ ἐδῶ. Αὐτὰ καὶ ἀπὸ μένα τὰ ἄκουσες πολλὲς φορὲς καὶ μόνη σου τὰ φιλοσοφεῖς. Γι' αὐτὸ καὶ δὲν μακραίνω τὴν ἐπιστολή, ἀλλὰ σοῦ λέω τὸ ἑξῆς· ἐὰν τὸν ἔδιωξαν κάποιοι ποὺ σὲ ἐπηρέασαν ἄδικα, σεβομένη τὸ δίκαιο διόρθωσε αὐτὸ ποὺ ἔγινε. Ἐὰν πάλι δίκαια ἔγινε ὅ,τι ἔγινε, ἐκτιμώντας τοὺς νόμους τῆς φιλανθρωπίας, κάνε πάλι τὸ ἴδιο, ἀπὸ τὸ ὁποῖο καὶ σὺ θὰ ὠφεληθεῖς περισσότερο παρὰ ἐκεῖνος. Γιατί, ὅπως ἐκεῖνος ποὺ ἀπαιτοῦσε ἀπὸ τὸν σύνδουλό του τὰ ἑκατὸ δηνάρια, δὲν ἔβλαψε τόσο ἐκεῖνον, ὅσο καίρια πλήγωσε τὸν ἴδιο τὸν ἑαυτό του[2], ἀφοῦ μὲ τὴν πρὸς τὸν σύνδουλό του τσιγγουνιά του ματαίωσε τὴ διαγραφὴ δέκα χιλιάδων ταλάντων, ἔτσι ἐκεῖνος ποὺ παραβλέπει τὶς ἁμαρτίες τοῦ πλησίον κάνει πιὸ ἐπιεικεῖς γιὰ τὸν ἑαυτό του τὶς μελλοντικὲς εὐθύνες, καὶ ὅσο πιὸ μεγάλα ἁμαρτήματα συγχωρήσει, τόσο μεγαλύτερης συγγνώμης θὰ ἀξιωθεῖ καὶ αὐτός. Καὶ δὲ εἶναι μόνο σ' αὐτὸ ἡ διαφορά, ἀλλὰ καὶ στὸ ὅτι, ἐνῶ δίνει χάρη σὲ δοῦλο, παίρνει δωρεὰ ἀπὸ τὸν δεσπότη.

Μὴ μοῦ πεῖς λοιπὸν ὅτι ἔκανε αὐτὸ κι αὐτὸ τὸ πλημμέλημα. Γιατὶ ὅσο πιὸ τρομερὰ παρουσιάσεις αὐτὰ ποὺ ἔγιναν, τόσο πιὸ ἀναγκαία θὰ κάνεις τὴ δικαιολογία τῆς συγχωρήσεως, ἐπειδὴ πολὺ

2. *Ματθ.* 18,28–35.

πλείονα φιλανθρωπίας ἐν τῷ μέλλοντι προαποθήσῃ σαυτῇ τὴν ὑπόθεσιν. Λῦσον τοίνυν τὴν ὀργήν, κἂν δικαία ᾖ, δάμασον λογισμῷ φιλοσόφῳ τὸν θυμόν, ἀνένεγκε τοῦτο θυσίαν τῷ Θεῷ· χάρισαι καὶ ἡμῖν τοῖς ἀγαπῶσί σε καὶ δεῖξον πῶς καὶ ἀπὸ βραχείας ἐπιστολῆς τοσαύτην ἔχομεν δύναμιν. Χάρισαι καὶ σαυτῇ τὰ μεγάλα ταῦτα, ἅπερ εἶπον ἐγώ, τὸ ἀτάραχον, τὸ ἐξοικίσαι τῆς ψυχῆς τὸν ἐντεῦθεν θόρυβον, τὸ μετὰ πολλῆς παρρησίας καὶ ἐντεῦθεν αἰτεῖν παρὰ τοῦ φιλανθρώπου Θεοῦ τὴν εἰς τὴν βασιλείαν εἴσοδον. Καὶ γὰρ μέγα καθάρσιον ἁμαρτημάτων ἡ εἰς τὸν πλησίον φιλοφροσύνη· «ἐὰν γὰρ ἀφῆτε τοῖς ἀνθρώποις», φησί, «τὰ παραπτώματα αὐτῶν, ἀφήσει καὶ ὑμῖν ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος».

Ταῦτ' οὖν ἅπαντα λογισαμένη πέμψον ἡμῖν ἐπιστολήν, δηλοῦσαν ὅ,τι ἤνυσαν τὰ γράμματα ἡμῶν. Τὸ μὲν γὰρ ἡμέτερον ἀπήρτισται καὶ πεποιήκαμεν οὗπέρ ἐσμεν κύριοι. Παρεκαλέσαμεν, ἐδεήθημεν, χάριν ᾐτήσαμεν, συνεβουλεύσαμεν ἅπερ ἐχρῆν. Πᾶσα δέ ἐστιν ὑπὲρ σοῦ λοιπὸν ἡ σπουδή. Ἡμῖν μὲν γὰρ ὁ μισθός, ἄν τε γένηταί τι πλέον, ἄν τε μὴ γένηται, τῆς παρακλήσεως ταύτης ἀποκείσεται (ἔστι γὰρ καὶ ῥημάτων λαβεῖν ἀμοιβήν), ὁ δὲ κάματος ἡμῖν ἅπας, διὰ τοῦ ἔργου καὶ τὴν σὴν κερδᾶναι κοσμιότητα καὶ ἀπὸ τῶν παρόντων κατορθωμάτων τὰ μέλλοντα καὶ ἀθάνατα ἀγαθὰ μετὰ πολλῆς καρπώσασθαι τῆς εὐκολίας.

ΡΙΗ'

ΕΠΙΣΚΟΠΟΙΣ ΚΑΙ ΠΡΕΣΒΥΤΕΡΟΙΣ ΤΟΙΣ ΕΝ ΤΗι ΦΥΛΑΚΗι

Δεσμωτήριον οἰκεῖτε καὶ ἅλυσιν περίκεισθε καὶ μετὰ τῶν αὐχμώντων καὶ ῥυπώντων ἐστὲ κατακεκλεισμένοι· καὶ τί ἂν γένοιτο μακαριώτερον ὑμῶν τούτων ἕνεκεν; Τί γὰρ τοιοῦτον στέφανος χρυσοῦς κεφαλῇ περικείμενος, οἷον ἅλυσις δεξιᾷ περιπλεκομένη διὰ τὸν Θεόν; Τί δὲ τοιοῦτον οἰκίαι περιφανεῖς καὶ μεγάλαι, οἷον δεσμωτήριον ζόφου καὶ ῥύπου γέμον καὶ πολλῆς καὶ ἀηδίας καὶ τῆς θλίψεως

3. Ματθ. 6,14.

περισσότερο απόθεμα φιλανθρωπίας στὸ μέλλον θὰ ἀποταμιεύσεις γιὰ τὸν ἑαυτό σου. Ἀπόβαλε λοιπὸν τὴν ὀργή, καὶ ἂν ἀκόμα εἶναι δίκαιη, ὑπόταξε μὲ φιλοσοφικὴ καρτερία τὸ θυμό, πρόσφερέ το αὐτὸ ὡς θυσία στὸ Θεό· δῶσε χαρὰ καὶ σὲ μένα ποὺ σὲ ἀγαπῶ καὶ δεῖξε μου ὅτι καὶ μὲ τὴν σύντομη ἐπιστολή μου ἔχω τόση δύναμη. Χάρισε καὶ στὸν ἑαυτό σου τὰ μεγάλα αὐτὰ ποὺ ἐγὼ σοῦ εἶπα, τὴν ἀταραξία, τὴν ἀπομάκρυνση ἀπὸ τὴν ψυχή σου τῆς ταραχῆς ποὺ προέρχεται ἀπὸ αὐτό, τὸ νὰ ζητεῖς καὶ ἀπὸ αὐτὸ μὲ πολλὴ παρρησία ἀπὸ τὸν φιλάνθρωπο Θεὸ τὴν εἴσοδο στὴ βασιλεία. Γιατὶ εἶναι μεγάλο καθαρτικὸ φάρμακο ἡ φιλοφροσύνη πρὸς τὸν πλησίον. Γιατὶ λέει, «ἐὰν συγχωρήσετε τοὺς ἀνθρώπους γιὰ τὰ παραπτώματά τους, θὰ συγχωρήσει κι ἐσᾶς ὁ οὐράνιος Πατέρας σας»[3].

Ἀφοῦ σκεφθεῖς λοιπὸν ὅλα αὐτά, στεῖλέ μου ἐπιστολή, ποὺ νὰ μὲ πληροφορεῖ ὅτι ὠφέλησαν τὰ γράμματά μου. Γιατὶ ὅ,τι ἐξαρτῶταν ἀπὸ μένα ἔγινε, καὶ ἔκανα αὐτὸ ποὺ μποροῦσα νὰ κάνω. Παρακάλεσα, ἱκέτευσα, ζήτησα χάρη, συμβούλευσα αὐτὰ ποὺ ἔπρεπε. Τώρα ὅλη ἡ φροντίδα ἀφήνεται σὲ σένα. Γιατὶ γιὰ μένα ὁ μισθὸς γιὰ τὴν παράκληση αὐτή, εἴτε γίνει κάτι περισσότερο εἴτε δὲν γίνει, θὰ μὲ περιμένει· γιατὶ εἶναι δυνατὸ νὰ λάβει κανεὶς ἀμοιβὴ καὶ γιὰ τὰ λόγια. Ὅμως ὅλος ὁ δικός μου κόπος ἔγινε γιὰ νὰ κερδίσω μὲ τὸ ἔργο αὐτὸ καὶ τὴ σεμνότητά σου, γιὰ νὰ ἀποκτήσεις μὲ μεγάλη εὐκολία ἀπὸ τὰ τωρινὰ κατορθώματα τὰ μελλοντικὰ καὶ ἀθάνατα ἀγαθά.

118

ΣΤΟΥΣ ΦΥΛΑΚΙΣΜΕΝΟΥΣ ΕΠΙΣΚΟΠΟΥΣ ΚΑΙ ΠΡΕΣΒΥΤΕΡΟΥΣ

Κατοικεῖτε στὴ φυλακὴ καὶ εἶστε ἁλυσοδεμένοι καὶ κλεισμένοι μαζὶ μὲ τοὺς ρυπαροὺς καὶ ἀκάθαρτους. Καὶ τί θὰ μποροῦσε νὰ ὑπάρξει μακαριώτερο ἀπὸ σᾶς ἐξαιτίας αὐτῶν; Γιατὶ τί ἀξία ἔχει στεφάνι χρυσὸ ποὺ εἶνει τοποθετημένο πάνω σὲ κεφάλι, μπροστὰ σὲ ἁλυσίδα κατάλληλα περιτυλιγμένη γιὰ τὸ Θεό; Ἢ τί ἀξίζουν σπίτια περίοπτα καὶ μεγάλα, μπροστὰ σὲ φυλακὴ γεμάτη σκοτάδι

διὰ τὴν αὐτὴν ὑπόθεσιν; Διὰ ταῦτα σκιρτᾶτε, ἀγάλλεσθε, στεφανοῦσθε, χορεύετε, ὅτι πολλῆς ἐμπορίας ὑμῖν ὑπόθεσις τὰ συμβάντα λυπηρά. Τοῦτο σπόρος ἄμητον προαναφωνῶν ἄφατον, τοῦτο παλαίσματα νίκην ἔχοντα καὶ βραβεῖα, τοῦτο πλοῦς ἐμπορίαν πολλὴν προξενῶν.

Ταῦτ' οὖν ἅπαντα ἀναλογισάμενοι, κύριοί μου τιμιώτατοι καὶ εὐλαβέστατοι, χαίρετε καὶ εὐφραίνεσθε, μὴ διαλίπητε τὸν Θεὸν ἐπὶ πᾶσι δοξάζοντες καὶ καιρίας τῷ διαβόλῳ διδόντες πληγὰς καὶ πολλὴν ἑαυτοῖς ἐν τοῖς οὐρανοῖς προαποτιθέμενοι τὴν ἀμοιβήν. «Οὐ γὰρ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλύπτεσθαι εἰς ὑμᾶς». Γράφετε δὲ καὶ ἡμῖν συνεχῶς. Σφόδρα γὰρ ἐπιθυμοῦμεν γράμματα δέχεσθαι παρ' ἀνθρώπων διὰ τὸν Θεὸν δεδεμένων, τὰ παθήματα ὑμῶν ἀπαγγέλοντα, καὶ πολλὴν ἐντεῦθεν, καὶ ἐν ἀλλοτρίᾳ διατρίβοντες, καρπωσόμεθα τὴν παράκλησιν.

ΡΙΘ'

ΘΕΟΦΙΛΩι ΠΡΕΣΒΥΤΕΡΩι

Οὐκοῦν ἐπειδή σοι θύραν ἀνέῳξα τοῦ γράφειν, δεῖξον ὡς οὐχ ὁ ὄκνος ἐποίει τὴν ἔμπροσθεν σιγήν, ἀλλὰ τὸ παρ' ἡμῶν ἀναμένειν λαβεῖν τοῦ γράφειν τὴν παρρησίαν, καὶ πέμπε νιφάδας ἡμῖν γραμμάτων, τὴν σὴν ἀπαγγελλόντων ἡμῖν εὐδοκίμησιν· οἶσθα γὰρ ὅπως αὐτῆς ἀντεχόμεθα· μηδὲ ἀφῇς τῆς ἀθυμίας τὴν τυραννίδα εἰς σιγήν σε ἐμβαλεῖν, ἀλλά, πάσης ἀράχνης εὐκολώτερον αὐτὴν διασπάσας, φαίνου λαμπρὸς ἐπὶ τῆς παρατάξεως καὶ τῇ πολλῇ παρρησίᾳ καὶ ἐλευθερίᾳ συγχέων τοὺς ἐναντίους. Νῦν γάρ ἐστι καιρὸς εὐδοκιμήσεως καὶ ἐμπορίας πολλῆς. Οὐδὲ γὰρ ἔμπορος, ἐν λιμένι καθήμενος, τὰ φορτία συνάγειν δύναιτ' ἄν, ἀλλὰ μακρὰ διαπερῶν πελάγη καὶ κυμάτων κατατολμῶν καὶ λιμῷ καὶ θηρίοις τοῖς ἐν πελάγει πυκτεύων καὶ πολλὰς ἑτέρας ὑπομένων δυσκολίας.

---

1. *Ρωμ.* 8,18.

καὶ ἀκαθαρσία καὶ πολλὴ ἀηδία καὶ θλίψη γιὰ τὸ ἴδιο λόγο; Γι' αὐτὰ νὰ σκιρτᾶτε, νὰ χαίρετε, νὰ στεφανώνεσθε, νὰ πανηγυρίζετε, γιατὶ τὰ θλιβερὰ αὐτὰ γεγονότα ἀποτελοῦν εὐκαιρία μεγάλου κέρδους. Αὐτὸ εἶναι σπόρος ποὺ προοιωνίζεται θερισμὸ ἀπερίγραπτο, αὐτὰ εἶναι ἀγῶνες ποὺ ἔχουν νίκη καὶ βραβεῖα, αὐτὸ εἶναι ταξίδι θαλασσινὸ ποὺ φέρνει πολὺ κέρδος.

Σκεπτόμενοι λοιπὸν ὅλα αὐτά, ἐντιμότατοι καὶ εὐλαβέστατοι κύριοί μου, χαίρετε καὶ εὐφραίνεσθε, καὶ μὴ παραλείπετε νὰ δοξάζετε γιὰ ὅλα τὸν Θεὸ καὶ νὰ δίνετε καίρια χτυπήματα στὸν διάβολο, ἀποταμιεύοντας ἀπὸ τώρα στοὺς οὐρανοὺς γιὰ τὸν ἑαυτό σας μεγάλη ἀμοιβή. «Γιατὶ ὅσα ὑποφέρουμε τώρα δὲν ἰσοσταθμίζουν τὴ δόξα ποὺ μᾶς ἐπιφυλάσσει ὁ Θεὸς στὸ μέλλον»[1]. Νὰ γράφετε καὶ σὲ μένα συνεχῶς. Γιατὶ ἐπιθυμῶ πάρα πολὺ νὰ παίρνω γράμματα ἀπὸ ἀνθρώπους ποὺ εἶναι δεμένοι γιὰ τὸ Θεό, ποὺ νὰ μοῦ κάνουν γνωστὰ τὰ παθήματά σας, γιὰ νὰ δοκιμάζω καὶ ἀπὸ αὐτά, ἂν καὶ βρίσκομαι σὲ ξένη χώρα, μεγάλη παρηγοριά.

119

ΣΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟ ΘΕΟΦΙΛΟ

Λοιπόν, ἀφοῦ σοῦ ἄνοιξα τὴν πόρτα νὰ γράφεις, δεῖξε ὅτι τὴν μέχρι τώρα σιωπὴ δὲν τὴν προκαλοῦσε ἡ ὀκνηρία, ἀλλὰ τὸ ὅτι περίμενες νὰ πάρεις ἀπὸ μένα τὸ θάρρος νὰ γράφεις, καὶ στέλνε μου πλῆθος γραμμάτων, ποὺ νὰ μοῦ ἀναγγέλλουν τὴν πρόοδό σου. Γιατὶ γνωρίζεις πόσο ἐνδιαφέρομαι γι' αὐτήν· οὔτε νὰ ἀφήσεις τὴν τυραννία τῆς λύπης νὰ σὲ ρίξει σὲ σιωπή, ἀλλά, ἀφοῦ τὴ διασπάσεις πιὸ εὔκολα καὶ ἀπὸ ἀράχνη, στάσου λαμπερὸς στὴν παράταξη τῆς μάχης καὶ μὲ πολὺ θάρρος καὶ ἐλευθερία ματαίωσε τὰ σχέδια τῶν ἀντιπάλων. Γιατὶ τώρα εἶναι καιρὸς γιὰ ἐπιτυχία καὶ πολὺ κέρδος. Οὔτε ἕνας ἔμπορος ἄλλωστε θὰ μποροῦσε νὰ συγκεντρώνει νὰ ἐμπορεύματα καθισμένος στὸ λιμάνι, ἀλλὰ διασχίζοντας ἀτέλειωτα πελάγη, παλεύοντας ριψοκίνδυνα μὲ τὰ κύματα καὶ ἀγωνιζόμενος μὲ τὴν πείνα καὶ τὰ θηρία τοῦ πελάγους καὶ ὑποφέροντας πολλὲς ἄλλες δυσκολίες.

Ταῦτ' οὖν καὶ αὐτὸς λογισάμενος, ὡς ὁ τῶν δεινῶν καιρὸς οὗτος τῆς ἐμπορίας ἐστὶ καιρὸς καὶ πολλῆς εὐδοκιμήσεως καὶ μισθῶν ἀφάτων, διανάστησόν σου τὸ πτερὸν τῆς διανοίας καί, τὴν κόνιν τῆς ἀθυμίας ἀποτιναξάμενος, μετὰ πολλῆς τῆς εὐκολίας πᾶσαν περίτρεχε τὴν φάλαγγα, συγκροτῶν, ἀλείφων, ἅπαντας διεγείρων, νευρῶν, σπουδαιοτέρους ποιῶν. Καὶ ταῦτα ἡμῖν δήλου διὰ γραμμάτων τῶν σῶν, μηδὲν ὑφορώμενος, εἰ κατορθώματα μέλλοις αὐτὸς ἀπαγγέλλειν τὰ σά, ἀλλ' ὡς ὑπόταγμα ἡμέτερον ἀνύων, χαρίζου ταύτην ἡμῖν τὴν εὐφροσύνην, ἵνα, καὶ πόρρωθεν ὄντες, πολλὴν καρπωσώμεθα τὴν ἡδονήν, ταῦτα ἀκούοντες παρὰ τῆς σῆς εὐλαβείας, ἅπερ ἐπιθυμοῦμεν μανθάνειν.

ΡΚ'

ΘΕΟΔΩΡΑ[1]

Ἀνηλώθημεν, ἐδαπανήθημεν, μυρίους ἀπεθάνομεν θανάτους· καὶ ταῦτα ἴσασιν ἀκριβέστερον ἀπαγγεῖλαι οἱ τὰ γράμματα ἐγχειρίζοντες, καὶ ταῦτα βραχεῖαν ῥοπὴν ἡμῖν συγγενόμενοι, πρὸς οὓς οὐδὲ διαλεχθῆναί τι μικρὸν ἠδυνήθημεν, ὑπὸ τῶν συνεχῶν πυρετῶν καταβεβλημένοι, οὓς ἔχων καὶ ἐν νυκτὶ καὶ ἐν ἡμέρᾳ ὁδοιπορεῖν ἠναγκαζόμην καὶ θάλπει πολιορκούμενος καὶ ὑπὸ ἀγρυπνίας διαφθειρόμενος καὶ ὑπὸ τῆς τῶν ἐπιτηδείων ἐρημίας ἀπολλύμενος καὶ τῆς τῶν προστησομένων ἀπορίας. Καὶ γὰρ τῶν τὰ μέταλλα ἐργαζομένων καὶ τὰ δεσμωτήρια οἰκούντων χαλεπώτερα καὶ πεπόνθαμεν καὶ πάσχομεν. Ὀψὲ δέ ποτε καὶ μόλις ἐπέτυχον τῆς Καισαρείας, ὡς ἀπὸ χειμῶνος εἰς γαλήνην καὶ εἰς λιμένα ἐλθών. Ἀλλ' οὐδὲν ὁ λιμὴν οὗτος ἴσχυσεν ἀνακτήσασθαι τὰ ἀπὸ τοῦ κλυδωνίου κακά· οὕτω καθάπαξ ἡμᾶς ὁ ἔμπροσθεν χρόνος κατειργάσατο. Ἀλλ' ὅμως ἐλθὼν

---

1. Ἐνδιαφέρουσες ὅσο καὶ ὀδυνηρὲς πληροφορίες ἀπὸ τὶς κακουχίες τοῦ ταξιδιοῦ τοῦ ἱεροῦ ἀνδρὸς γιὰ τὸν τόπο τῆς ἐξορίας του.

2. Ἡ ἐπιστολὴ γράφτηκε ἀπὸ τὴν Καισάρεια καὶ ἄρα κατὰ τὸ ἔτος 404. Στὴν ἴδια ἀποδέκτη, τὴν Θεοδώρα, ἀπευθύνεται καὶ ἡ 117η ἐπιστολή, στὴν ὁποία μάλιστα

Αὐτὰ λοιπὸν ἀφοῦ τὰ σκεφθεῖς καὶ σύ, ὅτι δηλαδὴ ὁ καιρὸς αὐτὸς τῶν δεινῶν εἶναι καιρὸς ἐμπορίου καὶ πολλῆς εὐδοκιμήσεως καὶ ἀπερίγραπτων ἀμοιβῶν, ἄνοιξε τὰ φτερὰ τῆς διάνοιάς σου καί, ἀφοῦ ἀποτινάξεις τὴ σκόνη τῆς θλίψεως μὲ πολλὴ εὐκολία, τρέχα γύρο ἀπὸ τὴ φάλαγγα, ὀργανώνοντας, ἑτοιμάζοντας, διεγείροντάς τους ὅλους, ἐνισχύοντάς τους, κάνοντάς τους πιὸ ἑτοιμοπόλεμους. Καὶ αὐτὰ νὰ μοῦ τὰ ἀναφέρεις μὲ γράμματά σου, χωρὶς νὰ ἔχεις κανένα ἐνδοιασμό, ἐπειδὴ θὰ ἀναφέρεις ὁ ἴδιος τὰ δικά σου κατορθώματα, ἀλλὰ χάρισέ μου αὐτὴ τὴ χαρά, σὰν νὰ ἐκτελεῖς δική μου διαταγή, ὥστε, καὶ βρισκόμενος μακριά, νὰ δοκιμάζω πολλὴ εὐχαρίστηση ἀκούοντας ἀπὸ τὴν εὐλάβειά σου αὐτὰ ποὺ ἐπιθυμῶ νὰ μαθαίνω.

120

ΣΤΗ ΘΕΟΔΩΡΑ

Ἔχω φθαρεῖ, ἔχω δαπανηθεῖ, ἔχω ὑποστεῖ μύριους θανάτους, καὶ ὅλα αὐτὰ γνωρίζουν νὰ σοῦ τὰ περιγράψουν μὲ μεγαλύτερη ἀκρίβεια αὐτοὶ ποὺ θὰ σοῦ παραδώσουν τὰ γράμματα, καὶ αὐτὰ μολονότι ἦταν κοντά μου γιὰ ἐλάχιστο χρονικὸ διάστημα καὶ πρὸς τοὺς ὁποίους δὲν μπόρεσα οὔτε γιὰ λίγο νὰ μιλήσω, ἐξαντλημένος ἀπὸ τὸν συνεχῆ πυρετό, μὲ τὸν ὁποῖο ἀναγκαζόμουν νὰ ὁδοιπορῶ νύχτα καὶ μέρα, βασανιζόμενος ἀπὸ τὴ θέρμη, ἀφανιζόμενος ἀπὸ τὴν ἀγρυπνία, χανόμενος ἀπὸ τὴν ἔλλειψη τῶν ἀπαραιτήτων καὶ ἀπὸ τὴ στέρηση ἐκείνων ποὺ θὰ μᾶς καθοδηγοῦσαν. Γιατὶ ὑποφέραμε καὶ ὑποφέρομε χειρότερα ἀπὸ ἐκείνους ποὺ ἐργάζονται στὰ μεταλλεῖα καὶ κατοικοῦν στὶς φυλακές[1]. Ὕστερα λοιπὸν ἀπὸ πολὺ χρόνο καὶ μόλις πρὶν ἀπὸ λίγο φθάσαμε στὴν Καισάρεια[2], σὰν νὰ ἤρθαμε ἀπὸ θεομηνία σὲ γαλήνη καὶ σὲ λιμάνι. Ὅμως οὔτε τὸ λιμάνι αὐτὸ δὲν ἄρκεσε νὰ ξεπεράσω τὰ κακὰ τῆς θαλασσοταραχῆς· τόσο ἀμετάκλητα μὲ ἔβλαψε ὁ χρόνος ποὺ προηγήθηκε. Ὅμως,

τὴν παρακαλεῖ γιὰ ἕνα προσωπικὸ θέμα κάποιου Εὐσταθίου. Ἐπειδὴ στὴν ἐπιστολὴ αὐτὴ δὲν κάνει ὑπαινιγμὸ γιὰ τὸ ἴδιο θέμα, φαίνεται ὅτι ἡ 117η ἐπιστολὴ γράφτηκε ἀργότερα ἀπὸ αὐτὴν ἐδῶ.

εἰς τὴν Καισάρειαν, μικρὸν ἀνέψυξα, ὅτι ὕδατος ἔπιον καθαροῦ, ὅτι ἄρτου οὐκ ὀδωδότος οὐδὲ κατεσκληκότος μετέλαβον, ὅτι οὐκ ἔτι ἐν τοῖς κλάσμασι τῶν πίθων ἐλουόμην, ἀλλ' εὗρον βαλανεῖον οἷον δήποτε, ὅτι συγκεχώρημαι τέως τῇ κλίνῃ προσηλῶσθαι.

Ἐνῆν καὶ πλείονα τούτων εἰπεῖν, ἀλλ', ἵνα μὴ συγχέω σου τὴν μάθησιν, μέχρι τούτου ἵστημι τὸν λόγον, ἐκεῖνο προστιθείς, ὅτι μὴ παύσῃ ὀνειδίζουσα τοῖς ἀγαπῶσιν ἡμᾶς, ὅτι τοσούτους ἔχοντες ἐραστὰς καὶ τοσαύτην δύναμιν περιβεβλημένους, οὐκ ἐτύχομεν οὗ τυγχάνουσιν οἱ κατάδικοι, ὥστε εἰς ἡμερώτερον καὶ ἐγγύτερόν που κατοικισθῆναι τόπον· ἀλλὰ καὶ τοῦ σώματος ἡμῖν ἀπαγορεύσαντος καὶ τοῦ φόβου τῶν Ἰσαύρων πάντα πολιορκοῦντος, τῆς μικρᾶς ταύτης καὶ εὐτελοῦς οὐκ ἐπετύχομεν χάριτος. Δόξα τῷ Θεῷ καὶ διὰ τοῦτο. Οὐ παυόμεθα γὰρ αὐτὸν ἐπὶ πᾶσι δοξάζοντες. «Εἴη τὸ ὄνομα αὐτοῦ εὐλογημένον εἰς τοὺς αἰῶνας».

Πολὺ δὲ ἐξεπλάγην καὶ τὸ σόν, ὅτι τετάρτην ταύτην ἐπιστολὴν ἢ καὶ πέμπτην ἐπεσταλκὼς τῇ διαθέσει σου καὶ τῇ κοσμιότητι, μίαν ἐδεξάμην καὶ μόνην. Καίτοι τοῦτο δυσκολίας οὐκ ἦν, τὸ ἐπιστέλλειν συνεχέστερον. Καὶ ταῦτα οὐκ ἐγκαλῶν σοι λέγω· τὸ ἀρ τῆς ἀγάπης οὐκ ἔστιν ἀνάγκης, ἀλλὰ προαιρέσεως. Ἀλλὰ σφόδρα ἀλγῶ, ὅτι ἀθρόον ἐξέβαλες ἡμᾶς τῆς διανοίας τῆς σῆς, ἐν οὕτω χρόνῳ μακρῷ μίαν ἡμῖν πέμψασα ἐπιστολήν. Εἰ τοίνυν μηδὲν φορτικὸν μηδὲ ἐπαχθὲς αἰτοῦμεν, τοῦτο ἡμῖν πάρεχε, οὗ σὺ κυρία εἶ καὶ ἐπὶ σοὶ κεῖται. Τῶν γὰρ ἄλλων ἕνεκεν οὐκ ἐνοχλοῦμεν, ἵνα μὴ πρὸς τῷ μηδὲν ἀνύειν καὶ φορτικοί τινες δόξωμεν καὶ ἐπαχθεῖς εἶναί σοι.

ΡΚΑ'

ΑΡΑΒΙΩι

Τὴν κάμινον τῆς ἀθυμίας, ἣν ἐπὶ τῆς ψυχῆς περιφέρεις ὑπὲρ

3. Φαίνεται πὼς οἱ φίλοι του τὸν ἐπίεζαν νὰ φροντίσει, μέσῳ τῶν πολλῶν ὑψηλῶν γνωριμιῶν του, νὰ ἐπιδιώξει νὰ μεταχθεῖ σὲ κάποιο πιὸ κοντινὸ καὶ ἥμερο τόπο. Ὁ Χρυσόστομος ὅμως, ποὺ τόσο φρόντιζε γιὰ τὰ προσωπικὰ προβλήματα τῶν συνεργατῶν του, καὶ παρόλο ποὺ εἶχε καὶ σοβαροὺς λόγους γι' αὐτό, δὲν ἐπεδίωξε ἢ δὲν ἐπέτυχε τὴ μικρὴ αὐτὴ χάρη, ὅπως γράφει. Ἀντὶ λοιπὸν νὰ μέμφεται ὁποιουσδή-

ὅταν ἤρθαμε στὴν Καισάρεια, κάπως ἀνακουφίστηκα, γιατὶ ἤπια καθαρὸ νερό, ἔφαγα ψωμὶ ποὺ δὲν μύριζε οὔτε ἦταν κατάξερο, δὲν λουζόμουνα πιὰ μέσα σὲ θραυσμένα πιθάρια, ἀλλὰ βρῆκα ἕνα κάποιο δημόσιο λουτρὸ καὶ μοῦ ἐπιτρέπεται ἐπὶ τέλους νὰ ξαπλώνω στὸ κρεβάτι.

Θὰ μποροῦσα νὰ σοῦ πῶ καὶ περισσότερα ἀπὸ αὐτά, ἀλλὰ γιὰ νὰ μὴ σοῦ χαλῶ τὴ διάθεση, σταματῶ τὸν λόγο μέχρι ἐδῶ, προσθέτοντας καὶ τοῦτο, νὰ μὴ παύσεις νὰ κατηγορεῖς ἐκείνους ποὺ μὲ ἀγαποῦν, γιατί, ἂν καὶ ἔχω τόσους φίλους καὶ ποὺ ἔχουν τόση δύναμη, δὲν ἐπέτυχα αὐτὸ ποὺ πετυχαίνουν οἱ κατάδικοι, νὰ ἐγκατασταθῶ δηλαδὴ σὲ ἕνα τόπο πιὸ ἥμερο καὶ κοντινό· ἀλλά, μολονότι καὶ τὸ σῶμα μου δὲν τὸ ἐπέτρεπε καὶ ὁ φόβος τῶν Ἰσαύρων ἀπειλοῦσε τὰ πάντα, δὲν ἐπέτυχα αὐτὴ τὴ μικρὴ καὶ ἀνάξια λόγου χάρη. Δόξα τῷ Θεῷ καὶ γι' αὐτό[3]. Γιατὶ δὲν παύω νὰ τὸν δοξάζω Αὐτὸν γιὰ ὅλα. «Ἂς εἶναι τὸ ὄνομά του εὐλογημένο στοὺς αἰῶνες»[4].

Πολλὴ ἔκπληξη ὅμως μοῦ προκάλεσε καὶ ἡ δική σου στάση· διότι, ἂν καὶ εἶναι ἡ τέταρτη ἢ πέμπτη[5] ἐπιστολὴ αὐτὴ ποὺ ἔστειλα στὴν καλωσύνη καὶ σεμνότητά σου, πῆρα μόνο μία· ἂν καὶ βέβαια αὐτό, τὸ νὰ μοῦ γράφεις πιὸ συχνά, δὲν ἦταν δύσκολο. Καὶ αὐτὰ δὲν τὰ λέω κατηγορώντας σε, ἀφοῦ τὸ θέμα τῆς ἀγάπης δὲν εἶναι ὑπόθεση ἐξαναγκασμοῦ, ἀλλὰ προαιρέσεως. Πονῶ ὅμως πάρα πολὺ ποὺ μὲ ἔβγαλες ἀπὸ τὴ σκέψη σου διὰ μιᾶς, στέλνοντάς μου σὲ τόσο μεγάλο χρονικὸ διάστημα μιὰ μόνο ἐπιστολή. Ἐὰν λοιπὸν δὲν ζητῶ κάτι τὸ δυσβάστακτο ἢ ἐνοχλητικό, δίνε μου αὐτὸ τοῦ ὁποίου σὺ εἶσαι κυρία καὶ ἀπὸ σένα ἐξαρτᾶται. Γιὰ τὰ ἄλλα δὲν σὲ ἐνοχλῶ γιὰ νὰ μὴ δώσω τὴν ἐντύπωση ὅτι, ἐκτὸς τοῦ ὅτι δὲν κερδίζω τίποτε, εἶμαι καὶ ἀνυπόφορος καὶ ἐνοχλητικός.

121

ΣΤΟΝ ΑΡΑΒΙΟ

Τὸ καμίνι τῆς λύπης ποὺ περιφέρεις μέσα στὴν ψυχή σου γιὰ

ποτε γι' αὐτό, ἐκεῖνος βρίσκει τὴν εὐκαιρία νὰ ἐκφράσει γιὰ μιὰ ἀκόμα φορὰ πρὸς τὸ Θεὸ τὴν εὐχαριστία του· «δόξα τῷ Θεῷ καὶ διὰ τοῦτο».

4. *Ἰὼβ* 1,21.

5. Ἂν καὶ ἐδῶ κάνει λόγο γιὰ 4 ἢ 5 ἐπιστολές, σώζονται μόνο δύο.

τῶν εἰς ἡμᾶς γεγενημένων, σαφέστατα ἔδειξεν ἡμῖν τὸ γράμμα τὸ σόν, καὶ πρὸ τούτου μὲν ἐπισταμένοις. Οὐ γὰρ δυνησόμεθα ἐπιλαθέσθαι τῆς πηγῆς τῶν δακρύων, ἣν ἐν ἀρχῇ τῶν κακῶν τούτων ὑφαινομένων ἠφίεις. Πλὴν ἀλλὰ καὶ ἡ ἐπιστολὴ τῶν δακρύων οὐκ ἔλαττον καὶ τῶν ὀδυρμῶν ἐκείνων ἀπεκάλυψε τὴν φλόγα τῆς λύπης ἡμῖν, τῆς ἐν τῇ καρδίᾳ τῇ σῇ. Τούτων προσδόκα τὰς ἀμοιβὰς παρὰ τοῦ φιλανθρώπου Θεοῦ. Ἔστι γὰρ καὶ λύπης μισθὸς καὶ μέγας καὶ πολύς. Ἐπεὶ καὶ ἐπὶ ἰουδαϊκῶν κακῶν ἦσάν τινες, οἳ τὰ γινόμενα παρ' αὐτῶν διορθῶσαι μὲν οὐκ ἠδύνατο, ἔστενον δὲ μόνον καὶ ἐθρήνουν, καὶ τοιαύτην ἐκαρπώσαντο τὴν ἀμοιβήν, ὡς, τῶν ἄλλων ἁπάντων ἀπολλυμένων καὶ πανωλεθρίᾳ παραδιδομένων, ἐκείνους διαφυγεῖν τὴν ὀργήν. «Δός», γάρ φησι, «τὸ σημεῖον ἐπὶ τὰ πρόσωπα τῶν στεναζόντων καὶ ὀδυρομένων». Καίτοι γε οὐκ ἐκώλυον τὰ γινόμενα, ἀλλ' ἐπειδὴ οὗπερ κύριοι ἦσαν ἐποίουν, ἔστενον, ἐθρήνουν τὰ γινόμενα, μεγίστην ἐντεῦθεν τὴν ἀσφάλειαν ἐκτήσαντο.

Μὴ οὖν διαλίπητε καὶ ὑμεῖς, δεσπόται μου, στένοντες ταῦτα καὶ τὸν φιλάνθρωπον Θεὸν παρακαλοῦντες δοῦναι λύσιν τῷ κοινῷ τῆς οἰκουμένης ναυαγίῳ. Ἴστε γάρ, ἴστε σαφῶς, ὡς πάντα θορύβων καὶ ταραχῆς πεπλήρωται, καὶ οὐχ ὑπὲρ Κωνσταντινουπόλεως χρὴ μόνον παρακαλεῖν, ἀλλ' ὑπὲρ τῆς οἰκουμένης ἁπάσης· ἐπειδήπερ ἐντεῦθεν ἀρξάμενον τὸ κακόν, καθάπερ ῥεῦμα πονηρὸν ἐκχυθέν, πανταχοῦ τῆς γῆς τὰς Ἐκκλησίας λυμαίνεται. Ὅπερ δὲ ἡμᾶς παρεκάλεσας, τοῦτο καὶ αὐτὸς παρ' ἡμῶν παρακλήθητι, ἕως ἂν ὑμῶν ὦμεν κεχωρισμένοι τῷ σώματι (τῇ γὰρ ψυχῇ ἀεὶ καὶ τῇ σῇ εὐγενείᾳ καὶ τῷ οἴκῳ σου συνδεδέμεθα), συνεχῶς ἡμῖν ἐπιστέλλειν καὶ τὰ περὶ τῆς ὑγείας σου εὐαγελίζεσθαι μὴ κατόκνει. Οἶδας γὰρ ἡλίκην ἡμῖν δώσεις τὴν χάριν.

Ἐπειδὴ ἐκέλευσας ἡμᾶς ἐν τοῖς σοῖς καταχθῆναι, καθὼς ἔμαθον ἐξελθών, οὐκ ἔτι ἔδοξεν ἡμᾶς εἰς Σεβάστειαν ἀπενεχθῆναι, ἀλλ' εἰς ἐρημότατον χωρίον τῆς Ἀρμενίας Κουκουσὸν καὶ σφαλερώτατον τῆς τῶν Ἰσαύρων ἐπιδρομῆς ἕνεκεν. Χάριν μέντοι ἴσμεν τῇ εὐγενείᾳ τῇ σῇ καὶ δεδέγμεθα τὴν τιμήν, ὅτι καὶ ἀπόντων οὕτως ἐφρόντι-

1. Ἰεζ. 9,4.

ὅσα μοῦ συμβαίνουν, τὸ ἔδειξε πολὺ καθαρὰ τὸ γράμμα σου, ἂν καὶ ἐγὼ τὸ γνωρίζω καὶ πρὶν ἀπὸ αὐτό. Γιατὶ δὲν μπορῶ νὰ λησμονήσω τὰ ἀσταμάτητα δάκρυα ποὺ ἔχυνες ὅταν ἄρχισαν νὰ ἐξυφαίνονται τὰ δεινὰ αὐτά. Ὡστόσο καὶ ἡ ἐπιστολὴ τῶν δακρύων δὲν ἀποκάλυψε λιγότερο ἀπὸ ἐκείνους τοὺς θρήνους τὴ φλόγα τῆς λύπης ποὺ ὑπάρχει στὴν καρδιά σου γιὰ μένα. Τὴν ἀμοιβή σου γιὰ ὅλα αὐτὰ περίμενέ την ἀπὸ τὸν φιλάνθρωπο Θεό. Γιατὶ ὑπάρχει καὶ μισθὸς λύπης καὶ μάλιστα μεγάλος καὶ πολύς. Ἄλλωστε καὶ κατὰ τὴ διάρκεια τῶν ἰουδαϊκῶν δεινῶν ὑπῆρχαν μερικοί, οἱ ὁποῖοι τὰ δεινὰ ποὺ συνέβαιναν σ' αὐτοὺς δὲν μποροῦσαν νὰ τὰ διορθώσουν, στέναζαν ὅμως καὶ ἔκλαιαν μόνο, καὶ πέτυχαν τέτοια ἀμοιβή, ὥστε, ἐνῶ ὅλοι οἱ ἄλλοι χάθηκαν, ἐκεῖνοι διέφυγαν τὴν ἐκδίκηση. Γιατὶ λέει· «βάλε σημάδι στὰ πρόσωπα αὐτῶν ποὺ στενάζουν καὶ θρηνοῦν»[1]. Μολονότι βέβαια δὲν παρεμπόδιζαν αὐτὰ ποὺ γίνονταν, ἀλλὰ ἐπειδὴ ἔκαναν αὐτὸ ποὺ μποροῦσαν νὰ κάνουν, στέναζαν καὶ θρηνοῦσαν γιὰ ὅσα συνέβαιναν, ἐξασφάλισαν ἀπὸ αὐτὸ πάρα πολὺ μεγάλη ἀσφάλεια.

Μὴ παραλείπετε λοιπὸν καὶ σεῖς, δεσπότες μου, νὰ στενάζετε γι' αὐτὰ καὶ νὰ παρακαλεῖτε τὸν φιλάνθρωπο Θεὸ νὰ δώσει τέλος στὸ ναυάγιο ὅλης τῆς οἰκουμένης. Γιατὶ γνωρίζετε, γνωρίζετε καλά, ὅτι ὅλα ἔχουν γεμίσει θορύβους καὶ ταραχή, καὶ δὲν πρέπει νὰ παρακαλεῖτε μόνο γιὰ τὴν Κωνσταντινούπολη, ἀλλὰ γιὰ ὅλη τὴν οἰκουμένη. Γιατὶ τὸ κακό, ξεκινώντας ἀπὸ ἐδῶ, σὰν ρεῦμα ὁρμητικὸ ξεχύθηκε καὶ καταστρέφει τὶς Ἐκκλησίες σ' ὅλη τὴ γῆ. Καὶ αὐτὸ ποὺ μὲ παρακάλεσες, τὴν ἴδια παράκληση λάβε καὶ σὺ ἀπὸ μένα, ὅσο χρόνο θὰ εἶμαι χωρισμένος σωματικὰ ἀπὸ σένα (γιατὶ ψυχικὰ εἶμαι πάντοτε συνδεδεμένος μὲ τὴν εὐγένειά σου καὶ μὲ τὸ σπίτι σου) νὰ μοῦ γράφεις συνεχῶς καὶ νὰ μὴ ἀδιαφορεῖς νὰ μοῦ ἀναφέρεις τὰ εὐχάριστα νέα τῆς ὑγείας σου. Γιατὶ γνωρίζεις πόση χαρὰ θὰ μοῦ δώσεις.

Ἐπειδὴ μοῦ παράγγειλες νὰ καταλύσουμε στὰ δικά σου, ὅπως ἔμαθα ὅταν βγῆκα, δὲ μᾶς φάνηκε ἀκόμα καλὸ νὰ ὁδηγηθοῦμε στὴ Σεβάστεια, ἀλλὰ στὴν Κουκουσό, ἕνα χωριὸ τῆς Ἀρμενίας πολὺ ἔρημο καὶ ἐπικίνδυνο ἐξαιτίας τῆς ἐπιδρομῆς τῶν Ἰσαύρων. Εὐχαριστῶ λοιπὸν τὴν εὐγένειά σου καὶ ἔχω δεχθεῖ τὴν τιμή, τὸ ὅτι δηλαδή, ἂν καὶ ἤμουν ἀπών, φρόντισες νὰ τακτοποιηθεῖ τὸ καταγώγιο γιὰ μένα καὶ μὲ παρακάλεσες νὰ καταλύσω στὰ δικά σου.

σας, ὥστε εὐτρεπίσαι τὸ καταγώγιον ἡμῖν καὶ παρακαλέσαι ἐν τοῖς σοῖς ἡμᾶς καταχθῆναι. Ἀλλ' εἴ τινες εἶέν σοι φίλοι κατὰ τὴν Κουκουσόν, ἐκείνοις ἐπιστεῖλαι παρακλήθητι.

ΡΚΒ'

ΜΑΡΚΙΑΝΩι

Μακάριος εἶ καὶ τρισμακάριος καὶ πολλάκις τοῦτο, ἐν οὕτω χειμῶνι χαλεπῷ καὶ τοσαύτῃ τῶν πραγμάτων ζάλῃ, τοσαύτην ἐπιδεικνύμενος περὶ τοὺς δεομένους μεγαλοψυχίαν. Οὐ γὰρ ἔλαθεν ἡμᾶς τῆς φιλανθρωπίας σου τὸ μέγεθος, καὶ ὅτι καινὸς ἅπασι γέγονας λιμήν, ὀρφανοῖς παριστάμενος, χήρας παντὶ τρόπῳ παραμυθούμενος, ἀνέχων αὐτῶν τὴν πενίαν, διορθούμενος τὴν πτωχείαν, οὐδὲ αἴσθησιν ἀφιεὶς λαμβάνειν τῆς στενοχωρίας ταύτης, ἀλλ' ἀντὶ πάντων αὐτοῖς γινόμενος, καὶ δῆμον ὁλόκληρον διατρέφων σίτῳ καὶ οἴνῳ καὶ ἐλαίῳ καὶ τοῖς ἄλλοις ἅπασιν. Ὁ Θεός σοι τὸν μισθὸν ἀποδῷ καὶ ἐν τῷ παρόντι βίῳ καὶ ἐν τῷ μέλλοντι αἰῶνι τῆς μεγαλοψυχίας ταύτης, τῆς δαψιλείας, τῆς προθυμίας, τοῦ ζήλου, τῆς φιλοπτωχείας, τῆς γνησίας ἀγάπης· καὶ γὰρ ἐν ἅπασι τούτοις βρύεις καὶ κομᾷς, μέγιστα σεαυτῷ ἀποτιθέμενος βραβεῖα ἐν τῷ μέλλοντι αἰῶνι.

Ταῦτα καὶ ἡμεῖς μανθάνοντες ἐν ἐρημίᾳ τοσαύτῃ καθήμενοι καὶ πολλαῖς κυκλούμενοι περιστάσεσι (καὶ γὰρ ἰσαυρικοῦ φόβου πολιορκία καὶ χωρίου ἐρημία καὶ χειμῶνος σφοδρότης ἡμᾶς θλίβει), ἀλλ' ὅμως ταῦτα ἀκούοντες περὶ τῆς σῆς τιμιότητος, οὐδὲ αἴσθησιν τούτων λαμβάνομεν τῶν λυπηρῶν, ἀλλὰ καὶ πολλὴν καρπούμεθα τὴν παράκλησιν, σκιρτῶντες, εὐφραινόμενοι, χαίροντες ἐπὶ τοῖς τοσούτοις κατορθώμασιν, ἐπὶ τῷ πλούτῳ τῷ ἀφάτῳ, ὃν ἐν οὐρανοῖς συνάγεις σεαυτῷ. Ἵν' οὖν καὶ ἐν ἑτέρῳ εὐφραινώμεθα, γράφειν ἡμῖν συνεχῶς μὴ κατόκνει, τὰ περὶ τῆς ὑγείας τῆς σῆς εὐαγγελιζόμενος. Σφόδρα γὰρ ἐπιθυμοῦμεν ἀκούειν τὰ περὶ τῆς ῥώσεως τῆς σῆς. Καὶ τοῦτο οἶσθα καὶ αὐτός, ἐπειδήπερ κἀκεῖνο οἶσθα, ὅπως ἀεὶ τῆς ἀγάπης τῆς σῆς ἀντεχόμεθα.

Ὅμως ἐὰν ὑπάρχουν κάποιοι φίλοι σου στὴν Κουκουσό, δέξου τὴν παράκληση μου νὰ γράψεις σ' ἐκείνους.

122

ΣΤΟ ΜΑΡΚΙΑΝΟ

Εἶσαι μακάριος καὶ τρισμακάριος καὶ πολλὲς φορὲς μακάριος, δείχνοντας τόση μεγαλοψυχία γι' αὐτοὺς ποὺ ἔχουν ἀνάγκη μέσα σὲ τόσο φοβερὴ συμφορὰ καὶ τόση παραζάλη τῆς καταστάσεως. Γιατὶ δὲ μᾶς διέφυγε ἡ μεγάλη σου φιλανθρωπία καὶ τὸ ὅτι ἔγινες γιὰ ὅλους καινούργιο λιμάνι καὶ συμπαραστάτης τῶν ὀρφανῶν, καὶ παρηγορεῖς τὶς χῆρες μὲ κάθε τρόπο, ἀναλαμβάνοντας τὴν ἀνέχειά τους καὶ τακτοποιώντας τὴ φτώχεια τους, χωρὶς ν' ἀφήνεις νὰ αἰσθάνονται τὴ στενοχώρια τους αὐτή, ἀλλὰ γίνεσαι γι' αὐτοὺς τὰ πάντα καὶ διατρέφεις ὁλόκληρο δῆμο μὲ σιτάρι καὶ κρασὶ καὶ λάδι καὶ ὅλα τὰ ἄλλα. Εἴθε ὁ Θεὸς νὰ σοῦ ἀνταποδώσει τὸν μισθὸ καὶ στὴν ἐδῶ ζωὴ καὶ στὸ μέλλοντα αἰώνα, γιὰ τὴ μεγαλοψυχία αὐτή, τὴν ἀφθονία, τὴν προθυμία, τὸ ζῆλο, τὴ φιλοπτωχεία καὶ τὴ γνήσια ἀγάπη. Γιατὶ σὲ ὅλα αὐτὰ εἶσαι κατάμεστος καὶ φορτωμένος, ἀποταμιεύοντας γιὰ τὸν ἑαυτό σου μεγάλα βραβεῖα στὸν μέλλοντα αἰώνα.

Αὐτὰ μαθαίνοντας καὶ ἐγὼ ποὺ διαμένω σὲ τόση ἐρημιὰ καὶ εἶμαι περικυκλωμένος ἀπὸ πολλὲς δύσκολες περιστάσεις (γιατὶ καὶ ὁ φόβος ἐπιθέσεως τῶν Ἰσαύρων μᾶς στενοχωρεῖ, καὶ τοῦ χωριοῦ ἡ ἐρημιὰ καὶ τοῦ χειμώνα ἡ σκληρότητα), ὅμως ἀκούοντας αὐτὰ γιὰ τὴν ἐντιμότητά σου, οὔτε κἂν αἰσθάνομαι αὐτὰ τὰ θλιβερά, ἀλλὰ δέχομαι μεγάλη παρηγοριά, σκιρτῶ, εὐφραίνομαι, χαίρομαι γιὰ τὰ τόσα κατορθώματα, γιὰ τὸν ἀπερίγραπτο πλοῦτο ποὺ συγκεντρώνεις γιὰ τὸν ἑαυτό σου. Γιὰ νὰ χαίρομαι ὅμως καὶ γιὰ ἄλλο, μὴ διστάζεις νὰ μοῦ γράφεις συνέχεια, ἀναγγέλλοντάς μου τὰ εὐχάριστα νέα τῆς ὑγείας σου. Γιατὶ ἐπιθυμῶ πολὺ νὰ ἀκούω ὅτι εἶσαι καλά. Καὶ αὐτὸ τὸ γνωρίζεις καὶ ὁ ἴδιος, ἐπειδὴ γνωρίζεις καὶ ἐκεῖνο, ὅτι δηλαδὴ ἐνδιαφέρομαι πάντοτε γιὰ τὴν ἀγάπη σου.

ΡΚΓ'

ΠΡΟΣ ΤΟΥΣ ΕΝ ΦΟΙΝΙΚΗι ΠΡΕΣΒΥΤΕΡΟΥΣ ΚΑΙ ΜΟΝΑΖΟΝΤΑΣ, ΤΟΥΣ ΚΑΤΗΧΟΥΝΤΑΣ ΤΟΥΣ ΕΛΛΗΝΑΣ

Οἱ κυβερνῆται, ἐπειδὰν ἴδωσι τὴν θάλασσαν μαινομένην καὶ ἐγειρομένην καὶ πολὺν τὸν χειμῶνα καὶ τὴν ζάλην, οὐ μόνον οὐκ ἀφιᾶσι τὸ πλοῖον, ἀλλὰ καὶ τότε πλείονι κέχρηνται τῇ σπουδῇ καὶ μείζονι τῇ προθυμίᾳ καὶ αὐτοὶ νήφοντες καὶ τοὺς ἄλλους διεγείροντες. Καὶ ἰατροὶ πάλιν, ὅταν ἴδωσι τὸν πυρετὸν ἐγερθέντα καὶ σφοδρὸν γενόμενον, οὐ μόνον οὐ καταλιμπάνουσι τὸν νοσοῦντα, ἀλλὰ καὶ τότε καὶ αὐτοὶ πάντα ποιοῦσι, καὶ δι' ἑαυτῶν καὶ δι' ἑτέρων μείζονι κεχρημένοι τῇ σπουδῇ καὶ τῇ προθυμίᾳ, ὥστε λῦσαι τὸ κακόν.

Τίνος ἕνεκεν ταῦτα λέγω; Ἵνα μή τις ὑμᾶς ἀπατήσῃ διὰ τὴν ταραχὴν τὴν γεγενημένην καταλιπεῖν τὴν Φοινίκην καὶ ἀναχωρῆσαι ἐκεῖθεν, ἀλλὰ ὅσῳ πλείους αἱ δυσκολίαι καὶ χαλεπώτερα τὰ κύματα καὶ μείζων ἡ ταραχή, τοσούτῳ μᾶλλον ἐμμένετε σπουδάζοντες, νήφοντες, ἀγρυπνοῦντες, πλείονα προθυμίαν ἐπιδεικνύμενοι, ὥστε μὴ τὴν οἰκοδομὴν ὑμῶν τὴν καλλίστην καταλυθῆναι, μηδὲν τὸν τοσοῦτον πόνον ἀνωφελῆ γενέσθαι, μηδὲ τὴν γεωργίαν ὑμῶν ἀφανισθῆναι. Ἱκανὸς γὰρ ὁ Θεὸς καὶ τὴν ταραχὴν λῦσαι καὶ τῆς ὑπομονῆς ὑμῖν δοῦναι τὸν μισθόν. Οὐδὲ γὰρ τοσοῦτος ὑμῖν ὁ μισθός, ὅτε μετ' εὐκολίας τὰ πράγματα ἠνύετο, ὅσος ἐστὶν ὑμῖν νῦν, ὅτε πολλὴ ἡ δυσκολία, πολλὴ ἡ ταραχή, πολλοὶ οἱ σκανδαλίζοντες.

Ἐννοοῦντες τοίνυν καὶ τὸν κάματον ὃν ἐκάμετε καὶ τὸν πόνον ὃν ὑπεμείνατε καὶ τὰ κατορθώματα ἃ κατωρθώσατε καὶ ὅτι χάριτι Θεοῦ τοσοῦτον κατελύσατε τῆς ἀσεβείας τὸ μέρος καὶ εἰς προτροπὴν τὰ πράγματα τῆς Φοινίκης ἦλθε, καὶ ὅτι πλείων ὁ μισθὸς νῦν ὑμῖν καὶ μείζων ἡ ἀμοιβὴ καὶ ὅτι ταχέως ὁ Θεὸς καὶ τὰ κωλύματα καταλύσει καὶ πολλὰς ὑμῖν τῆς ὑπομονῆς δώσει τὰς ἀντιδόσεις, παραμένετε, ἐνίστασθε. Οὐδὲν γὰρ ὑμῖν ἔχει λεῖψαι οὐδὲ νῦν, ἀλλὰ τῆς αὐτῆς ἀφθονίας καὶ δαψιλείας ἀπολαύειν ὑμᾶς ἐκέλευσα, εἴτε ἐν ἐνδύμασιν, εἴτε ἐν ὑποδήμασιν, εἴτε ἐν διατροφαῖς τῶν ἀδελφῶν. Εἰ δὲ

123

ΠΡΟΣ ΤΟΥΣ ΠΡΕΣΒΥΤΕΡΟΥΣ ΚΑΙ ΜΟΝΑΧΟΥΣ ΤΗΣ ΦΟΙΝΙΚΗΣ ΠΟΥ ΚΑΤΗΧΟΥΝ ΤΟΥΣ ΕΙΔΩΛΟΛΑΤΡΕΣ

Οἱ κυβερνῆτες ὅταν δοῦν τὴ θάλασσα νὰ μαίνεται καὶ νὰ σηκώνεται, καὶ νὰ εἶναι μεγάλη κακοκαιρία καὶ τρικυμία, ὄχι μόνο δὲν ἐγκαταλείπουν τὸ πλοῖο, ἀλλὰ ἀκριβῶς τότε δείχνουν περισσότερο ἐνδιαφέρον καὶ μεγαλύτερη φροντίδα, καὶ οἱ ἴδιοι ἀγρυπνώντας καὶ ξυπνώντας καὶ τοὺς ἄλλους. Ἀλλὰ καὶ οἱ γιατροί, ὅταν δοῦν τὸν πυρετὸ νὰ ἀνεβαίνει καὶ νὰ γίνεται ὑψηλός, ὄχι μόνο δὲν ἐγκαταλείπουν τὸν ἀσθενῆ, ἀλλὰ τότε ἀκριβῶς αὐτοὶ κάνουν τὸ πᾶν, καὶ δείχνουν καὶ αὐτοὶ οἱ ἴδιοι καὶ μὲ ἄλλους μεγαλύτερο ἐνδιαφέρον καὶ φροντίδα γιὰ νὰ ἐξαλείψουν τὸ κακό.

Γιατί τὰ λέω αὐτά; Γιὰ νὰ μὴ σᾶς ἐξαπατήσει κανείς, ἐξαιτίας τῆς ταραχῆς ποὺ ἔγινε, καὶ ἐγκαταλείψετε τὴ Φοινίκη καὶ ἀναχωρήσετε ἀπὸ ἐκεῖ. Ἀντίθετα, ὅσο περισσότερες εἶναι οἱ δυσκολίες καὶ φοβερὰ τὰ κύματα καὶ μεγαλύτερη ἡ ἀναταραχή, τόσο πιὸ πολὺ νὰ ἐπιμένετε στὴν προσπάθειά σας, μὲ πνευματικὴ διαύγεια, ἐπαγρύπνηση, καὶ δείχνοντας περισσότερη προθυμία, ὥστε νὰ μὴ γκρεμισθεῖ ἡ τόσο ὡραία οἰκοδομή σας, οὔτε νὰ ἀποβεῖ μάταιος ὁ τόσος κόπος, οὔτε νὰ ἀφανισθεῖ ἡ καλλιέργειά σας. Γιατὶ ὁ Θεὸς εἶναι σὲ θέση νὰ καταπαύσει τὴν ἀναταραχὴ καὶ νὰ σᾶς ἀμείψει γιὰ τὴν ὑπομονή σας. Οὔτε ἄλλωστε ἦταν τόσο μεγάλο ὁ μισθός σας, ὅταν τὰ πράγματα κυλοῦσαν μὲ εὐκολία, ὅσος εἶναι γιὰ σᾶς τώρα ποὺ ἡ δυσκολία εἶναι μεγάλη, ἡ ἀναταραχὴ πολλή, καὶ πολλοὶ αὐτοὶ ποὺ προκαλοῦν σκάνδαλα.

Σκεπτόμενοι λοιπὸν καὶ τὸν κόπο ποὺ καταβάλατε καὶ τὸν πόνο ποὺ ὑπομείνατε καὶ τὰ κατορθώματα ποὺ κατορθώσατε καὶ τὸ ὅτι μὲ τὴ χάρη τοῦ Θεοῦ καθαρίσατε τόσο μεγάλη περιοχὴ ἀπὸ τὴν ἀσέβεια καὶ βελτιώθηκε ἡ κατάσταση τῆς Φοινίκης, καὶ ὅτι τώρα ὁ μισθός σας εἶναι περισσότερος καὶ ἡ ἀμοιβή σας μεγαλύτερη, καὶ ὅτι σύντομα ὁ Θεὸς θὰ καταργήσει τὰ ἐμπόδια καὶ θὰ σᾶς δώσει πολλὲς ἀντιμισθίες, παραμένετε σταθεροί, ἀντισταθεῖτε. Γιατὶ δὲν πρόκειται οὔτε τώρα νὰ σᾶς λείψει τίποτε, ἀλλὰ παράγγειλα νὰ ἀπολαμβάνετε τὴν ἴδια ἀφθονία καὶ πλούσια παροχή, εἴτε σὲ ἐνδύ-

ἡμεῖς, ἐν τοσαύτῃ θλίψει ὄντες καὶ περιστάσει καὶ ἐρημίαν οἰκοῦντες τὴν Κουκουσόν, τοσαύτην ποιούμεθα φροντίδα τῶν κατορθωμάτων τῶν ὑμετέρων, πολλῷ μᾶλλον καὶ ὑμᾶς δεῖ, πολλῆς εὐπορίας ἀπολαύοντας, κατὰ τὴν χρείαν λέγω τῶν ἀναγκαίων, τὰ παρ' ἑαυτῶν συνεισφέρειν.

Παρακαλῶ τοίνυν, μηδεὶς ὑμᾶς φοβήσῃ. Καὶ γὰρ καὶ τὰ πράγματα χρηστοτέρας ἔσχεν ἐλπίδας· καὶ δυνήσεσθε τοῦτο μαθεῖν ἀπὸ τῶν ἀντιγράφων τῶν ἀποσταλέντων παρὰ τοῦ κυρίου μου τοῦ εὐλαβεστάτου πρεσβυτέρου Κωνσταντίου. Καὶ ἐὰν παραμείνητε, κἂν μυρίᾳ ᾖ τὰ κωλύματα, πάντων περιέσεσθε. Οὐδὲν γὰρ ὑπομονῆς ἴσον καὶ καρτερίας (πέτρᾳ γὰρ ἔοικεν), αἱ δὲ ταραχαὶ αὗται καὶ αἱ ἐπιβουλαί, αἱ κατὰ τῆς Ἐκκλησίας γινόμεναι, κύμασιν ἐοίκασι προσρηγνυμένοις τῇ πέτρᾳ καὶ διαλυομένοις εἰς οἰκεῖον ἀφρόν. Ἐννοήσατε ὅσα μακάριοι ἀπόστολοι ἔπασχον καὶ παρὰ οἰκείων καὶ παρὰ ἀλλοτρίων, καὶ ὅτι πάντα τὸν χρόνον τοῦ κηρύγματος διὰ πειρασμῶν, διὰ κινδύνων, δι' ἐπιβουλῶν διήνυσαν, εἰς δεσμωτήρια καὶ ἁλύσεις καὶ ἀπαγωγὰς καὶ μάστιγας καὶ λιμοὺς καὶ γυμνότητας δαπανώμενοι. Ἀλλ' ὅμως, καὶ ἐν αὐτοῖς τοῖς δεσμωτηρίοις οἰκοῦντες, τῆς ἐγχειρισθείσης αὐτοῖς οἰκονομίας οὐκ ἀφίσταντο· ἀλλ' ὁ μακάριος Παῦλος καὶ δεσμωτήριον οἰκῶν καὶ μεμαστιγωμένος καὶ αἵματι περιρρεόμενος καὶ ξύλῳ προσδεδεμένος καὶ τοσαῦτα πάσχων, καὶ ἐμυσταγώγει ἐν τῷ δεσμωτηρίῳ καὶ τὸν δεσμοφύλακα ἐβάπτιζε καὶ τὰ παρ' ἑαυτοῦ πάντα ἐποίει.

Ταῦτ' οὖν ἅπαντα καὶ τὰ τοιαῦτα λογιζόμενοι, καθάπερ ὑμῶν παρεκάλεσα τὴν ἀγάπην, στήκετε ἑδραῖοι, ἀμετακίνητοι, ἀνεξαπάτητοι, τὴν τοῦ Θεοῦ ἐλπίδα ἀναμένοντες καὶ τὴν ἐκεῖθεν συμμαχίαν, ἧς ἴσον οὐδέν, καὶ ἀντιγράψαι ἡμῖν περὶ πάντων σπουδάσατε ἐξ αὐτῆς. Διὰ γὰρ τοῦτο καὶ Ἰωάννην τὸν εὐλαβέστατον πρεσβύτερον εἰς τοῦτο ἀπεστείλαμεν, ὥστε παρακαλέσαι ὑμῶν τὴν διάνοιαν καὶ μὴ ἀφεῖναι ὑπὸ μηδενὸς παρασαλευθῆναι. Ἐγὼ τὸ ἐμαυτοῦ πεποίηκα, καὶ λόγοις παρακαλῶν καὶ συμβουλαῖς ἀνορθῶν καὶ τῶν χρειῶν τὴν ἀφθονίαν παρέχων, ὥστε ἐν μηδενὶ ὑμᾶς ὑστερηθῆναι. Εἰ δὲ μὴ βουληθείητέ μου ἀνέχεσθαι, ἀλλ' αὐτοῖς τοῖς ἀπατῶσιν ὑμᾶς καὶ

1. Ἡ ἠθική, ἀλλὰ καὶ ὑλική, ὑποστήριξη τῆς ἱεραποστολῆς στὴ Φοινίκη ἀποτελεῖ πρῶτο μέλημα τοῦ ἱεροῦ Χρυσοστόμου.
2. *Πράξ.* 16,25–34.

ματα, εἴτε σὲ ὑποδήματα, εἴτε σὲ εἴδη συντήρησης τῶν ἀδελφῶν[1]. Καὶ ἂν ἐγώ, ποὺ βρίσκομαι σὲ τόση θλίψη καὶ δύσκολη περίσταση καὶ κατοικῶ στὴν ἔρημη Κουκουσό, καταβάλλω τόση φροντίδα γιὰ τὰ δικά σας κατορθώματα, πολὺ περισσότερο πρέπει καὶ σεῖς, ἀπολαμβάνοντας μεγάλη ἀφθονία, ἐννοῶ ὡς πρὸς τὰ ἀναγκαῖα πράγματα, νὰ συνεισφέρετε ὅσα ἐξαρτῶνται ἀπὸ σᾶς.

Παρακαλῶ λοιπὸν κανεὶς νὰ σᾶς κάνει νὰ δειλιάσετε. Ἄλλωστε καὶ τὰ πράγματα παρουσίασαν εὐοίωνες ἐλπίδες, πρᾶγμα ποὺ θὰ μπορέσετε νὰ τὸ μάθετε ἀπὸ τὰ ἀντίγραφα ποὺ σᾶς ἔστειλε ὁ κύριός μου, ὁ εὐλαβέστατος πρεσβύτερος Κωνστάντιος. Καὶ ἂν παραμείνετε σταθεροί, ἔστω καὶ ἂν εἶναι μύρια τὰ ἐμπόδια, θὰ ὑπερισχύσετε ὅλων. Γιατὶ τίποτε δὲν εἶναι ἴσο μὲ τὴν ὑπομονὴ καὶ τὴν καρτερία (διότι μοιάζει μὲ βράχο), ἐνῶ οἱ ταραχὲς αὐτὲς καὶ σκευωρίες, ποὺ στρέφονται κατὰ τῆς Ἐκκλησίας, μοιάζουν μὲ κύματα ποὺ σκάζουν πάνω στὸν βράχο καὶ διαλύονται σὲ ἀφρό. Σκεφθῆτε πόσα καὶ οἱ μακάριοι ἀπόστολοι ὑπέφεραν καὶ ἀπὸ τοὺς οἰκείους καὶ ἀπὸ τοὺς ξένους καὶ ὅτι ὅλο τὸν χρόνο τοῦ κηρύγματος τὸν διήνυσαν μέσα ἀπὸ δοκιμασίες, κινδύνους καὶ σκευωρίες, δαπανώντας τὴ ζωή τους σὲ φυλακὲς καὶ ἁλυσίδες καὶ ἀπαγωγὲς καὶ μαστιγώσεις καὶ πείνα καὶ γύμνια. Ἀλλ' ὅμως, καὶ ὅταν ἀκόμα βρίσκονταν μέσα στὶς φυλακές, δὲν ἀπομακρύνονταν ἀπὸ τὸ ἔργο τῆς οἰκονομίας ποὺ τοὺς εἶχε ἐμπιστευθεῖ. Ἔτσι ὁ Παῦλος καὶ ὅταν ἦταν φυλακισμένος, μαστιγωμένος, καταματωμένος καὶ δεμένος σὲ ξύλο καὶ ἐνῶ ἔπασχε τόσα, καὶ κατηχοῦσε στὴ φυλακὴ καὶ τὸν δεσμοφύλακα βάπτιζε[2] καὶ ἔκανε ὅσα ἐξαρτῶταν ἀπὸ ἐκεῖνον.

Σκεπτόμενοι λοιπὸν ὅλα αὐτὰ καὶ τὰ ὅμοια, ὅπως παρακάλεσα τὴν ἀγάπη σας, σταθεῖτε ἀσάλευτοι, ἀμετακίνητοι, ἀνίκητοι, περιμένοντας τὴν ἐλπίδα τοῦ Θεοῦ καὶ τὴν ἀπὸ ἐκεῖ βοήθεια, πρὸς τὴν ὁποία τίποτε δὲ συγκρίνεται, καὶ φροντίστε νὰ μοῦ γράψετε καὶ σεῖς γιὰ ὅλα ἀπὸ ἐκεῖ. Γι' αὐτὸ ἄλλωστε ἔστειλα καὶ τὸν εὐλαβέστατο πρεσβύτερο Ἰωάννη γιὰ τὸ σκοπὸ αὐτό, ὥστε νὰ ἐνισχύσει τὴ διάνοιά σας καὶ νὰ μὴ σᾶς ἀφήσει νὰ παρασυρθεῖτε ἀπὸ τίποτε. Ἐγὼ ἔκανα ὅ,τι ἐξαρτῶταν ἀπὸ μένα, καὶ παρακαλώντας σας μὲ λόγια καὶ ἐνισχύοντάς σας μὲ συμβουλὲς καὶ παρέχοντας ἄφθονα τὰ ἀναγκαῖα μέσα, ὥστε νὰ μὴ στερηθεῖτε τίποτε. Ἐὰν ὅμως δὲ θελήσετε νὰ μὲ ἀνεχθεῖτε καὶ πεισθεῖτε σ' αὐτοὺς ποὺ σᾶς ἐξαπατοῦν

ἀναπτεροῦσι πεισθῆναι, ἐγὼ ἀνεύθυνός εἰμι. Ἴστε δὲ καὶ ἡ κατάγνωσις αὕτη καὶ ἡ ζημία ἐπὶ τίνα ἔρχεται.

Ἵν' οὖν μηδὲν τοιοῦτον γένηται, παρακαλῶ ἀνέχεσθαί μου, τοῦ σφόδρα ὑμᾶς ἀγαπῶντος. Καὶ περὶ ὧν ἂν δέησθε, ἢ ἐπιστείλατε ἡμῖν ἤ, εἰ βούλεσθε, ἕνα τινὰ πέμψατε πρὸς ἡμᾶς, καὶ οὐδὲν ὑμῖν ὑστερήσει καθόλου.

ΡΚΔ'

ΓΕΜΕΛΛΩ[1]

Ἄλλοι μὲν τῇ θαυμασιότητί σου συνήδονται τῆς ἀρχῆς, ἐγὼ δὲ τῇ πόλει καὶ τῇ μεγαλοπρεπείᾳ δὲ τῇ σῇ, οὐ διὰ τὴν ἐντεῦθεν τιμὴν (ὑψηλότερος γὰρ τῶν τοιούτων μεμελέτηκας εἶναι), ἀλλὰ διὰ τὸ λαβεῖν ἀφορμὴν τὴν παρέχουσάν σοι μετὰ πολλῆς τῆς ἀδείας καὶ τοῖς πολλοῖς δεῖξαι τὴν σύνεσίν σου καὶ τὴν ἡμερότητα καὶ τὸ ἐντεῦθεν κέρδος συναγαγεῖν. Εὖ γὰρ οἶδα καὶ τοὺς σφόδρα τῇ γῇ προσηλωμένους καὶ πρὸς τὰ ὀνείρατα ταῦτα κεχηνότας, λέγω δὴ τὴν παρὰ τῶν πολλῶν δόξαν, παιδεῦσαι δυνήσῃ, ὅτι οὐκ ἐν τῇ χλανίδι καὶ τῇ ζώνῃ, οὐδὲ ἐν τῇ φωνῇ τοῦ κήρυκος ὁ ἄρχων, ἀλλ' ἐν τῷ τὰ πεπονηκότα ἀνακτᾶσθαι καὶ τὰ κακῶς ἔχοντα διορθοῦν, καὶ κολάζειν μὲν ἀδικίαν, μὴ συγχωρεῖν δὲ ὑπὸ δυναστείας τὸ δίκαιον ἀπελαύνεσθαι. Καὶ γὰρ οἶδά σου τὴν παρρησίαν, τὴν ἐλευθεροστομίαν, τῆς διανοίας τὸ ὕψος, τὴν τῶν βιωτικῶν ὑπεροψίαν, τὸ μισοπόνηρον, τὸ ἥμερον, τὸ φιλάνθρωπον, οὗ μάλιστα ἄρχοντι δεῖ.

Διὸ κἀκεῖνο οἶδα σαφῶς, ὅτι λιμὴν ἔσῃ τῶν ναυαγούντων, βακτηρία τῶν ἐπὶ γόνυ κλιθέντων, πύργος τῶν ὑπὸ δυναστείας ἀδίκου πολεμουμένων· καὶ ἔσῃ ταῦτα ῥᾳδίως. Οὐδὲ γὰρ πόνου σοι δεῖ, οὐδὲ ἱδρῶτος, οὐδὲ χρόνου μακροῦ εἰς τὸ κατορθοῦν ταῦτα, ἀλλ', ὥσπερ ὁ ἥλιος ὁμοῦ τε φαίνεται καὶ πάντα λύει ζόφον, οὕτω καὶ αὐτὸς ἐπὶ

---

1. Ἡ χλαμύδα ἦταν τὸ κατεξοχὴν ἔνδυμα τῶν ἀξιωματούχων τοῦ Βυζαντινοῦ κράτους, ἀλλὰ καὶ τῶν αὐτοκρατόρων, οἱ ὁποῖοι τὴ φοροῦσαν σὲ μεγάλη ποικιλία χρωμάτων, ἀνάλογα μὲ τὴν περίσταση καὶ τὴν τελετὴ στὴν ὁποία ἐπρόκειτο νὰ πα-

καὶ σᾶς ἐξεγείρουν, ἐγὼ εἶμαι ἀνεύθυνος. Καὶ γνωρίζετε σὲ ποιὸν πέφτει ἡ καταδίκη αὐτὴ καὶ ἡ τιμωρία.

Γιὰ νὰ μὴ γίνει λοιπὸν τίποτε τέτοιο, παρακαλῶ νὰ ἀνέχεσθε ἐμένα ποὺ σᾶς ἀγαπῶ πολύ. Καὶ γιὰ ὅσα τυχὸν ἔχετε ἀνάγκη, ἢ γράψτε μου, ἤ, ἂν θέλετε, στεῖλτε μου ὁποιονδήποτε καὶ δὲν θὰ σᾶς λείψει τίποτε γενικά.

124

ΣΤΟΝ ΓΕΜΕΛΛΟ

Ἄλλοι βέβαια χαίρονται μαζὶ μὲ τὴ θαυμασιότητά σου ἐξαιτίας τῆς ἐξουσίας, ἐνῶ ἐγὼ χαίρομαι μὲ τὴν πόλη καὶ τὴ μεγαλοπρέπειά σου, ὄχι ἐξαιτίας τῆς τιμῆς ποὺ προέρχεται ἀπὸ αὐτὴν (διότι ἔχεις ἀσκηθεῖ νὰ εἶσαι ἀνώτερος ἀπὸ αὐτά), ἀλλὰ ἐπειδὴ χρησιμοποίησες τὴν ἐξουσία ποὺ σοῦ παρεῖχε ὡς μέσο γιὰ νὰ δείξεις στοὺς πολλοὺς τὴ σύνεσή σου καὶ τὴν πραότητα, καὶ νὰ ἀποκομίσεις τὸ ἀνάλογο κέρδος. Καὶ γνωρίζω καλὰ ὅτι ἀκόμα καὶ ἐκείνους ποὺ εἶναι πάρα πολὺ προσκολλημένοι στὴ γῆ καὶ χάσκουν πρὸς τὰ ὄνειρα αὐτά, ἐννοῶ τὴ δόξα ἐκ μέρους τῶν πολλῶν, θὰ μπορέσεις νὰ τοὺς διδάξεις ὅτι ὁ ἄρχοντας δὲν ξεχωρίζει ἀπὸ τὴ χλαμύδα καὶ τὴ ζώνη[1], οὔτε ἀπὸ τὴ φωνὴ τοῦ κήρυκα ποὺ τὸν ἀναγγέλλει, ἀλλὰ ἀπὸ τὸ ὅτι ἐνισχύει τὰ καταπονημένα καὶ διορθώνει τὰ κακῶς ἔχοντα, καὶ τιμωρεῖ βέβαια τὴν ἀδικία, δὲν ἐπιτρέπει ὅμως νὰ διώκεται τὸ δίκαιο ἀπὸ τὴν ἐξουσία. Ἄλλωστε γνωρίζω τὸ θάρρος σου, τὴν εἰλικρίνεια, τὴν ὑψηλή σου νοημοσύνη, τὴν περιφρόνηση των βιωτικῶν, τὸ μίσος τῆς πονηριᾶς, τὴν ἠπιότητα, καὶ τὴ φιλανθρωπία ποὺ κατεξοχὴν χρειάζεται στὸν ἄρχοντα.

Γι' αὐτὸ γνωρίζω καὶ αὐτὸ καλά, ὅτι θὰ εἶσαι λιμάνι τῶν ναυαγῶν, ραβδὶ ἐκείνων ποὺ γέρνει τὸ γόνατο, πύργος γιὰ ἐκείνους ποὺ πολεμοῦνται ἄδικα ἀπὸ τοὺς κρατοῦντες, καὶ θὰ εἶσαι ὅλα αὐτὰ μὲ εὐκολία. Γιατὶ οὔτε νὰ κοπιάσεις σοῦ χρειάζεται, οὔτε νὰ ἱδρώσεις, οὔτε χρόνος πολὺς γιὰ νὰ τὰ ἐπιτύχεις αὐτά. Ἀλλὰ ὅπως ὁ ἥλιος μό-

---

ραστοῦν. Βλ. Π. Παπαευαγγέλου, *Ἡ διαμόρφωση τῆς ἐξωτερικῆς ἐμφανίσεως τοῦ ἀνατολικοῦ καὶ ἰδίᾳ τοῦ ἑλληνικοῦ κλήρου*, Θεσσαλονίκη 1965, σελ. 31.

τοῦ θρόνου φανείς, εὖ οἶδ' ὅτι ἐκ πρώτης ἡμέρας τούς τε ἀδικεῖν ἐπιχειροῦντας ἀνέστειλας, τούς τε ἀδικουμένους, καὶ πρὶν εἰς τὸ δικαστήριον εἰσελθεῖν, πάσης ἐπηρείας ἀπήλλαξας· καὶ ἤρκεσεν εἰς τὴν τούτου διόρθωσιν ἡ τῆς φιλοσόφου σου ψυχῆς ὑπόληψις. Διὰ ταῦτα, καίτοι ἐν ἐρημίᾳ καθήμενος καὶ πολλαῖς συνεχόμενος περιστάσεσι, πολλῆς γέμω τῆς εὐφροσύνης, ἡμετέραν ἡδονὴν τὴν τῶν ἀδικουμένων συμμαχίαν ἡγούμενος.

ΡΚΕ'

ΠΡΟΣ ΚΥΡΙΑΚΟΝ ΕΠΙΣΚΟΠΟΝ ΕΝ ΕΞΟΡΙΑ ΟΝΤΑ ΚΑΙ ΑΥΤΟΝ

Φέρε δὴ πάλιν ἀπαντλήσω τῆς ἀθυμίας τὸ ἕλκος καὶ διασκεδάσω τοὺς λογισμοὺς τοὺς τὸ νέφος τοῦτο συνιστῶντας. Τί γάρ ἐστιν ὃ λυπῇ καὶ ἀδημονεῖς; Διότι χαλεπὸς ὁ χειμὼν καὶ πικρὸν τὸ ναυάγιον τὸ τὴν Ἐκκλησίαν καταλαβόν; Τοῦτο οἶδα κἀγὼ καὶ οὐδεὶς ἀντερεῖ, ἀλλ' εἰ βούλει, εἰκόνα σοι ἀναπλάττω τῶν γινομένων. Θάλατταν ὁρῶμεν ἀπ' αὐτῆς κάτωθεν ἀναμοχλευομένην τῆς ἀβύσσου, τοὺς ναύτας ἀντὶ τῶν οἰάκων καὶ τῶν κωπῶν τὰς χεῖρας τοῖς γόνασι περιπλέξαντας καὶ πρὸς τὴν ἀμηχανίαν τοῦ χειμῶνος ἀπορηθέντας, οὐκ οὐρανὸν βλέποντας, οὐ πέλαγος, οὐ ξηράν, ἀλλ' ἐπὶ τῶν στρωμάτων κειμένους καὶ ὀλοφυρομένους καὶ κλαίοντας.

Καὶ ταῦτα μὲν ἐπὶ τῆς θαλάσσης οὕτω συμβαίνει, νῦν δὲ ἐπὶ τῆς ἡμετέρας θαλάσσης χείρων ὁ θόρυβος καὶ χείρω τὰ κύματα. Ἀλλὰ παρακάλει τὸν Δεσπότην ἡμῶν Χριστόν, ὅς οὐ τέχνῃ περιγίνεται χειμῶνος, ἀλλὰ νεύματι λύει τὴν ζάλην. Ἀλλ', εἰ καὶ πολλάκις παρεκάλεσας καὶ οὐκ εἰσηκούσθης, μὴ ὀλιγωρήσῃς· τοιοῦτον γὰρ ἔθος ἔχει ὁ φιλάνθρωπος Θεός. Μὴ γὰρ οὐκ ἠδύνατο ἐκείνους τοὺς τρεῖς παῖδας λυτρώσασθαι, ἵνα μὴ εἰς τὴν κάμινον τοῦ πυρὸς ἐμπέσωσιν;

---

1. Γιὰ νὰ παραστήσει ζωηρὰ τὴν ἀναταραχὴ ποὺ δημιουργήθηκε στοὺς κόλπους τῆς Ἐκκλησίας ὁ ἱ. Χρυσόστομος χρησιμοποιεῖ συνήθως τὴν εἰκόνα τῆς θαλασσοταραχῆς. Βλ. καὶ *Ἐπιστολὴ* 4α πρὸς τὴν Ὀλυμπιάδα.

λις φαίνεται διαλύει κάθε σκοτάδι, ἔτσι καὶ σύ, μόλις ἐμφανίσθηκες στὸ θρόνο, γνωρίζω καλὰ ὅτι ἀπὸ τὴ πρώτη μέρα, καὶ αὐτοὺς ποὺ ἐπιχειροῦσαν νὰ ἀδικήσουν τοὺς σταμάτησες, καὶ τοὺς ἀδικούμενους, πρὶν ἀκόμα μποῦν στὸ δικαστήριο, τοὺς ἀπάλλαξες ἀπὸ κάθε συνέπεια. Καὶ ἦταν ἀρκετὴ στὸ νὰ τὸ κατορθώσεις αὐτὸ ἡ ἐκτίμηση τῆς ἐνάρετης ψυχῆς σου. Γι' αὐτό, ἂν καὶ βρίσκομαι στὴν ἐρημιὰ καὶ στενοχωριέμαι ἀπὸ πολλὲς δοκιμασίες, εἶμαι γεμάτος χαρά, θεωρώντας δική μου εὐχαρίστηση τὴ βοήθεια αὐτῶν ποὺ ἀδικοῦνται.

125

ΠΡΟΣ ΤΟΝ ΕΠΙΣΚΟΠΟ ΚΥΡΙΑΚΟ ΕΥΡΙΣΚΟΜΕΝΟΝ ΚΑΙ ΑΥΤΟΝ ΣΤΗΝ ΕΞΟΡΙΑ

Ἐμπρὸς λοιπὸν ἂς ἀφαιρέσω πάλι τὴν πληγὴ τῆς λιποψυχίας καὶ ἂς διαλύσω τοὺς λογισμοὺς ποὺ σχηματίζουν αὐτὸ τὸ νέφος. Γιατὶ τί εἶναι ἐκεῖνο ποὺ σὲ στενοχωρεῖ καὶ ἀγωνιᾶς; Ὅτι εἶναι φοβερὴ ἡ συμφορὰ καὶ λυπηρὸ τὸ ναυάγιο ποὺ βρῆκε τὴν Ἐκκλησία; Αὐτὸ τὸ γνωρίζω καὶ ἐγὼ καὶ κανεὶς δὲν ἀντιλέγει. Ἐὰν ὅμως θέλεις, σοῦ ἀναπαριστῶ τὴν εἰκόνα αὐτῶν ποὺ ἔγιναν. Βλέπουμε θάλασσα ποὺ ἀναταράσσεται ἀπὸ κάτω ἀπὸ τὸν ἴδιο τὸ βυθό της. Οἱ ναῦτες, ἀντὶ νὰ κρατοῦν τὰ πηδάλια καὶ τὰ κουπιά, ἀφοῦ περιέπλεξαν τὰ χέρια στὰ γόνατα καὶ γεμάτοι ἔκπληξη ἀπὸ τὸ ἀναπότρεπτο κακό, δὲν βλέπουν τὸν οὐρανό, οὔτε τὸ πέλαγος, οὔτε τὴν ξηρά, ἀλλὰ εἶναι ξαπλωμένοι στὰ στρώματα καὶ θρηνοῦν καὶ κλαῖνε[1].

Καὶ αὐτὰ βέβαια διαδραματίζονται ἔτσι στὴ θάλασσα. Τώρα ὅμως στὴ δική μας θάλασσα ἡ ταραχὴ εἶναι χειρότερη καὶ τὰ κύματα φοβερότερα. Ἀλλὰ νὰ παρακαλεῖς τὸν Δεσπότη μας Χριστό, ὁ ὁποῖος δὲν ἐπιβάλλεται στὴ θαλασσοταραχὴ μὲ τέχνασμα, ἀλλὰ καταπαύει τὴν τρικυμία μὲ νεῦμα[2]. Ἐὰν ὅμως τὸν παρακάλεσες πολλὲς φορὲς καὶ δὲν εἰσακούσθηκες, μὴν ἀμελήσεις, γιατὶ ἔτσι συνηθίζει νὰ ἐνεργεῖ ὁ φιλάνθρωπος Θεός. Μήπως δὲν μποροῦσε νὰ

2. *Μάρκ.* 4,39.

Ἀλλ' ὅτε ἠχμαλωτεύθησαν, ὅτε εἰς βάρβαρον χώραν ἀπερρίφησαν καὶ τῆς πατρῴας κληρονομίας ἐξέπεσον καὶ παρὰ πάντων ἀπεγνώσθησαν καὶ οὐδὲν λοιπὸν οὐκ ἀπελίπετο, τότε Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν τὴν θαυματοποιίαν εἰργάσατο καὶ διεσκόρπισε τὸ πῦρ. Μὴ φέρον γὰρ τὴν ἀρετὴν τῶν δικαίων τὸ πῦρ, ἐξεπήδησεν ἔξω καὶ ἐνεπύρισεν οὓς εὗρε περὶ τὴν κάμινον τῶν Χαλδαίων. Καὶ λοιπὸν ἐκκλησία αὐτοῖς ἦν ἡ κάμινος καὶ πᾶσαν τὴν κτίσιν προσεκαλοῦντο, τά τε ὁρατὰ καὶ τὰ ἀόρατα, ἀγγέλους καὶ δυνάμεις, καὶ οὕτω πάντα συλλαβόμενοι ἔλεγον· «εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον». Ὁρᾷς πῶς ἡ ὑπομονὴ τῶν δικαίων καὶ τὸ πῦρ εἰς δρόσον μετέβαλε καὶ τὸν τύραννον ἐδυσώπησε καὶ κατὰ πάσης τῆς οἰκουμένης ἐκπέμπει γράμματα; «Μέγας ὁ Θεός», φησί, «Σεδράχ, Μισάχ καὶ Ἀβδεναγώ». Καὶ ἰδοὺ πόσην ἀποτομίαν ἐνέθηκεν, εἴ τις λόγον εἴπῃ κατ' αὐτῶν, τὸν οἶκον αὐτοῦ ταμιεύεσθαι καὶ τὰ ὑπάρχοντα αὐτοῦ διαρπάζεσθαι.

Μὴ οὖν ἀθυμήσῃς μηδὲ ὀλιγωρήσῃς. Καὶ γὰρ ἐγὼ ὅτε ἐξηλαυνόμην ἀπὸ τῆς πόλεως, οὐδὲν τούτων οὐκ ἐφρόντιζον, ἀλλ' ἔλεγον πρὸς ἐμαυτόν· Εἰ μὲν βούλεται ἡ βασίλισσα ἐξορίσαι, ἐξορίσῃ με· «τοῦ Κυρίου ἡ γῆ, καὶ τὸ πλήρωμα αὐτῆς». Καὶ εἰ βούλεται πρῖσαι, πρίσῃ με· τὸν Ἠσαΐαν ἔχω ὑπογραμμόν. Εἰ θέλει εἰς τὸ πέλαγος ἀκοντίσαι με, τὸν Ἰωνᾶν ὑπομιμνήσκομαι. Εἴ με θέλει εἰς κάμινον ἐμβαλεῖν, τοὺς τρεῖς παῖδας ἔχω τοῦτο πεπονθότας. Εἴ με θέλει τοῖς θηρίοις βαλεῖν, τὸν Δανιὴλ ἐν λάκκῳ τοῖς λέουσι βεβλημένον ὑπομιμνήσκομαι. Εἰ θέλει με λιθάσαι, λιθάσῃ με· τὸν Στέφανον ἔχω τὸν πρωτομάρτυρα. Εἰ θέλει τὴν κεφαλήν μου λαβεῖν, λάβῃ· ἔχω Ἰωάννην τὸν βαπτιστήν. Εἰ θέλει τὰ ὑπάρχοντά μου λαβεῖν, λάβῃ αὐτά· «γυμνὸς ἐξῆλθον ἐκ κοιλίας μητέρος μου, γυμνὸς καὶ ἀπελεύσομαι».

---

3. Πρβλ. *Δαν.* 3,1–33.
4. *Προσευχὴ Ἀζαρία καὶ ὕμνος τῶν τριῶν παίδων*, στ. 34.
5. *Δαν.* 3,28 καὶ 31–33.
6. *Δαν.* 3,29.
7. *Ψαλμ.* 23,1.
8. Ὁ προφήτης Ἠσαΐας, κατὰ μία παράδοση, πέθανε μὲ πριονισμό, τὸν ὁποῖο ὑπαινίσσεται ἐδῶ ὁ ἱερὸς Χρυσόστομος.

γλυτώσει ἐκείνους τοὺς τρεῖς παῖδες, γιὰ νὰ μὴ ριχθοῦν μέσα στὴν κάμινο τοῦ πυρός; Ὅμως, ἀφοῦ αἰχμαλωτίσθηκαν καὶ ἐξορίσθηκαν σὲ βάρβαρη χώρα καὶ ἀποξενώθηκαν ἀπὸ τὴν πατρική τους κληρονομιὰ καὶ ἀπογοητεύθηκαν ἀπὸ ὅλους καὶ δὲν τοὺς ἀπόμεινε τίποτε, τότε ὁ Χριστὸς ὁ ἀληθινὸς Θεός μας ἔκανε τὸ θαῦμα καὶ σκόρπισε τὴ φωτιά[3]. Γιατὶ ἡ φωτιά, μὴ ὑποφέροντας τὴν ἀρετὴ τῶν δικαίων, πήδησε ἔξω καὶ ἔκαψε ἐκείνους ποὺ βρῆκε γύρω ἀπὸ τὸ καμίνι τῶν Χαλδαίων. Καὶ ἔτσι τὸ καμίνι ἦταν γι' αὐτοὺς Ἐκκλησία καὶ καλοῦσαν ὅλη τὴν κτίση, καὶ τὰ ὁρατὰ καὶ τὰ ἀόρατα, τοὺς ἀγγέλους καὶ τὶς οὐράνιες δυνάμεις, καὶ ἀφοῦ ἔτσι τὰ περιέλαβαν ὅλα, ἔλεγαν· «ὅλα τὰ ἔργα τοῦ Κυρίου εὐλογεῖτε τὸν Κύριο»[4]. Βλέπεις πῶς ἡ ὑπομονὴ τῶν δικαίων καὶ τὴ φωτιὰ τὴ μετέβαλε σὲ δροσιὰ καὶ τὸν τύραννο τὸν ντρόπιασε καὶ τὸν ἔκανε νὰ στείλει γράμματα σὲ ὅλη τὴν οἰκουμένη; «Μεγάλος εἶναι ὁ Θεός», λέει, «τοῦ Σεδράχ, τοῦ Μισὰχ καὶ τοῦ Ἀβδεναγώ»[5]. Καὶ νὰ πόση αὐστηρότητα ὅρισε γιὰ ὅποιον συμβεῖ νὰ μιλήσει ἐναντίον τους, νὰ δημεύεται τὸ σπίτι του καὶ νὰ ἁρπάζονται τὰ ὑπάρχοντά του[6].

Μὴ λιποψυχήσεις λοιπὸν οὔτε νὰ ἀμελήσεις. Γιατὶ κι ἐγώ, ὅταν ἀπομακρυνόμουν ἀπὸ τὴν πόλη, γιὰ τίποτε ἀπὸ αὐτὰ δὲν φρόντιζα, ἀλλὰ ἔλεγα στὸν ἑαυτό μου. Ἐὰν θέλει ἡ βασίλισσα νὰ μὲ ἐξορίσει, θὰ μὲ ἐξορίσει· «τοῦ Κυρίου εἶναι ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς»[7]. Καὶ ἐὰν θέλει νὰ μὲ πριονίσει, θὰ μὲ πριονίσει· ἔχω γιὰ ὑπόδειγμα τὸν Ἠσαΐα[8]. Ἐὰν θέλει νὰ μὲ πετάξει στὸ πέλαγος, φέρνω στὴ μνήμη μου τὸν Ἰωνᾶ[9]. Ἐὰν θέλει νὰ μὲ ρίξει στὴν κάμινο τοῦ πυρός, ἔχω τοὺς τρεῖς παῖδες ποὺ ἔπαθαν τὸ ἴδιο[10]. Ἐὰν θέλει νὰ μὲ ρίξει στὰ θηρία, θυμᾶμαι τὸν Δανιὴλ ριχμένο στὸ λάκκο μὲ τὰ λιοντάρια[11]. Ἐὰν θέλει νὰ μὲ λιθοβολήσει, θὰ μὲ λιθοβολήσει· τὸν Στέφανο ἔχω παράδειγμα τὸν πρωτομάρτυρα[12]. Ἐὰν θέλει νὰ πάρει τὸ κεφάλι μου, θὰ τὸ πάρει· ἔχω παράδειγμα τὸν βαπτιστὴ Ἰωάννη. Ἐὰν θέλει νὰ πάρει τὰ ὑπάρχοντά μου, θὰ τὰ πάρει· «γυμνὸς βγῆκα ἀπὸ τὴν κοιλιὰ τῆς μητέρας μου, γυμνὸς καὶ θὰ φύγω»[13]. Ἐμένα μὲ

9. *Ἰωνᾶ* 1,15.
10. *Δαν.* 3,1–33.
11. *Δαν.* 6,1–28.
12. *Πράξ.* 7,59.
13. *Ἰὼβ* 1,21.

Ἐμοὶ παραινεῖ ὁ Ἀπόστολος· «πρόσωπον ἀνθρώπου ὁ Θεὸς οὐ λαμβάνει», καί, «εἰ ἔτι», φησίν, «ἀνθρώποις ἤρεσκον, Χριστοῦ δοῦλος οὐκ ἂν ἤμην». Καὶ ὁ Δαυῒδ καθοπλίζει με λέγων, «ἐλάλουν ἐν τοῖς μαρτυρίοις σου ἐναντίον βασιλέων, καὶ οὐκ ᾐσχυνόμην».

Πολλὰ κατ' ἐμοῦ ἐσκευάσαντο καὶ λέγουσιν, ὅτι τινὰς ἐκοινώνησα μετὰ τὸ φαγεῖν αὐτούς. Καὶ εἰ μὲν τοῦτο ἐποίησα, ἐξαλειφθείη τὸ ὄνομά μου ἐκ τῆς βίβλου τῶν ἐπισκόπων καὶ μὴ γραφείη ἐν τῇ βίβλῳ τῆς ὀρθοδόξου πίστεως, ὅτι ἰδοὺ ἐὰν τοιοῦτον ἐγὼ ἔπραξα καὶ ἀποβαλεῖ με Χριστὸς ἐκ τῆς βασιλείας αὐτοῦ. Εἰ δὲ ἅπαξ καὶ τοῦτό μοι λέγουσι καὶ φιλονεικοῦσι, καθελέτωσαν καὶ τὸν Παῦλον, ὃς μετὰ τὸ δειπνῆσαι ὁλόκληρον τὸν οἶκον ἐβάπτισε· καθελέτωσαν καὶ αὐτὸν τὸν Κύριον, ὃς μετὰ τὸ δειπνῆσαι τοῖς ἀποστόλοις τὴν κοινωνίαν ἔδωκε. Λέγουσιν, ὅτι μετὰ γυναικὸς ἐκοιμήθην. Ἀποδύσατέ μου τὸ σῶμα καὶ εὑρήσετε τὴν νέκρωσιν τῶν μελῶν μου. Ἀλλὰ ταῦτα πάντα διὰ τὸν φθόνον ἐποίησαν.

Ἀλλὰ πάντως λυπῇ, ἀδελφὲ Κυριακέ, ὅτι ἐκεῖνοι οἱ ἡμᾶς ἐξορίσαντες ἐπὶ τῆς ἀγορᾶς παρρησιάζονται καὶ πλῆθος ἀκολουθεῖ δορυφόρων αὐτοῖς; Ἀλλὰ πάλιν ὑπομνήσθητι τὸν πλούσιον καὶ τὸν Λάζαρον, ποῖος μὲν ἐν τῷ νῦν αἰῶνι ἐθλίβη, ποῖος δὲ ἀπήλαυσε. Τί ἔβλαψεν αὐτὸν ἡ πενία; Οὐχὶ ὁ ἀθλητὴς καὶ νικητὴς εἰς τοὺς κόλπους Ἀβραὰμ ἀπηνέχθη; Τί δὲ ὠφέλησεν ἐκεῖνον ὁ πλοῦτος τὸν ἐν πορφύρᾳ καὶ βύσσῳ ἀναπαυόμενον; Ποῦ οἱ ραβδοῦχοι; ποῦ οἱ δορυφόροι; ποῦ οἱ χρυσοχάλινοι ἵπποι; ποῦ οἱ παράσιτοι καὶ ἡ βασιλικὴ τράπεζα; Οὐχὶ ὡς λῃστὴς δεδεμένος ἀπήγετο ἐν τῷ μνήματι, γυμνὴν τὴν ψυχὴν ἐκ τοῦ κόσμου ἐκφέρων καὶ κράζει κενῇ τῇ φωνῇ, «πάτερ Ἀβραάμ, πέμψον Λάζαρον, ἵνα βρέξῃ τὸ ἄκρον τοῦ δακτύλου αὐτοῦ καὶ καταψύξῃ τὴν γλῶττάν μου, διότι δεινῶς ἀποτηγανίζομαι»;

Τί πατέρα καλεῖς τὸν Ἀβραάμ, οὗ τὸν βίον οὐκ ἐμιμήσω; Ἐκεῖνος πάντα ἄνθρωπον εἰς τὸν οἶκον αὐτοῦ ἐξένιζεν, σὺ δὲ ἑνὸς

---

14. *Γαλ.* 2,6. 15. *Γαλ.* 1,10. 16. *Ψαλμ.* 118,46.
17. Μιὰ ἀπὸ τὶς συκοφαντίες ποὺ ἐκτόξευαν ἐναντίον τοῦ Χρυσοστόμου.
18. *Πράξ.* 16,33. Τὸ δεῖπνο στὸ σπίτι τοῦ δεσμοφύλακα τῶν Φιλίππων, ποὺ ὑπαινίσσεται ἐδῶ ὁ ἱ. Χρυσόστομος, ἔγινε μετὰ τὸ βάπτισμα αὐτοῦ καὶ τῆς οἰκογένειάς του.
19. *Λουκᾶ* 22,14–20.

συμβουλεύει ὁ ἀπόστολος λέγοντας· «ὁ Θεὸς δὲ λαβαίνει ὑπόψη του τὸ πρόσωπο τοῦ ἀνθρώπου»[14]· καὶ «ἐὰν ζητοῦσα ἀκόμα νὰ εἶμαι ἀρεστὸς στοὺς ἀνθρώπους, δὲν θὰ ἤμουν δοῦλος τοῦ Χριστοῦ»[15]. Καὶ ὁ Δαβὶδ μὲ ὁπλίζει καλὰ λέγοντας· «μιλοῦσα γιὰ τὶς ἐντολές σου μπροστὰ σὲ βασιλεῖς καὶ δὲν φοβόμουν»[16].

Πολλὰ ἐπινόησαν εἰς βάρος μου καὶ ἰσχυρίζονται ὅτι ἐκοινώνησα κάποιους ἀφοῦ προηγουμένως εἶχαν φάει[17]. Καὶ ἐὰν βέβαια τὸ ἔκανα αὐτό, νὰ διαγραφεῖ τὸ ὄνομά μου ἀπὸ τὸ βιβλίο τῶν ἐπισκόπων καὶ νὰ μὴ γραφεῖ στὸ βιβλίο τῆς ὀρθόδοξης πίστεως, γιατί, ἐὰν ἐγὼ ἔκανα κάτι τέτοιο, θὰ μὲ ἀποβάλει καὶ ὁ Χριστὸς ἀπὸ τὴ βασιλεία του. Ἀλλ' ἀφοῦ ἔτσι κι ἀλλιῶς τὸ λένε εἰς βάρος μου καὶ φιλονεικοῦν, ἂς καθαιρέσουν καὶ τὸν Παῦλο, ὁ ὁποῖος μετὰ τὸ δεῖπνο βάπτισε ὁλόκληρη οἰκογένεια[18]· ἂς καθαιρέσουν καὶ τὸν ἴδιο τὸν Κύριο, ὁ ὁποῖος ἔδωσε τὴν κοινωνία στοὺς ἀποστόλους μετὰ τὸ δεῖπνο[19]. Ἰσχυρίζονται ἀκόμα ὅτι κοιμήθηκα μὲ γυναίκα. Ξεντύστε τὸ σῶμά μου καὶ θὰ διαπιστώσετε τὴ νέκρωση τῶν μελῶν μου[20]. Συνεπῶς ὅλα αὐτὰ τὰ ἔκαναν ἀπὸ φθόνο.

Ἀλλὰ σὲ στενοχωρεῖ, ἀδελφὲ Κυριακέ, τὸ ὅτι ἐκεῖνοι ποὺ μὲ ἐξόρισαν μιλοῦν μὲ παρρησία στὴν ἀγορὰ καὶ τοὺς ἀκολουθεῖ πλῆθος δορυφόρων; Καὶ πάλι θυμίσου τὸν πλούσιο καὶ τὸν Λάζαρο, ποιός ἀπὸ αὐτοὺς δικίμασε θλίψεις στὴν ἐδῶ ζωὴ καὶ ποιός πέρασε μὲ ἀπολαύσεις. Σὲ τί ἔβλαψε τὸν πρῶτο ἡ φτώχεια; Δὲν μεταφέρθηκε ὁ ἀθλητὴς καὶ νικητὴς στοὺς κόλπους τοῦ Ἀβραάμ; Καὶ σὲ τί ὠφέλησε ὁ πλοῦτος τὸν ἄλλο ποὺ ἀναπαυόταν σὲ πορφυρὰ καὶ λινὰ ἐνδύματα[21]; Ποῦ πῆγαν οἱ ραβδοῦχοι; ποῦ πῆγαν οἱ σωματοφύλακες; ποῦ πῆγαν τὰ ἄλογα μὲ τὰ χρυσὰ χαλινάρια; ποῦ πῆγαν οἱ ὁμοτράπεζοι καὶ τὸ βασιλικὸ τραπέζι; Δὲν μεταφερόταν στὸ μνῆμα δεμένος σὰν ληστής, βγάζοντας τὴν ψυχή του γυμνὴ ἀπὸ τὸν κόσμο καὶ φωνάζοντας μὲ τὴν ἄδεια φωνή του· «πάτερ Ἀβραάμ, στεῖλε τὸν Λάζαρο νὰ βρέξει τὴν ἄκρη τοῦ δακτύλου του καὶ νὰ δροσίσει τὴ γλῶσσα μου, γιατὶ τηγανίζομαι φοβερά»[22];

Γιατί ἀποκαλεῖς πατέρα τὸν Ἀβραάμ, τοῦ ὁποίου τὸν βίο δὲν μιμήθηκες; Ἐκεῖνος τὸν κάθε ἄνθρωπο τὸν φιλοξενοῦσε στὸ σπίτι

20. Ἄλλη μιὰ σοβαρὴ συκοφαντία τῶν ἐχθρῶν τοῦ Χρυσοστόμου ἐναντίον του.

21. *Λουκᾶ* 16,19. 22. *Λουκᾶ* 16,24.

πτωχοῦ φροντίδα οὐκ ἐποιήσω. Οὐκ ἔστι πενθῆσαι καὶ κλαῦσαι, ὅτι ὁ τοσοῦτον πλοῦτον ἔχων, σταγόνος ὕδατος ἄξιος οὐκ ἐγένετο. Ἐπειδὴ γὰρ ψιχίων οὐ μετέδωκε τῷ πτωχῷ, σταγόνα ὕδατος οὐ λαμβάνει. Τῷ χειμῶνι οὐκ ἔσπειρεν ἔλεος, ἦλθε τὸ θέρος καὶ οὐκ ἐθέρισε. Καὶ τοῦτο τοῦ Δεσπότου οἰκονομία, ὅτι ἐξ ἐναντίας ἐποίησε τὴν κόλασιν τοῖς ἀσεβέσι καὶ τὴν ἀνάπαυσιν τοῖς δικαίοις, ἵνα βλέπωσιν ἀλλήλους καὶ ἀλλήλους γνωρίζωσι. Καὶ γὰρ ἕκαστος τότε μάρτυς τὸν ἴδιον τύραννον ἐπιγνώσεται καὶ ἕκαστος τύραννος τὸν ἴδιον μάρτυρα, ὃν ἐκόλασε.

Καὶ οὐκ ἐμὰ τὰ ῥήματα· ἄκουσον τῆς Σοφίας λεγούσης· «τότε ἐν πολλῇ παρρησίᾳ στήσεται ὁ δίκαιος κατὰ πρόσωπον τῶν θλιψάντων αὐτόν». Ὥσπερ γὰρ ὁδοιπόρος ἐν καύματι περιπατῶν, ἡνίκα εὕρῃ καθαρὰν πηγὴν τῇ δίψῃ φλεγόμενος καὶ πολλῷ τῷ λιμῷ συνεχόμενος παρακαθέζηται τραπέζῃ ἐχούσῃ παντοῖα τὰ ἐδέσματα, παρά τινος δὲ δυνατωτέρου κωλύηται μὴ ἅψασθαι τῆς τραπέζης, μηδὲ ἀπολαῦσαι τῶν ἐδεσμάτων, σφοδρὰν ἔχει τὴν ὀδύνην καὶ τὴν κόλασιν, ὅτι τῇ τραπέζῃ παρακαθέζεται καὶ τῶν βρωμάτων ἀπολαῦσαι οὐ δύναται, καὶ ὁ τῇ πηγῇ παρακαθεζόμενος, τοῦ ὕδατος ἀπολαῦσαι οὐ δύναται, οὕτως ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως, βλέπουσι τοὺς ἁγίους εὐφραινομένους οἱ ἀσεβεῖς καὶ τῆς βασιλικῆς τραπέζης ἀπολαῦσαι οὐ δύνανται. Καὶ γὰρ τὸν Ἀδὰμ ὁ Θεὸς κολάσαι βουλόμενος ἐποίησεν αὐτὸν ἐξ ἐναντίας τοῦ παραδείσου ἐργάζεσθαι τὴν γῆν, ἵνα καθ᾽ ἑκάστην ἡμέραν καὶ ὥραν βλέπων ἐκεῖνο τὸ ποθητὸν χωρίον, ὅθεν ἐξῆλθεν, ἔχῃ πάντοτε τὴν ὀδύνην ἐν τῇ ψυχῇ. Εἰ δὲ καὶ ὧδε ἀλλήλοις μὴ συντύχωμεν, ἀλλ᾽ ἐκεῖ οὐδεὶς ὁ κωλύων ἡμᾶς τότε μετ᾽ ἀλλήλων διάγειν· καὶ ὀψόμεθα τοὺς ἐξορίσαντας ἡμᾶς, ὥσπερ ὁ Λάζαρος τὸν πλούσιον, καὶ οἱ μάρτυρες τοὺς τυράννους.

Μὴ οὖν ἀθύμει, ἀλλὰ μνημόνευε του προφήτου λέγοντος· «μυκτηρισμὸν ἀνθρώπων μὴ φοβεῖσθε, καὶ τῷ φαυλισμῷ αὐτῶν μὴ ἡττᾶσθε· ὥσπερ γὰρ ἔριον ὑπὸ σητός, οὕτω βρωθήσονται, καὶ ὡς ἱμάτιον παλαιωθήσονται». Κατανόησον δὲ τὸν Δεσπότην, πῶς εὐ-

---

23. Ἐδῶ εἶναι προφανὴς ἡ ἀναφορὰ τοῦ ἱεροῦ Χρυσοστόμου στὴ γνωστὴ φιλοξενία τοῦ Ἀβραάμ, *Γεν.* 18,1–8.
24. *Γεν.* 3,24.
25. *Σοφ.* Σολ. 5,1.
26. *Γεν.* 3,24.

του[23], ἐνῶ ἐσὺ οὔτε ἕνα φτωχὸ δὲ φρόντισες. Δὲν εἶναι γιὰ πένθος καὶ κλάματα τὸ ὅτι αὐτὸς ποὺ εἶχε τόσο πλοῦτο δὲν στάθηκε ἄξιος γιὰ μιὰ σταγόνα νεροῦ; Διότι, ἐπειδὴ δὲν ἔδωσε ψίχουλα στὸν φτωχό, δὲν παίρνει σταγόνα νεροῦ. Κατὰ τὴ διάρκεια τοῦ χειμώνα δὲν ἔσπειρε ἐλεημοσύνη. Ἦρθε τὸ καλοκαίρι καὶ δὲ θέρισε. Καὶ αὐτὸ ἀποτελεῖ οἰκονομία τοῦ Δεσπότη, τὸ ὅτι τοποθέτησε ἀντικρυστὰ τὴν κόλαση[24] γιὰ τοὺς ἀσεβεῖς καὶ τὴν ἀνάπαυση γιὰ τοὺς δίκαιους, γιὰ νὰ βλέπονται καὶ νὰ ἀναγνωρίζονται. Γιατὶ πραγματικὰ τότε κάθε μάρτυρας θὰ ἀναγνωρίσει τὸν τύραννό του καὶ κάθε τύραννος τὸν μάρτυρά του, τὸν ὁποῖο βασάνισε.

Καὶ δὲν εἶναι δικά μου τὰ λόγια· ἄκουσε τὴ Σοφία ποὺ λέει· «τότε θὰ σταθεῖ μὲ πολὺ θάρρος ὁ δίκαιος ἀπέναντι σ' αὐτοὺς ποὺ τὸν στενοχώρησαν»[25]. Γιατί, ὅπως ἕνας ὁδοιπόρος ποὺ περπατᾶ μέσα σὲ καύσωνα, ὅταν συναντήσει καθαρὴ πηγή, ἐνῶ καίεται ἀπὸ τὴ δίψα, ἢ κάθεται σὲ τραπέζι ποὺ ἔχει διάφορα φαγώσιμα καί, ἐνῶ κατέχεται ἀπὸ μεγάλη πείνα, ἀπὸ κάποιον δυνατότερο ἐμποδίζεται, ὥστε νὰ μὴ ἀκουμπίσει τὸ τραπέζι οὔτε νὰ ἀπολαύσει τὰ ἐδέσματα, αἰσθάνεται μεγάλη λύπη καὶ τιμωρία, διότι, ἐνῶ κάθεται στὸ τραπέζι, δὲν μπορεῖ νὰ ἀπολαύσει τὰ φαγητά, καὶ ἐκεῖνος ποὺ κάθεται δίπλα στὴν πηγὴ δὲν μπορεῖ νὰ πιεῖ νερό, ἔτσι κατὰ τὴν ἡμέρα τῆς κρίσεως, οἱ ἀσεβεῖς βλέπουν τοὺς ἁγίους νὰ εὐφραίνονται, ἀλλὰ δὲν μποροῦν νὰ ἀπολαύσουν τὸ βασιλικὸ τραπέζι. Γι' αὐτὸ καὶ τὸν Ἀδὰμ ὁ Θεός, θέλοντας νὰ τὸν τιμωρήσει, τὸν ἔβαλε νὰ καλλιεργεῖ τὴ γῆ ἀπέναντι ἀπὸ τὸν παράδεισο[26], ὥστε, βλέποντας κάθε μέρα καὶ ὥρα τὸν ἐπιθυμητὸ ἐκεῖνο χῶρο ἀπὸ ὅπου βγῆκε, νὰ ἔχει πάντοτε στὴν ψυχή του τὴ λύπη. Καὶ ἐὰν ἐδῶ δὲν συναντήσουμε ὁ ἕνας τὸν ἄλλον, ἐκεῖ δὲν ὑπάρχει κανεὶς ποὺ θὰ μᾶς ἐμποδίζει νὰ ζοῦμε μαζί, καὶ θὰ δοῦμε αὐτοὺς ποὺ μᾶς ἐξόρισαν, ὅπως ὁ Λάζαρος τὸν πλούσιο καὶ οἱ μάρτυρες τοὺς τυράννους.

Μὴ στενοχωρεῖσαι λοιπόν, ἀλλὰ νὰ θυμᾶσαι τὸν προφήτη ποὺ λέει· «μὴ φοβᾶστε τὸν ἐμπαιγμὸ τῶν ἀνθρώπων καὶ μὴ ὑποχωρεῖτε στὴ καταφρόνηση αὐτῶν. Γιατί, ὅπως τὸ μαλλὶ τρώγεται ἀπὸ τὸν σκόρο, ἔτσι θὰ φαγωθοῦν καὶ θὰ παλιώσουν σὰν ἱμάτιο»[27]. Σκέψου

27. *Ἠσ.* 51,7. Τὸ χωρίο ἔχει ὡς ἑξῆς: «μὴ φοβεῖσθε ὀνειδισμὸν ἀνθρώπων καὶ τῷ φαυλισμῷ αὐτῶν μὴ ἡττᾶσθε. Ὡς γὰρ ἱμάτιον βρωθήσεται ὑπὸ χρόνου καὶ ὡς ἔρια βρωθήσεται ὑπὸ σητός».

θὺς ἀπὸ τῶν σπαργάνων ἐδιώκετο καὶ εἰς βάρβαρον γῆν ἀπερρίπτετο, ὁ τὸν κόσμον κατέχων, τύπος ἡμῖν γενόμενος τοῦ μὴ ἐκκακεῖν ἐν τοῖς πειρασμοῖς. Ἀνάμνησαι τὸ πάθος τοῦ Σωτῆρος, ὅσας ὕβρεις δι' ἡμᾶς ὑπέμεινεν. Οἱ μὲν γὰρ αὐτὸν Σαμαρείτην ἐκάλουν, οἱ δὲ δαιμονιῶντα καὶ γαστρίμαργον καὶ ψευδοπροφήτην. Λέγουσι γάρ· «ἰδοὺ ἄνθρωπος φάγος καὶ οἰνοπότης», καί, ὅτι «ἐν τῷ ἄρχοντι τῶν δαιμονίων ἐκβάλλει τὰ δαιμόνια». Τί δὲ ὅτε ἦγον αὐτὸν κρημνίσαι καὶ ὅτε εἰς τὸ πρόσωπον αὐτοῦ ἐνέπτυον; Τί δὲ ὅτε τὴν χλαμύδα αὐτῷ περιετίθουν καὶ ὅτε ἐμπαίζοντες καὶ πᾶν εἶδος χλεύης αὐτῷ ἐπάγοντες, τί δὲ ὅτε ῥαπίσματα αὐτῷ ἐδίδουν; ὅτε ὄξος καὶ τὴν χολὴν αὐτον ἐπότιζον; ὅτε τῷ καλάμῳ τὴν κεφαλὴν αὐτοῦ ἔτυπτον, καὶ ὅτε περιῆγον αὐτὸν οἱ αἱμοβόροι ἐκεῖνοι κύνες; Τί δὲ ὅτε ἐπὶ τὸ πάθος ἤγετο γυμνὸς καὶ πάντες αὐτὸν κατέλιπον οἱ μαθηταί, καὶ ὁ εἷς μὲν αὐτὸν προέδωκεν, εἷς δὲ ἠρνήσατο, οἱ δὲ ἄλλοι ἐδραπέτευσαν, καὶ μόνος εἱστήκει γυμνὸς ἐν μέσῳ τῶν ὄχλων ἐκείνων; Ἑορτὴ γὰρ ἦν ἡ ἅπαντας συνάγουσα τότε· καὶ ὅτε ὡς πονηρὸν ἐν μέσῳ κακούργων αὐτὸν ἐσταύρωσαν καὶ ἄταφος ἐκρέματο καὶ οὔτε κατήνεγκαν αὐτὸν ἀπὸ τοῦ σταυροῦ, ἕως οὗ τις αὐτὸν ἐξητήσατο, ἵνα αὐτὸν θάψῃ; Μνήσθητι ὅτι ταφῆς οὐκ ἠξιώθη, καὶ ὅτι ψόγον πονηρὸν κατ' αὐτοῦ ἀπεφήναντο, καὶ ὅτι οἱ μαθηταὶ αὐτοῦ ἔκλεψαν αὐτὸν καὶ οὐκ ἀνέστη.

Ὑπομνήσθητι δὲ καὶ τοὺς ἀποστόλους, ὅτι πανταχόθεν ἐδιώκοντο καὶ κατεκρύπτοντο, ἐν ταῖς πόλεσι μὴν δυνάμενοι φανῆναι· πῶς ὁ Πέτρος παρὰ Σίμωνι τῷ βυρσεῖ κατεκρύπτετο, καὶ ὁ Παῦλος παρὰ τῇ πορφυροπώλιδι γυναικί, ὅτι οὐκ εἶχον παρὰ τοῖς πλουσίοις παρρησίαν. Ἀλλ' ὕστερον πάντα ὁμαλὰ ἐγένετο αὐτοῖς. Οὕτω καὶ νῦν μὴ ἀθυμήσῃς. Ἤκουσα γὰρ κἀγὼ περὶ τοῦ λήρου ἐκείνου τοῦ Ἀρσακίου, ὃν ἐκάθισεν ἡ βασίλισσα ἐν τῷ θρόνῳ, ὅτι ἔθλιψε τοὺς

---

28. Βλ. *Ματθ.* 2,13–15.
29. *Ματθ.* 11,18–19 καὶ *Λουκᾶ* 7,33–34.
30. *Ματθ. 9,34.*
31. Βλ. *Ματθ.* 27,27–44 καὶ 57–60. 28,11–15. *Μάρκ.* 14,66–72. 15,16–20 καὶ 26–28.

καὶ τὸν Δεσπότη, πῶς ἀκόμα ἀπὸ τὰ σπάργανά του διωκόταν καὶ ἐξοριζόταν σὲ βάρβαρη χώρα[28], αὐτὸς ποὺ κατέχει τὸν κόσμο, γινόμενος ὑπόδειγμα στὸ νὰ μὴ λιποψυχοῦμε στὶς δοκιμασίες. Θυμήσου τὸ πάθος τοῦ Σωτῆρος, πόσες ταπεινώσεις ὑπόμεινε γιὰ χάρη μας, ἀφοῦ ἄλλοι τὸν ἀποκαλοῦσαν Σαμαρείτη, καὶ ἄλλοι δαιμονιζόμενο καὶ λαίμαργο καὶ ψευδοπροφήτη. Γιατὶ ἔλεγαν· «νὰ ἄνθρωπος λαίμαργος καὶ πότης»[29] καὶ ὅτι «στὸ ὄνομα τοῦ ἄρχοντα τῶν δαιμονίων βγάζει τὰ δαιμόνια»[30]. Τί πάλι πάθαινε ὅταν πῆγαν νὰ τὸν κρημνίσουν καὶ ὅταν ἔφτυναν στὸ πρόσωπό του; Καὶ τί ὅταν τοῦ φοροῦσαν τὴ χλαμύδα καὶ τὸν στεφάνωναν μὲ ἀγκάθια καὶ τὸν προσκυνοῦσαν κοροϊδεύοντάς τον καὶ προκαλώντας του κάθε εἴδους ἐμπαιγμό, καὶ τί ὅταν τοῦ ἔδιναν ραπίσματα, ὅταν τὸν πότιζαν ξύδι καὶ χολή, ὅταν χτυποῦσαν τὸ κεφάλι του μὲ τὸ καλάμι καὶ ὅταν τὸν περιέφεραν ἐδῶ κι ἐκεῖ ἐκεῖνα τὰ αἱμοβόρα σκυλιά; Καὶ τί ὅταν τὸν ὁδηγοῦσαν γυμνὸ στὸ πάθος καὶ ὅλοι οἱ μαθητές του τὸν εἶχαν ἐγκαταλείψει καὶ ἕνας τὸν πρόδωσε, ἄλλος πάλι τὸν ἀρνήθηκε καὶ οἱ ἄλλοι δραπέτευσαν καὶ στεκόταν μόνος γυμνὸς ἀνάμεσα σ' ἐκεῖνο τὸν ὄχλο; Γιατὶ ἡ γιορτὴ ἦταν ἐκείνη ποὺ τοὺς εἶχε τότε συγκεντρώσει ὅλους. Καὶ ὅταν τὸ σταύρωσαν ὡς κακοῦργο ἀνάμεσα σὲ κακούργους καὶ κρεμόταν ἄταφος καὶ οὔτε τὸν κατέβασαν ἀπὸ τὸ σταυρό, μέχρι ποὺ κάποιος ζήτησε γιὰ νὰ τὸν θάψει; Θυμήσου ὅτι δὲν ἀξιώθηκε νὰ ταφεῖ καὶ ὅτι ἐξεστόμισαν ἐναντίον του βαρειὰ κατηγορία, καὶ ὅτι τὸν ἔκλεψαν οἱ μαθητές του καὶ δὲν ἀναστήθηκε[31].

Θυμήσου ἐπίσης καὶ τοὺς ἀποστόλους, οἱ ὁποῖοι ἀπὸ παντοῦ διώχνονταν καὶ κρύβονταν μὴ μπορώντας νὰ ἐμφανισθοῦν μέσα στὶς πόλεις. Θυμήσου ὅτι ὁ Πέτρος κρυβόταν στὸν Σίμωνα τὸν Βυρσοδέψη[32] καὶ ὁ Παῦλος στὴ γυναίκα ποὺ ἦταν ἔμπορος πορφυρῶν ὑφασμάτων, γιατὶ δὲν εἶχαν θάρρος νὰ προσφύγουν σὲ πλούσιους[33]. Ὅμως ὕστερα ὅλα ἐξελίχθηκαν ὁμαλὰ γι' αὐτούς. Ἔτσι καὶ τώρα νὰ μὴ στενοχωρεῖσαι. Γιατὶ ἄκουσα κι ἐγὼ γιὰ ἐκεῖνον τὸν φλύαρο Ἀρσάκιο, τὸν ὁποῖο ἐγκατάστησε στὸ θρόνο ἡ βασίλισσα[34], ὅτι πίεσε ὅλους τοὺς ἀδελφοὺς ποὺ δὲν ἤθελαν νὰ ἔχουν

32. *Πράξ.* 9,43. 33. *Πράξ.* 16,14–15.

34. Ἡ βασίλισσα Εὐδοξία μετὰ τὴ δεύτερη ἐξορία τοῦ ἱ. Χρυσοστόμου τὸ 404 ἐγκατέστησε, ὅπως ὁ ἴδιος γράφει, στὸ θρόνο τῆς Κωνσταντινουπόλεως τὸν Ἀρσάκιο, ποὺ ἦταν ἤδη ὑπέργηρος (ἄνω τῶν 80 ἐτῶν). Ὁ Ἀρσάκιος ἦταν ἀδελφὸς τοῦ πα-

ἀδελφοὺς ὅλους μὴ θέλοντας αὐτῷ κοινωνῆσαι· πολλοὶ δὲ αὐτῶν δι' ἐμὲ καὶ ἐν τῇ φυλακῇ ἐναπέθανον. Ὁ γὰρ προβατόσχημος ἐκεῖνος λύκος, ὁ σχῆμα μὲν ἔχων ἐπισκόπου, μοιχὸς δὲ ὑπάρχων, ὡς γὰρ ἡ γυνὴ μοιχαλὶς χρηματίζει, ἡ ζῶντος τοῦ ἀνδρὸς ἑτέρῳ συναφθεῖσα, οὕτω καὶ οὗτος μοιχός ἐστιν, οὐ σαρκός, ἀλλὰ πνεύματος· ζῶντος γὰρ ἐμοῦ ἥρπασέ μου τὸν θρόνον τῆς Ἐκκλησίας.

Καὶ ταῦτα σοι ἐπέστειλα ἀπὸ Κουκουσοῦ, ὅπου ἐκέλευσεν ἡμᾶς ἡ βασίλισσα ἐξορισθῆναι. Πολλαὶ δὲ θλίψεις κατὰ τὴν ὁδὸν συνέβησαν ἡμῖν, ἀλλ' οὐδενὸς ἐφροντίσαμεν. Ὅτε δὲ ἤλθομεν πρὸς τὴν χώραν τῶν Καππαδόκων καὶ ἐν τῇ Ταυροκιλικίᾳ, πολλοὶ χοροὶ ἡμῖν ὑπήντων πατέρων ἁγίων ἀνδρῶν, οὐ μὴν ἀλλὰ καὶ πλήθη μοναχῶν καὶ παρθένων, τὰς ἀθανάτους πηγὰς τῶν δακρύων ἐκχέοντες. Καὶ ἔκλαιον θεωροῦντες ἡμᾶς ἐν τῇ ἐξορίᾳ ἀπερχομένους, καὶ ἔλεγον πρὸς ἑαυτούς, 'Συνέφερεν ἵνα ὁ ἥλιος συνέστειλε τὰς ἀκτῖνας αὐτοῦ, ἢ ἵνα τὸ στόμα Ἰωάννου ἐσιώπησε'. Ταῦτά με ἐθορύβησε καὶ ἔθλιψεν, ἐπειδὴ ἔβλεπον πάντας κλαίοντας περὶ ἐμοῦ. Ἐπεὶ τῶν ἄλλων πάντων, ὅσα συνέβη μοι, φροντίδα οὐκ ἐποίησα. Πάνυ δὲ ἡμᾶς ἐδεξιώσατο ὁ ἐπίσκοπος τῆς πόλεως ταύτης καὶ πολλὴν ἀγάπην ἔδειξεν εἰς ἡμᾶς, ὥστε, εἰ δυνατόν, καὶ τὸν θρόνον αὐτοῦ παρεχώρησεν ἡμῖν, εἰ μὴ τὸν ὅρον ἐφυλάττομεν.

Δέομαι οὖν καὶ ἀντιβολῶ καὶ τῶν γονάτων ἅπτομαι τῶν σῶν, ἀπόρριψον τὸ πένθος τῆς ἀθυμίας σου, ὑπὲρ ἡμῶν μνείαν ἔχων πρὸς τὸν Θεόν, καὶ ἀντιγράψαι ἡμῖν παρακλήθητι.

ΡΚϚ'

ΡΟΥΦΙΝΩι ΠΡΕΣΒΥΤΕΡΩι

Ἦλθεν εἰς ἡμᾶς, ὅτι πάλιν ἀνήφθη τὰ ἐν Φοινίκῃ κακὰ καὶ ἡ

τριάρχη Κωνσταντινουπολεως Νεκταρίου (381–397). Κατὰ τὸ διάστημα τῆς πατριαρχείας τοῦ Ἀρσακίου, λόγω τοῦ γήρατος καὶ τοῦ ἤπιου χαρακτήρα του, οἱ ἐχθροὶ τοῦ Χρυσοστόμου ἔκαναν ἀνενόχλητοι πολλὰ εἰς βάρος τῶν ὀπαδῶν τοῦ μεγάλου πατρός.

κοινωνία μαζί του. Μάλιστα πολλοὶ ἀπὸ αὐτοὺς γιὰ μένα πέθαναν καὶ στὴ φυλακή. Γιατὶ ἐκεῖνος ὁ προβατόσχημος λύκος, ἔχει βέβαια σχῆμα ἐπισκόπου, ἀλλὰ εἶναι μοιχός· γιατὶ ὅπως ἡ γυναίκα χαρακτηρίζεται μοιχαλίδα ὅταν, ἐνῶ ζεῖ ὁ ἄνδρας της, συνάπτει σχέσεις μὲ ἄλλο ἄνδρα, ἔτσι καὶ αὐτὸς εἶναι μοιχός, ὄχι σαρκικὸς ἀλλὰ πνευματικός, διότι, ἐνῶ ἐγὼ ζῶ, μοῦ ἅρπαξε τὸ θρόνο τῆς Ἐκκλησίας.

Καὶ αὐτὰ σοῦ τὰ ἔγραψα ἀπὸ τὴν Κουκουσό, ὅταν διέταξε ἡ βασίλισσα νὰ ἐξορισθῶ. Πολλὰ ὅμως θλιβερὰ γεγονότα μοῦ συνέβησαν στὸ δρόμο, ἀλλὰ ἐγὼ δὲ νοιάστηκα γιὰ τίποτε. Ὅταν ὅμως ἔφθασα πρὸς τὴ χώρα τῶν Καππαδόκων καὶ στὴν περιοχὴ τοῦ Ταύρου τῆς Κιλικίας, μὲ προϋπαντοῦσαν πολλὲς ὁμάδες ἀνδρῶν ἁγίων πατέρων, ἀλλὰ καὶ πλήθη μοναχῶν καὶ παρθένων, χύνοντας ἀστείρευτες πηγὲς δακρύων. Καὶ ἔκλαιαν βλέποντάς με νὰ πηγαίνω στὴν ἐξορία καὶ ἔλεγαν μεταξύ τους· "Ἦταν προτιμότερο νὰ κρύψει ὁ ἥλιος τὶς ἀκτίνες του, παρὰ νὰ σιγήσει τὸ στόμα τοῦ Ἰωάννη". Αὐτὰ μὲ θορύβησαν καὶ μὲ στενοχώρησαν, ἐπειδὴ ἔβλεπα ὅλους νὰ κλαῖνε γιὰ μένα. Γιὰ ὅλα τὰ ἄλλα, ὅσα μοῦ συνέβηκαν, δὲν νοιάστηκα καθόλου. Πάρα πολὺ μὲ περιποιήθηκε ὁ ἐπίσκοπος τῆς πόλεως αὐτῆς καὶ ἔδειξε πολλὴ ἀγάπη σὲ μένα, ὥστε, ἂν ἦταν δυνατό, θὰ μοῦ παραχωροῦσε ἀκόμα καὶ τὸν θρόνο του, ἂν δὲ φυλάγαμε τὸν κανόνα.

Σὲ παρακαλῶ λοιπὸν καὶ σὲ ἱκετεύω καὶ πέφτω στὰ γόνατά σου, διῶξε τὸ πένθος τῆς λύπης σου, μνημόνευέ με στὶς προσευχές σου πρὸς τὸ Θεό, καὶ παρακαλῶ νὰ μοῦ γράφεις[35].

126

ΣΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟ ΡΟΥΦΙΝΟ

Ἔφτασε σὲ μένα ἡ πληροφορία ὅτι πάλι ἄναψαν τὰ κακὰ τῆς

35. Στὴν ἐπιστολή του αὐτὴ ὁ Χρυσόστομος χρησιμοποιεῖ ὅλη τὴ δύναμη τῆς καλάμου του γιὰ νὰ ἐνθαρρύνει καὶ στηρίξει τὸν ἐπίσκοπο Κυριακό, ποὺ κι αὐτὸς βρίσκεται σὲ ἐξορία.

τῶν Ἑλλήνων ηὐξήθη μανία·καὶ πολλοὶ τῶν μοναχῶν οἱ μὲν ἐπλήγησαν, οἱ δὲ καὶ ἀπέθανον. Διὰ τοῦτό σε μειζόνως ἐπείγω μετὰ πλείονος τοῦ τάχους ἅψασθαι τῆς ὁδοῦ καὶ στῆναι ἐπὶ τῆς παρατάξεως. Εὖ γὰρ οἶδα, ὅτι φανεὶς μόνον τροπώσῃ τοὺς ὑπεναντίους καὶ εὐχῇ καὶ ἐπιεικείᾳ καὶ καρτερίᾳ καὶ τῇ συνήθει κεχρημένος ἀνδρείᾳ, καὶ καταλύσεις αὐτῶν τὴν μανίαν καὶ τοὺς μεθ' ἡμῶν ὄντας ἀνακτήσῃ καὶ πολλὰ ἐργάσῃ τὰ ἀγαθά.

Μὴ τοίνυν μέλλε, μηδὲ ἀναβάλλου, ἀλλὰ πλείονι κέχρησο τῷ τάχει, καὶ ταῦτα τὰ ἀπαγγελθέντα προθυμότερόν σε ἐργαζέσθω. Οὐδὲ γάρ, εἰ οἰκίαν εἶδες ἀναπτομένην, ἀνεχώρησας ἄν, ἀλλὰ τότε καὶ μειζόνως ἐπέθου, ὥστε καὶ προκαταλαβεῖν τὴν φλόγα καὶ διὰ σαυτοῦ καὶ δι' ἑτέρων πάντα ἂν ἐποίησας ὑπὲρ τοῦ σβέσαι τὸ κακόν. Καὶ νῦν τοίνυν, ἐπειδὴ τοιαύτη ἀνήφθη πυρά, ἀμελλητὶ τὰ αὐτόθι καταλαβεῖν σπούδασον, καὶ πάντως ἔσται τι χρηστὸν καὶ πολλὴ τούτων διόρθωσις. Τὸ μὲν γὰρ ἐν ἡσυχίᾳ καὶ γαλήνῃ καὶ μηδενὸς πολεμοῦντος κατηχεῖν τινας καὶ τῶν τυχόντων ἐστίν, τὸ δὲ οὕτω τοῦ διαβόλου μαινομένου καὶ τῶν δαιμόνων ὁπλιζομένων, στῆναι γενναίως καὶ ἐξαρπάσαι τοὺς μετ' ἐκείνου τεταγμένους τῶν ἀνθρώπων καὶ τοὺς ἄλλους κωλῦσαι εἰς τὰς ἐκείνου χεῖρας ἐμπεσεῖν, τοῦτο ἀνδρὸς γενναίου, τοῦτο νηφούσης ψυχῆς, τοῦτο τῆς σῆς διανοίας τῆς ὑψηλῆς καὶ διεγηγερμένης, τοῦτο μυρίων στεφάνων ἄξιον, τοῦτο βραβείων ἀφάτων, τοῦτο ἀποστολικὸν κατόρθωμα.

Ἐννοήσας τοίνυν ὅτι ὁ καιρὸς οὗτος εὐδοκιμήσεώς σοι καιρός ἐστι καὶ μυρίας ἐμπορίας καὶ πραγματείας ὑπόθεσις, ἅρπασον τοσοῦτον πλοῦτον καὶ πολλῇ ταχύτητι χρήσασθαι παρακλήθητι, καὶ διὰ τάχους ἡμῖν ἐπίστειλον, ἐπειδὰν ἀπαντήσῃς αὐτόθι. Ἂν γὰρ πυθώμεθα μόνον, ὅτι τῶν ὅρων ἐπέβης τῆς Φοινίκης, ἀμέριμνοι λοιπόν ἐσμεν, ἀναπαυόμεθα, ἐν ἀδείᾳ διάγομεν. Τὰ γὰρ ἑξῆς ἴσμεν, ὅτι καθάπερ ἀριστεὺς γενναῖος καὶ ἀνδραγαθεῖν εἰδώς, οὕτως ἅπαντα ἐπελεύσῃ, τοὺς μὲν κειμένους ἀνεγείρων, τοὺς δὲ ἑστῶτας ἑδράζων

Φοινίκης καὶ αὐξήθηκε τὸ μένος τῶν εἰδωλολατρῶν καὶ ὅτι πολλοὶ ἀπὸ τοὺς μοναχοὺς ἄλλοι τραυματίσθηκαν καὶ ἄλλοι πέθαναν. Γι' αὐτὸ σὲ πιέζω περισσότερο τοῦ δέοντος μὲ μεγαλύτερη ταχύτητα νὰ πάρεις τὸ δρόμο καὶ νὰ σταθεῖς στὴν παράταξη. Γιατὶ γνωρίζω καλά, πὼς μόλις ἐμφανισθεῖς θὰ κατατροπώσεις τοὺς ἀντίθετους, χρησιμοποιώντας καὶ τὴν προσευχὴ καὶ τὴν ἐπιείκεια καὶ τὴν ὑπομονὴ καὶ τὴ συνηθισμένη ἀνδρεία, καὶ θὰ διαλύσεις τὸ μένος τους καὶ αὐτοὺς ποὺ εἶναι μαζί μας θὰ τοὺς ἐνθαρρύνεις καὶ θὰ κάνεις πολλὰ καλά.

Μὴ λοιπὸν βραδύνεις οὔτε νὰ ἀναβάλλεις, ἀλλὰ κάνε πολὺ γρήγορα, καὶ αὐτὰ ποὺ σοῦ ἀναγγέλθηκαν κάνε τα μὲ περισσότερη προθυμία. Οὔτε βέβαια ἂν ἔβλεπες σπίτι νὰ καίεται θὰ ἔφευγες, ἀλλὰ τότε θὰ ἔσπευδες μὲ περισσότερη ὁρμή, ὥστε νὰ προλάβεις τὴ φωτιὰ καὶ σὺ ὁ ἴδιος ἀλλὰ καὶ μὲ ἄλλους θὰ ἔκανες τὸ πᾶν γιὰ νὰ σβήσεις τὸ κακό. Καὶ τώρα λοιπὸν ποὺ ἄναψε τέτοια πυρκαϊά, προσπάθησε χωρὶς ἀργοπορία νὰ προλάβεις ὅσα συμβαίνουν ἐκεῖ, ὥστε ὁπωσδήποτε νὰ προκύψει κάτι καλὸ καὶ νὰ διορθωθεῖ ἕνα μεγάλο μέρος ἀπὸ αὐτά. Γιατί, ὅταν ὑπάρχει ἡσυχία καὶ γαλήνη καὶ δὲν ὑπάρχει κανεὶς ποὺ νὰ ἐπιτίθεται, τὸ νὰ κατηχήσει κανεὶς μερικοὺς εἶναι ἔργο τῶν ὁποιωνδήποτε, ὅταν ὅμως ὁ διάβολος ἐπιτίθεται μὲ τόση μανία καὶ οἱ δαίμονες ἐξοπλίζονται, τὸ νὰ ἀντισταθεῖ κανεὶς γενναῖα καὶ νὰ ἀποσπάσει ὅσους ἀπὸ τοὺς ἀνθρώπους ἔχουν ταχθεῖ μὲ τὸ μέρος ἐκείνου καὶ νὰ ἐμποδίσει τοὺς ὑπόλοιπους νὰ πέσουν στὰ χέρια ἐκείνου, αὐτὸ εἶνει ἔργο γενναίου ἄνδρα, αὐτὸ εἶναι ἔργο ψυχῆς νηφάλιας, αὐτὸ εἶναι ἔργο τοῦ δικῆς σου ὑψηλῆς καὶ ἐπάγρυπνης διάνοιας, αὐτὸ εἶναι ἄξιο γιὰ μύρια στεφάνια, γιὰ ἀπερίγραπτα βραβεῖα, αὐτὸ εἶναι κατόρθωμα ἀποστολικό.

Κατανοώντας λοιπὸν ὅτι ὁ καιρὸς αὐτὸς εἶναι γιὰ σένα καιρὸς ἐπιτυχίας καὶ μεγάλης ἐμπορίας καὶ εὐκαιρία σπουδαίας ἐργασίας, ἅρπαξε τὸν τόσο πολὺ πλοῦτο καὶ κάνε ὅσο γρήγορα γίνεται, παρακαλῶ· καὶ γράψε μου γρήγορα, μόλις φθάσεις ἐκεῖ. Καὶ μόνο νὰ μάθω ὅτι πάτησες τὰ ὅρια τῆς Φοινίκης, θὰ εἶμαι ἥσυχος, θὰ ἀναπαυθῶ, θὰ περνῶ χωρὶς ἀγωνία. Γιατὶ τὰ παρακάτω τὰ γνωρίζω, ὅτι δηλαδὴ σὰν ἀγωνιστὴς γενναῖος ποὺ γνωρίζει νὰ κάνει ἀνδραγαθήματα, θὰ τὰ βγάλεις πέρα ὅλα, σηκώνοντς ὅσους ἔχουν πέσει, στηρίζοντας καὶ στερεώνοντας ὅσους στέκονται ὄρθιοι, ἐπαναφέ-

καὶ πηγνύς, τοὺς δὲ πλανωμένους ἐπανάγων καὶ τοὺς ἀπολωλότας ἀναζητῶν καὶ εὑρίσκων, ἅπασαν τοῦ διαβόλου συγκόπτων τὴν φάλαγγα. Οἶδα γάρ, οἶδα σαφῶς τὸ ἄγρυπνόν σου τῆς ψυχῆς, τὸ μεμεριμνημένον τῆς διανοίας, τὸ συνετόν, τὸ ἐμμελές, τὸ προσηνές, τὸ ἀνδρεῖον, τὸ εὔτονον, τὸ καρτερικόν.

Γράφε τοίνυν ἡμῖν συνεχῶς, καὶ πρὶν ἢ τὴν Φοινίκην ἰδεῖν, ἀπὸ τῆς ὁδοῦ πυκνὰ πέμπων τὰ γράμματα, ἐπὶ καὶ νῦν ἐθαύμασα πῶς τῶν περὶ τὸν κύριον μου τὸν τιμιώτατον καὶ εὐλαβέστατον Θεόδοτον τὸν πρεσβύτερον παραγινομένων, οὐκ ἀπέσταλκας. Ἵν' οὖν μὴ πάλιν ἀλγῶμεν, μὴ δεχόμενοι γράμματα τῆς σῆς τιμιότητος, εἰ οἷόν τε ᾖ, καθ' ἑκάστην μονὴν πέμπει ἡμῖν συνεχῶς ἐπιστολάς, ἵνα μανθάνωμεν πόσον τε προέκοψας τῆς ὁδοῦ, καὶ εἰ πλησίον γέγονας τῶν μερῶν ἐκείνων. Πάνυ γὰρ μεριμνῶμεν καὶ φροντίζομεν καὶ βουλόμεθα ταῦτα καθ' ἑκάστην ἡμέραν μανθάνειν.

Ταῦτ' οὖν εἰδώς, κύριέ μου τιμιώτατε, χάρισαι ταύτην ἡμῖν μεγίστην τὴν χάριν, καὶ πρὶν ἢ ἀπελθεῖν καὶ ἐπειδὰν ἀπέλθῃς, συνεχεῖς πέμπων ἐπιστολὰς καὶ πάντα ἡμῖν δηλῶν, ἵνα, ἐὰν μὲν κατορθώματα ᾖ, χαίρωμεν καὶ εὐφραινώμεθα, ἂν δὲ κωλύματα, παντὶ τρόπῳ καὶ πάσῃ σπουδῇ πειρώμεθα αὐτὰ ἀνελεῖν. Οὐ γὰρ ἡσυχάσομεν καὶ δι' ἑαυτῶν καὶ δι' ἑτέρων, ὧν ἂν οἷόν τε ᾖ, τοῦτο ποιοῦντες, κἂν μυριάκις καὶ εἰς τὴν Κωνσταντινούπολιν ἀποστεῖλαι δέῃ, ὥστε πολλήν σοι γενέσθαι τὴν εὐκολίαν, οὐδὲ τοῦτο παραιτησόμεθα.

Ταῦτ' οὖν εἰδώς, τὰ παρὰ σαυτοῦ πάρεχε ἡμῖν, τὴν ἀγρυπνίαν καὶ τὴν σπουδήν. Κἂν ἀδελφοὺς δεήσῃ ἀποσταλῆναι, καὶ τοῦτο δήλωσον ἡμῖν. Καὶ τῶν λειψάνων δὲ ἕνεκεν τῶν ἁγίων μαρτύρων ἀμέριμνος ἔσο· καὶ γὰρ εὐθέως ἀπέστειλα τὸν κύριόν μου τὸν εὐλαβέστατον πρεσβύτερον ἐπίσκοπον Ὀτρήϊον τὸν Ἀραβισσοῦ. Αὐτὸς γὰρ ἔχει καὶ ἀναμφισβήτητα καὶ πολλά, καὶ εἴσω ὀλίγων ἡμερῶν ἀποστελοῦμέν σοι ταῦτα εἰς τὴν Φοινίκην. Μηδὲν τοίνυν ἐλλιμπανέσθω τῶν παρὰ τῆς σῆς τιμιότητος. Τὰ γὰρ παρ' ἡμῶν ὁρᾷς μεθ' ὅσης πεπλήρωται τῆς προθυμίας. Σπεῦσον, ἵνα πρὸ τοῦ χειμῶνος δυνηθῇς τὰς ἀστέγους ἐκκλησίας ἀπαρτίσαι.

---

1. Ἄλλη μιὰ ἐπιστολὴ ποὺ ἀναφέρεται στὴ ἱεραποστολὴ τῆς Φοινίκης. Ἡ ἔκταση καὶ ἰδιαίτερα ὁ τόνος τῆς ἐπιστολῆς καὶ ἡ προσπάθειά του νὰ διεγείρει ἀμέσως τὸν πρεσβύτερο Ρουφῖνο, δείχνουν πόσο κακὴ τροπὴ πῆραν τὰ πράγματα στὴ

ροντας ὅσους ἔχουν πλανηθεῖ, ἀναζητώντας καὶ ἀνευρίσκοντας ὅσους ἔχουν χαθεῖ καὶ κατακερματίζοντας ὅλη τὴ φάλαγγα τοῦ διαβόλου. Γιατὶ γνωρίζω, γνωρίζω καλὰ τὴν ἄγρυπνη ψυχή σου, τὴ γεμάτη φροντίδα σκέψη σου, τὴ σύνεση, τὴν κοσμιότητα, τὴν προσήνεια, τὴν ἀνδρεία, τὴ δύναμη, τὴν καρτερικότητα.

Γράφε μου λοιπὸν συνεχῶς καὶ πρὶν ἀκόμα δεῖς τὴν Φοινίκη, στέλνοντάς μου πυκνὰ γράμματα καθ' ὁδόν, γιατὶ καὶ τώρα ἀπόρησα πῶς δὲν μοῦ ἔγραψες στέλνοντάς μου τὰ γράμματα μὲ τοὺς ἀνθρώπους ποὺ ἦρθαν ἀπὸ τὸν ἐντιμότατο καὶ εὐλαβέστατο κύριό μου, τὸν πρεσβύτερο Θεόδοτο. Γιὰ νὰ μὴ ὑποφέρω πάλι μὴ παίρνοντας γράμματα τῆς ἐντιμότητάς σου, ἐὰν εἶναι δυνατὸ ἀπὸ κάθε τόπο ποὺ θὰ καταλύεις στέλνε μου συνεχῶς ἐπιστολές, γιὰ νὰ μαθαίνω καὶ πόσο προχώρησες στὸ δρόμο καὶ ἐὰν πλησίασες στὰ μέρη ἐκεῖνα. Γιατὶ ἐνδιαφέρομαι καὶ φροντίζω πολὺ καὶ θέλω αὐτὰ νὰ τὰ μαθαίνω κάθε μέρα[1].

Γνωρίζοντας λοιπὸν αὐτά, ἐντιμότατε κύριέ μου, κάνε μου αὐτὴ τὴ μεγάλη χάρη, καὶ πρὶν ἀναχωρήσεις καὶ ὅταν ἀναχωρήσεις στέλνοντάς μου συνεχῶς ἐπιστολὲς καὶ ἀναφέροντάς μου ὅλα, γιὰ νὰ χαίρομαι καὶ εὐφραίνομαι ὅταν εἶναι κατορθώματα, ἐνῶ ἂν εἶναι ἐμπόδια νὰ προσπαθῶ μὲ κάθε τρόπο καὶ κάθε ταχύτητα νὰ τὰ ἐξαλείφω. Γιατὶ δὲν θὰ ἡσυχάσω καὶ μὲ τὸν ἑαυτό μου καὶ μὲ ἄλλους, ὅσους εἶναι δυνατόν, νὰ τὸ κάνω αὐτό, ἔστω καὶ ἂν χρειαστεῖ νὰ στείλω μύριες φορὲς ἀκόμα καὶ στὴν Κωνσταντινούπολη, γιὰ νὰ σὲ διευκολύνω, καὶ οὔτε θὰ παραιτηθῶ ἀπὸ αὐτό.

Γνωρίζοντας λοιπὸν αὐτά, δίνε μου ὅτι ἐξαρτᾶται ἀπὸ σένα, τὴν ἐπαγρύπνηση καὶ τὴν ταχύτητα. Καὶ ἂν χρειαστεῖ νὰ σταλοῦν ἀδελφοί, καὶ αὐτὸ νὰ μοῦ τὸ ἀναφέρεις. Καὶ γιὰ νὰ λείψανα τῶν ἁγίων μαρτύρων νὰ εἶσαι ἥσυχος. Γιατὶ ἀμέσως ἔστειλα τὸν εὐλαβέστατο κύριό μου, τὸν πρεσβύτερο Τερέντιο πρὸς τὸν εὐλαβέστατο κύριό μου, τὸν ἐπίσκοπο Ἀραβισσοῦ Ὀτρήϊο. Γιατὶ αὐτὸς ἔχει καὶ ἀναμφισβήτητα καὶ πολλὰ καὶ μέσα σὲ λίγες μέρες θὰ σοῦ τὰ στείλουμε στὴ Φοινίκη. Νὰ μὴ παραλειφθεῖ τίποτε ἀπὸ ὅσα ἐξαρτῶνται ἀπὸ τὴν ἐντιμότητά σου. Γιατὶ τὰ δικά μου βλέπεις μὲ πόση προθυμία ἐκπληρώνονται. Βιάσου λοιπόν, ὥστε πρὶν ἀπὸ τὸν χειμώνα νὰ μπορέσεις νὰ ἀποτελειώσεις τὶς ἀστέγαστες ἐκκλησίες.

Φοινίκη καὶ μὲ πόση ἀγωνία ἐνδιαφέρεται γι' αὐτὰ ὁ ἐξόριστος ποιμενάρχης.

ΡΚΖ'

ΠΟΛΥΒΙΩι

Ἄλλος μὲν ἄν τις τὸν ἀφόρητον κρυμὸν τὸν ἐνταῦθα, τὴν πολλὴν ἐρημίαν τοῦ χωρίου, τὴν χαλεπωτάτην ἀρρωστίαν (καὶ γὰρ καὶ ἀρρωστίᾳ ἐντεῦθεν περιπεπτώκαμεν) ἀπωδύρατο ἂν καὶ ἐθρήνησεν, ἐγὼ δέ, ταῦτα ἀφείς, τὸν χωρισμὸν ἀποδύρομαι τὸν ὑμέτερον, ὃ καὶ ἐρημίας καὶ νόσου καὶ χειμῶνος ἐμοὶ βαρύτερον. Καὶ νῦν αὐτὸ χαλεπώτερον ἢ πρότερον ἐποίησεν ὁ χειμών. Καὶ γὰρ ἣν μόνην εἶχον παραμυθίαν τοῦ πικροτάτου τούτου χωρισμοῦ, τὸ διὰ γραμμάτων ὑμῖν ὁμιλεῖν, καὶ ταύτην ἐπελθὼν ἡμᾶς ἀφείλετο, τὰς ὁδοὺς ἀποκλείσας τῇ πολλῇ τῆς χιόνος φορᾷ καὶ οὔτε ἔξωθεν παραγενέσθαι καὶ συγγενέσθαι ἡμῖν, οὔτε ἐντεῦθεν ἀναστῆναι καὶ ἀποδημῆσαι πρὸς ὑμᾶς ἀφείς.

Καὶ νῦν δὲ οὐκ ἔλαττον τῶν Ἰσαύρων ὁ φόβος, ἀλλὰ καὶ πολλῷ πλέον τὸ αὐτὸ δὴ τοῦτο ποιεῖ, τὴν ἐρημίαν ἐπιτείνων, πάντας ἐλαύνων, φυγαδεύων, μετανάστας ποιῶν. Οὐδεὶς γὰρ οἴκοι λοιπὸν μένειν ἀνέχεται, ἀλλ' ἕκαστος τὴν ἑαυτοῦ καταλιπὼν ἀποπηδᾷ. Καὶ αἱ μὲν πόλεις εἰσὶ λοιπὸν τοῖχοι καὶ ὄροφοι, αἱ δὲ φάραγγες καὶ αἱ νάπαι πόλεις. Καθάπερ γὰρ τὰ ἄγρια τῶν θηρίων, παρδάλεις καὶ λέοντες, τὴν ἔρημον τῶν οἰκουμένων πόλεων ἀσφαλεστέραν αὐτοῖς εἶναι νομίζει, οὕτω δὴ καὶ οἱ τὴν Ἀρμενίαν οἰκοῦντες ἄνθρωποι, καὶ καθ' ἑκάστην ἡμέραν τόπους ἐκ τόπων ἀναγκαζόμεθα μεταπηδᾶν, Ἀμαζοβίων καὶ Νομάδων τινῶν βίον ζῶντες καὶ οὐδαμοῦ στῆναι θαρροῦντες· οὕτω πάντα τὰ ἐνταῦθα θορύβων γέμει καὶ ταραχῆς. Καὶ τοὺς μὲν τῇ παρουσίᾳ σφάττουσι, καίουσι, δούλους ἀντ' ἐλευθέρων ποιοῦσι, τοὺς δὲ τῇ φήμῃ δραπέτας ἐργάζονται καὶ ἀπόλιδας, μᾶλλον δὲ ἀναιροῦσιν. Ὅσοι γὰρ νέοι κομιδῇ ἐν μέσῃ νυκτὶ πολλάκις καὶ κρυμῷ πάντα παγνύντι ἀθρόον τῆς οἰκίας ἐκπηδῆσαι ἠναγκάσθησαν, ὥσπερ τινὸς καπνοῦ τοῦ φόβου τῆς φήμης αὐτοὺς ἐλαύνοντος, οὐκ ἐδεήθησαν μαχαίρας ἰσαυρικῆς εἰς τὸ καταλῦσαι τὸν βίον, ἀλλ' ἐν τῇ χιόντι παγέντες, οὕτως ἀπέπνευσαν, καὶ γέγονεν αὐτοῖς τῆς τοῦ θανάτου φυγῆς ἡ πρόφασις θανάτου πρόφασις χαλεπωτά-

127

ΣΤΟΝ ΠΟΛΥΒΙΟ

Ἄλλος ὁπωσδήποτε θὰ ἔκλαιε καὶ θὰ θρηνοῦσε τὸ ἀφόρητο ἐδῶ κρύο, τὴ μεγάλη ἐρημιὰ τοῦ χωριοῦ, τὴ φοβερὴ ἀρρώστια (γιατὶ καὶ σὲ ἀρρώστια ἐδῶ περιέπεσα)· ἐγὼ ὅμως, ἀφήνοντας αὐτά, κλαίω τὸ χωρισμὸ τὸ δικό σας ποὺ εἶναι γιὰ μένα βαρύτερος καὶ ἀπὸ τὴν ἐρημιὰ καὶ ἀπὸ τὴν ἀρρώστια καὶ ἀπὸ τὸν χειμώνα. Καὶ τώρα αὐτὸ τὸν χωρισμὸ ὁ χειμώνας τὸν ἔκανε χειρότερο ἀπὸ ὅ,τι ἦταν πρίν. Γιατὶ κι αὐτὴ ποὺ μόνη εἶχα παρηγοριὰ τοῦ τόσο πικροῦ αὐτοῦ χωρισμοῦ, τὸ νὰ μιλῶ μαζί σου μὲ τὰ γράμματα, μὲ τὸν ἐρχομό του ὁ χειμώνας μοῦ τὴν ἀφαίρεσε καὶ αὐτήν, ἀποκλείοντας τοὺς δρόμους μὲ τὴ μεγάλη χιονόπτωση καὶ μὴ ἐπιτρέποντας οὔτε ἀπὸ ἔξω νὰ ἔρθει καὶ νὰ μὲ συναντήσει κανείς, οὔτε ἀπὸ ἐδῶ νὰ σηκωθεῖ καὶ νὰ ἔρθει σὲ σᾶς.

Καὶ τώρα δὲν εἶναι μικρότερος ὁ φόβος τῶν Ἰσαύρων, ποὺ κάνει πολὺ πιὸ μεγάλο τὸ πρόβλημα, αὐξάνει δηλαδὴ τὴν ἐρημιά, διώχνει τοὺς πάντες, τοὺς φυγαδεύει, τοὺς κάνει μετανάστες. Γιατὶ κανεὶς δὲν ἀντέχει νὰ μείνει στὸ σπίτι του, ἀλλὰ τὸ ἐγκαταλείπει καὶ φεύγει μακριά. Ἔτσι οἱ πόλεις καταντοῦν τοῖχοι καὶ στέγες, ἐνῶ οἱ χαράδρες καὶ οἱ κοιλάδες μεταβάλλονται σὲ πόλεις. Γιατί, ὅπως τὰ ἄγρια θηρία, οἱ λεοπάρδαλες καὶ τὰ λιοντάρια, θεωροῦν τὴν ἐρημιὰ πιὸ ἀσφαλῆ ἀπὸ τὶς κατοικούμενες πόλεις, ἔτσι καὶ οἱ ἄνθρωποι ποὺ κατοικοῦν τὴν Ἀρμενία· ἀναγκαζόμαστε κάθε μέρα νὰ μεταβαίνουμε ἀπὸ τὸν ἕνα τόπο στὸν ἄλλο, νὰ ζοῦμε ζωὴ ὅμοια μὲ ἐκείνην μερικῶν ἀμαξόβιων καὶ νομάδων καὶ νὰ μὴ τολμᾶμε νὰ σταθοῦμε πουθενά. Τόση σύγχυση καὶ ἀναταραχὴ διακατέχει τὰ πάντα ἐδῶ. Καὶ τοὺς παρόντες βέβαια τοὺς σφάζουν, τοὺς καίουν, τοὺς κάνουν δούλους ἀπὸ ἐλεύθερους ποὺ εἶναι, ἐνῶ τοὺς φημισμένους τοὺς ἀναγκάζουν νὰ δραπετεύσουν, ἀλλὰ καὶ τοὺς ἐξορίζουν ἢ μᾶλλον τοὺς φονεύουν. Ὅσοι πάλι πολὺ νέοι μέσα στὴ νύχτα πολλὲς φορὲς καὶ μὲ κρύο, ποὺ παγώνει τὰ πάντα μονομιᾶς, ἀναγκάσθηκαν νὰ φύγουν κρυφά, γιατὶ ὁ φόβος τῆς διαδόσεως σὰν καπνὸς τοὺς ἔκανε νὰ τρέχουν, αὐτοὶ δὲν χρειάστηκαν τὸ μαχαίρι τῶν Ἰσαύρων γιὰ νὰ τερματίσουν τὴ ζωή τους, γιατὶ πάγωσαν στὸ χιόνι καὶ ξεψύχησαν

του. Ἐν τούτοις τὰ ἡμέτερα. Καὶ ταῦτα εἰρήκαμεν, οὐχ ἵνα σε λυπήσωμεν (εὖ γὰρ οἶδα ὅτι καθάψεταί σου τὰ εἰρημένα), ἀλλ' ἵνα τὴν αἰτίαν εἴπωμεν τῆς μακρᾶς ταύτης σιγῆς, καὶ τί δήποτε ὀψὲ καὶ βραδέως ἐπεστάλκαμεν. Οὕτω γὰρ πάντες ἡμᾶς ἀπέλιπον, ὡς μηδὲ εὑρεῖν τινα τὸν ἐκεῖσε ἀφικνούμενον, ἀλλ' ἀναγκασθῆναι τὸν συνόντα ἡμῖν πρεσβύτερον ἀναστῆσαι ἐντεῦθεν καὶ πέμψαι πρὸς τὴν ὑμετέραν θαυμασιότητα.

Δεξάμενος τοίνυν αὐτὸν ὡς σοι πρέπον, ταχέως ἡμῖν ἔκπεμψον εὐαγγελιζόμενον τὴν ὑγείαν τῆς σῆς ἐμμελείας. Οἶσθα γὰρ ὅπως ἡμῖν περισπούδαστον τοῦτο μανθάνειν.

ΡΚΗ'

ΜΑΡΚΙΑΝΩ[1]

Τοῖς μὲν ἄλλοις ἅπασιν ἀνθρώποις ἡδὺ τὸ ἔαρ, ὅτι τὴν ὄψιν τῆς γῆς ἄνθεσι καλλωπίζει καὶ πάντα δείκνυσι λειμῶνας, ἐμοὶ δέ, ὅτι καὶ τοῖς ἔθάσι τοῖς ἐμοῖς συγγίνεσθαι διὰ γραμμάτων εὐκολίαν παρέχει πολλήν. Ἐβουλόμην μὲν γὰρ καὶ αὐταῖς ὄψεσιν ὑμᾶς θεωρεῖν, ἐπειδὴ δὲ τοῦτο οὐκ ἔνι, ὅπερ ἔνι, μετὰ πολλῆς ποιῶ τῆς προθυμίας, διὰ γραμμάτων ὑμῖν ὁμιλῶν. Καὶ οὐχ οὕτω ναῦται καὶ πλωτῆρες μεθ' ἡδονῆς τὰ θαλάττια τέμνουσι νῶτα, ἐκείνης τοῦ ἔτους τῆς ὥρας ἐπιστάσης, ὡς ἐγὼ κάλαμον καὶ χάρτην καὶ μέλαν μεταχειρίζομαι, μέλλων ἐπιστέλλειν ὑμῶν τῇ ἐμμελείᾳ. Παρὰ μὲν γὰρ τὸν τοῦ χειμῶνος καιρὸν τοῦ κρυμοῦ πάντα πηγνύντος καὶ τῆς ἀφάτου χιόνος τὰς ὁδοὺς ἀποτειχιζούσης, οὔτε ἔξωθέν τις ἡμῖν ἐπιχωριάζειν ἠνείχετο, οὔτε ἐντεῦθεν ἀναστῆναι. Διόπερ καὶ ἡμεῖς, καθάπερ ἐν δεσμωτηρίῳ, τοῖς ἐνταῦθα δωματίοις καθειργμένοι καὶ ὥσπερ τινὶ γλωσσοπέδῃ κατεχόμενοι, τῇ τῶν γραμματηφόρων ἀπορίᾳ, καὶ ἄκοντες τὴν μακρὰν ἐσιγήσαμεν σιγήν. Ἐπειδὴ δὲ λοιπὸν ἀνέῳξε τὰς λεωφόρους τῆς ὁδοιπορίας ὁ καιρὸς καὶ ἡμῖν τὰ δεσμὰ τῆς γλώττης ἔλυσε, τὸν σὺν ἡμῖν πρεσβύτερον ἐντεῦθεν ἀναστήσαντες,

---

1. Ἄλλη μιὰ εἰκόνα τῆς καταστάσεως ποὺ ἐπικρατοῦσε κατὰ κανόνα στὴν Κουκουσό.

καὶ ἔτσι ἡ αἰτία τῆς ἀποφυγῆς τοῦ θανάτου ἔγινε γι' αὐτοὺς αἰτία πιὸ φρικτοῦ θανάτου[1]. Αὐτὰ εἶναι τὰ δικά μας. Καὶ αὐτὰ τὰ εἶπα ὄχι γιὰ νὰ σὲ λυπήσω (γιατὶ γνωρίζω καλὰ ὅτι θὰ σὲ ἐπηρεάσουν ὅσα εἶπα), ἀλλὰ γιὰ νὰ σοῦ πῶ τὴν αἰτία αὐτῆς τῆς μακρᾶς σιωπῆς καὶ γιατὶ ἀργὰ καὶ μὲ καθυστέρηση σοῦ ἔγραψα. Τόσο πολὺ μὲ ἐγκατέλειψαν οἱ πάντες, ὥστε νὰ μὴ βρίσκω κανένα ποὺ νὰ ἔρχεται ἀπὸ ἐκεῖ, καὶ ἀναγκάσθηκα νὰ ξεσηκώσω ἀπὸ ἐδῶ τὸν πρεσβύτερο ποὺ βρίσκεται μαζί μου καὶ νὰ τὸν στείλω στὴ θαυμασιότητά σου.

Ἀφοῦ λοιπὸν τὸν δεχθεῖς ὅπως ταιριάζει σὲ σένα, στεῖλε τον πίσω σὲ μένα γρήγορα γιὰ νὰ μοῦ φέρει τὰ εὐχάριστα τῆς ὑγείας τῆς χάριτός σου. Γιατὶ γνωρίζεις πόσο σπουδαῖο εἶναι γιὰ μένα νὰ μαθαίνω γι' αὐτήν.

128

ΣΤΟΝ ΜΑΡΙΝΙΑΝΟ

Συνέχιζε λοιπόν, αἰδεσιμώτατε καὶ εὐγενέστατε δεσπότη μου, νὰ καλλιεργεῖς αὐτὸ τὸ καλὸ φυτό. Ποιός ὅμως θὰ εἶναι ὁ τρόπος τῆς καλλιέργειας; Νὰ καλλιεργεῖς μέσα του διαρκῶς τὸν ἔρωτα αὐτῆς τῆς τόσο καλῆς φιλοσοφίας, τὴν ὁποία μετέρχεται τώρα, καὶ νὰ τὸν προετοιμάζεις νὰ προοδεύει. Γιατὶ ἔτσι θὰ φέρει σὲ μᾶς γρήγορα καρπούς. Γιατὶ οἱ γενναῖες ψυχὲς δὲν μιμοῦνται τὴν ἀργοπορία αὐτῶν ἐδῶ τῶν φυτῶν, ποὺ ἔχουν φυτευθεῖ στοὺς κόλπους τῆς γῆς, ἀλλά, συγχρόνως μὲ τὸ φύτευμά τους στὴν πιὸ καλὴ ἐπιθυμία τῆς ἀρετῆς αὐτῆς, ἀνυψώνονται καὶ πρὸς τὸν ἴδιο τὸν οὐρανὸ καὶ παρουσιάζουν τόση καρποφορία, ὥστε νὰ καλύπτει ὅλο τὸν πλοῦτο καὶ στὴν ἀφθονία καὶ στὴν ποιότητα. Γιατὶ δὲ καταργοῦνται οἱ καρποὶ αὐτοὶ μαζὶ μὲ τὴν ἐδῶ ζωή, ἀλλὰ ἀποδημοῦν μαζί μας πρὸς τὴ μέλλουσα ζωή.

ΡΜΒ'

ΕΛΠΙΔΙΩι ΕΠΙΣΚΟΠΩι

Γλώττη μὲν ὀλιγάκις, γνώμῃ δὲ πολλάκις ἐπεστάλκαμέν σου τῇ θεοσεβείᾳ καὶ καθ' ἑκάστην συγγινόμεθα τὴν ἡμέραν, καὶ ταύτης οὐκ ἰσχύει τῆς συνουσίας ἡμᾶς ἀποστερῆσαι οὐ χρόνου πλῆθος, οὐχ ὁδοῦ μῆκος, οὐ πραγμάτων περίστασις. Τοιαύτη γὰρ τῆς ἀγάπης ἡ φύσις· οὐδενὶ τούτων εἴκει οὐδὲ παραχωρεῖ, ἀλλ' ἕστηκε πάντων ὑψηλοτέρα γινομένη.

Μὴ τοίνυν τῷ τῶν ἐπιστολῶν ἀριθμῷ, δέσποτά μου τιμιώτατε καὶ εὐλαβέστατε, μέτρει τὸ φίλτρον, ὃ περὶ τὴν σὴν ἔχομεν ἐμμέλειαν, ἀλλ' εἰδὼς ἡμῶν τὴν γνώμην καὶ τὴν διάθεσιν, ἣν ἀεὶ περὶ τὴν εὐλάβειαν ἐπεδειξάμεθα τὴν σήν, μηδὲν ἀπὸ τῆς μακρᾶς ταύτης σιγῆς ὑπόπτευε. Ἐπεὶ καὶ ἡμεῖς, ὀλιγάκις δεξάμενοι γράμματα παρὰ τῆς σῆς διαθέσεως, οὐδὲ ἐντεῦθεν ῥᾳθυμότερόν σε περὶ ἡμᾶς γεγενῆσθαι νομίζομεν, ἀλλ' ἴσμεν σαφῶς καὶ πεπιστεύκαμεν, ὅτι μένεις ἀνθοῦσαν διατηρῶν τὴν περὶ ἡμᾶς διάθεσιν, οὐ μόνον οὐκ ἀναπίπτων ἐκ τῆς συνεχείας τῶν ἐπαγομένων δεινῶν, ἀλλὰ καὶ σφοδρότερος γινόμενος περὶ ἡμᾶς, καὶ τούτου σοι χάριν ἴσμεν πολλήν.

Ἐπειδὴ δὲ εὖ οἶδ' ὅτι καὶ τὰ ἡμέτερα βούλει μανθάνειν, ὑγείας ἀπολαύομεν καὶ ἀπραγμοσύνης πολλῆς καὶ ἡσυχίας καὶ ἐν ἀσφαλείᾳ διάγομεν, τῶν ἰσαυρικῶν τέως ἀπηλλαγμένοι θορύβων. Τὸν γὰρ χειμῶνα λοιπὸν τῆς Ἀρμενίας φέρειν ἐμελέτησα, βλαπτόμενος μὲν ἠρέμα βλάβην, ὅσην εἰκὸς οὕτως ἀσθενεῖ σώματι κεχρημένον· περιγενόμενος δὲ τῷ διηνεκῶς οἴκοι κατακεκλεῖσθαι, ὅταν ἀφόρητος ὁ κρυμὸς ᾖ, καὶ ὀλιγάκις τῶν προθύρων προκύπτειν. Ὡς τῶν γε ἄλλων ὡρῶν τοῦ ἔτους σφόδρα ἡδίστων ἀπολελαύκαμεν, ὡς δυνηθῆναι εὐκόλως καὶ τὴν ἐκ τοῦ χειμῶνος ἐγγινομένην ἡμῖν διορθώσασθαι ἀρρωστίαν.

142

ΣΤΟΝ ΕΠΙΣΚΟΠΟ ΕΛΠΙΔΙΟ

Μὲ τὴ γλώσσα βέβαια λίγες φορὲς ἔγραψα στὴ θεοσέβειά σου, μὲ τὴ σκέψη ὅμως πολλές, καὶ τὴν συναναστρεφόμαι κάθε μέρα, καὶ αὐτὴ τὴ συναναστροφὴ δὲν μπορεῖ νὰ μοῦ τὴ στερήσει οὔτε ὁ πολὺς χρόνος, οὔτε ἡ ἀπόσταση τοῦ δρόμου, οὔτε ἡ δυσκολία τῆς καταστάσεως. Γιατὶ τέτοια εἶναι ἡ φύση τῆς ἀγάπης· μὲ τίποτε ἀπὸ αὐτὰ δὲν ὑποχωρεῖ, οὔτε παραμερίζεται, ἀλλὰ στέκεται ὄρθια καὶ γίνεται πιὸ ψηλὴ ἀπὸ ὅλα.

Μὴ μετρᾶς λοιπὸν μὲ τὸν ἀριθμὸ τῶν ἐπιστολῶν[1], ἐντιμότατε καὶ εὐλαβέστατε δεσπότη μου, τὴν ἀγάπη ποὺ τρέφω γιὰ τὴ χάρη σου, ἀλλά, γνωρίζοντας τὴ γνώμη καὶ τὰ αἰσθήματα ποὺ ἔδειξα πάντοτε πρὸς τὴν εὐλάβειά σου, μὴ ὑποψιάζεσαι τίποτε ἀπὸ αὐτὴ τὴ μακρὰ σιγή μου. Γιατὶ καὶ ἐγώ, ἂν καὶ λίγες φορὲς πῆρα γράμματα ἀπὸ τὴν ἀγάπη σου, δὲν συμπεραίνω ἀπὸ αὐτὸ ὅτι ἔγινες πιὸ ἀδιάφορος πρὸς ἐμένα, ἀλλὰ γνωρίζω μὲ σαφήνεια καὶ πιστεύω ὅτι ἐξακολουθεῖς νὰ διατηρεῖς ἀκμαῖα τὰ πρὸς ἐμένα αἰσθήματά σου, καὶ ὄχι μόνο δὲν ἀποθαρρύνεσαι ἀπὸ τὴ διάρκεια τῶν κακῶν ποὺ προκαλοῦνται, ἀλλὰ γίνεσαι καὶ πιὸ πιστὸς φίλος μου, καὶ γι' αὐτὸ σοῦ εἶμαι πολὺ εὐγνώμων.

Ἐπειδὴ ὅμως γνωρίζω καλὰ ὅτι θέλεις νὰ μαθαίνεις καὶ τὰ δικά μου, σὲ πληροφορῶ ὅτι ἀπολαμβάνω ὑγεία καὶ ἀμεριμνησία πολλὴ καὶ ἡσυχία, καὶ ζοῦμε μὲ ἀσφάλεια, ἀπαλλαγμένοι τελευταῖα ἀπὸ τὶς ταραχὲς τῶν Ἰσαύρων. Τὸν χειμώνα πάντως τῆς Ἀρμενίας φρόντισα νὰ τὸν περάσω ἔτσι, ὥστε νὰ μὲ προξενεῖ μικρὴ βλάβη, ὅσο εἶναι φυσικὸ νὰ βλάπτει ἕνα τόσο ἐξασθενημένο σῶμα, καὶ κατάφερα νὰ ξεπεράσω τὴ βλάβη μὲ τὸ νὰ μένω κατάκλειστος στὸ σπίτι, ὅταν τὸ κρύο ἦταν ἀφόρητο, σκύβοντας μόνο πότε–πότε ἀπὸ τὰ παράθυρα. Ὅσο γιὰ τὶς ἄλλες ἐποχὲς τοῦ ἔτους τὶς πέρασα πολὺ εὐχάριστα, γιὰ νὰ μπορέσω εὔκολα νὰ ξεπεράσω καὶ τὴν ἀρρώστια ποὺ μὲ βρῆκε τὸ χειμώνα.

---

1 Εἶναι τουλάχιστον ἡ πέμπτη φορὰ ποὺ τοῦ γράφει (βλ. *Ἐπιστολὴ* 25,114,131,138).

ΡΜΓ'

ΠΟΛΥΒΙΩι

Τοῦ μὲν ἐδάφους καὶ τῶν τοίχων τῆς πόλεως ἐκβεβλήμεθα, τῆς δὲ κυρίως πόλεως οὐ μετῳκίσθημεν. Εἰ γὰρ ὑμεῖς ἡ πόλις, μεθ' ὑμῶν δὲ ἡμεῖς ἀεὶ καὶ ἐν ὑμῖν, εὔδηλον ὅτι καὶ ἐνταῦθα διάγοντες, τὴν πόλιν οἰκοῦμεν ἐκείνην· καὶ γὰρ ἐνδιαιτώμεθα ὑμῶν ταῖς ψυχαῖς, εὖ οἶδ' ὅτι, καὶ ὅπουπερ ἂν ἀπίωμεν, καὶ πάντας ὑμᾶς τοὺς σφοδροὺς ἡμῶν ἐραστὰς ἐπὶ διανοίας περιφέροντες ἄπιμεν. Τοῦτο ἡμᾶς οὔτε τὴν ἐρημίαν τοῦ χωρίου τούτου (καὶ γὰρ πάσης τῆς οἰκουμένης ἐστὶν ἐρημότατον), οὔτε τὴν πολιορκίαν τῶν ληστῶν (καὶ γὰρ καθ' ἑκάστην πολιορκεῖται τὴν ἡμέραν), οὐ τὸν ἐντεῦθεν τικτόμενον λιμὸν ἀφίησιν ὁρᾶν· ἐπειδὴ τὸ μὲν σῶμα ἡμῖν ἐνταῦθα ἵδρυται, ἡ δὲ ψυχὴ παρ' ὑμῖν διηνεκῶς.

'Αλλ' ἐπειδὴ τοῖς οὕτω διακειμένοις ποθεινὴ σφόδρα καὶ περισπούδαστος καὶ ἡ σωματικὴ παρουσία καὶ λυπεῖ μὴ γινομένη, τοῦτο δὲ τέως γενέσθαι οὐκ ἔνι, ἔνι δὲ αὐτῇ φάρμακον μέγιστον ἡ διὰ τῶν γραμμάτων συνουσία, πάρεχε ταύτην ἡμῖν μετὰ δαψιλείας πολλῆς, καὶ ταύτης ἀπηλλάγμεθα τῆς ἀθυμίας. Ἱκανὸς γὰρ σύ, δέσποτά μου θαυμασιώτατε, καὶ διὰ γραμμάτων σοφίζεσθαι παρουσίας ἡδονήν.

ΡΜΔ'

ΔΙΟΓΕΝΕΙι

Ἔρημον μὲν ἡ Κουκουσὸς χωρίον καὶ ἄλλως εἰς οἴκησιν σφαλερόν, διηνεκεῖ φόβῳ τῶν ληστῶν πολιορκούμενον, σὺ δὲ αὐτὴν καὶ ἀπὼν παράδεισον εἶναι πεποίηκας. Ὅταν γάρ σου τὸν ζῆλον ἀκούσωμεν τὸν πολύν, τὴν ἀγάπην τὴν περὶ ἡμᾶς, τὴν γνησίαν καὶ θερμὴν (οὐδὲν γὰρ ἡμᾶς λανθάνει καὶ ἐκ τοσούτου καθημένους διαστή-

143

ΣΤΟΝ ΠΟΛΥΒΙΟ

Ἀπὸ τὸ ἔδαφος βέβαια καὶ τὰ τείχη τῆς πόλεως ἐκδιώχθηκα, ἀπὸ τὴν κυρίως πόλη ὅμως δὲ μετανάστευσα. Γιατί, ἂν ἐσεῖς εἶστε ἡ πόλη καὶ ἐγὼ εἶμαι πάντοτε μαζί σας καὶ ἀνάμεσά σας, εἶναι ὁλοφάνερο ὅτι, ἂν καὶ ζῶ ἐδῶ, κατοικῶ στὴν πόλη ἐκείνη· γιατὶ ζῶ μέσα στὶς ψυχές σας, καὶ γνωρίζω καλὰ ὅτι, ὅπου καὶ ἂν πηγαίνω, πηγαίνω φέρνοντας στὴ σκέψη μου ὅλους ἐσᾶς τοὺς πιστούς μου φίλους. Αὐτὸ δὲν μὲ ἀφήνει νὰ βλέπω οὔτε τὴν ἐρημιὰ τοῦ χωριοῦ αὐτοῦ (ποὺ εἶναι τὸ πιὸ ἔρημο ὅλης τῆς οἰκουμένης), οὔτε τὶς πολιορκίες τῶν ληστῶν (ποὺ πράγματι εἶναι καθημερινές), οὔτε τὴν ἔλλειψη τροφῶν ποὺ προκαλεῖται ἀπὸ τὶς πολιορκίες. Γιατὶ τὸ σῶμα μου βέβαια εἶναι ἐγκαταστημένο ἐδῶ μαζί μου, ἡ ψυχή μου ὅμως βρίσκεται διαρκῶς κοντά σας.

Ἀλλά, ἐπειδὴ γιὰ ἐκείνους ποὺ διατελοῦν σὲ τέτοια ψυχικὴ κατάσταση εἶναι πολὺ ἐπιθυμητὴ καὶ σημαντικὴ καὶ ἡ σωματικὴ παρουσία, καὶ τοὺς στενοχωρεῖ ὅταν δὲν πραγματοποιεῖται, καὶ αὐτὸ πρὸς τὸ παρὸν δὲν εἶναι δυνατὸ νὰ γίνει, εἶναι ὅμως γι' αὐτὴ τὴν ἀπουσία βάλσαμο μεγάλο ἡ διὰ τῶν γραμμάτων ἐπικοινωνία, δίνε μου αὐτὴ τὴν εὐκαιρία συναναστροφῆς μὲ πολλὴ ἀφθονία καὶ θὰ ἀπαλλαγῶ ἀπὸ τὴ στενοχώρια ποὺ μὲ κατέχει. Γιατὶ ἐσύ, θαυμασιώτατε δεσπότη μου, εἶσαι ἱκανὸς καὶ μὲ τὰ γράμματα νὰ προκαλεῖς εὐχαρίστηση πραγματικῆς παρουσίας.

144

ΣΤΟ ΔΙΟΓΕΝΗ

Ἡ Κουκουσὸς εἶναι ἔρημο χωριὸ καὶ ὁπωσδήποτε ἐπικίνδυνο γιὰ διαμονή, ἀφοῦ πολιορκεῖται ἀπὸ τὸν διαρκῆ φόβο τῶν ληστῶν· ἐσὺ ὅμως, ἂν καὶ εἶσαι ἀπών, τὴν ἔκανες νὰ μοιάζει σὰν παράδεισος. Γιατὶ ὅταν ἀκούω τὸν μεγάλο ζῆλο σου, τὴν ἀγάπη σου γιὰ μένα τὴ γνήσια καὶ θερμὴ (γιατὶ τίποτε δὲ μοῦ διαφεύγει, ἔστω καὶ

ματος), ὡς θησαυρὸν μέγιστον ἔχοντες καὶ πλοῦτον ἄφατον, τὴν διάθεσίν σου τῆς ἐμμελείας, καὶ ἐν ἀσφαλεστάτῃ πόλει διατρίβειν ἡγούμεθα, ὑπὸ τῆς τοσαύτης εὐφροσύνης πτερούμενοι, καὶ μεγίστην παράκλησιν ἐντεῦθεν καρπούμενοι.

Ἵν' οὖν καὶ ἑτέρα προσθήκη γένηται ἡμῖν ἡδονῆς, παρακαλῶ καὶ γράμματα ἡμῖν χαρίζου, τὰ περὶ τῆς ὑγιείας δηλοῦντα τῆς σῆς. Εἰ γὰρ καὶ ἐργῶδες τοῦτο, διὰ τὸ τῆς ὁδοῦ μῆκος καὶ τὸ σφόδρα ἀπῳκίσθαι τῆς δημοσίας τουτὶ τὸ χωρίον ὁδοῦ, ἀλλὰ τῷ οὕτως φιλοῦντι, ὡς αὐτὸς οἶσθα φιλεῖν, καὶ τὰ δύσκολα εὔκολα γίνονται.

Ἐννοήσας τοίνυν ἡλίκην ἡμῖν χαριῇ χάριν τῇ πυκνότητι τῶν τοιούτων γραμμάτων, πάρεχε καὶ ταύτην ἡμῖν τὴν εὐφροσύνην· καὶ γὰρ σφόδρα ἀλγοῦμεν, ὅτι δεύτερον ἐπεσταλκότες ἤδη, οὐδὲ ἅπαξ ἐδεξάμεθα γράμματα τῆς σῆς ἐμμελείας.

ΡΜΕ'

ΝΙΚΟΛΑΩι ΠΡΕΣΒΥΤΕΡΩι

Ἐβουλόμην καὶ αὐτὸς καὶ σφόδρα ἐπεθύμουν ἰδεῖν σου τὴν ἐμμέλειαν καὶ περιπτύξασθαι, καὶ τοῦτο οἶσθα καὶ πρὸ τῶν ἡμετέρων γραμμάτων. Φιλεῖν γὰρ εἰδὼς γνησίως καὶ τοὺς γνησίως φιλοῦντας διαγινώσκειν ἐπίστασαι. Ἀλλ' ἐπειδὴ τοῦτο οὐκ ἔνι, ὅπερ ἔνι ποιῶ, τέως γράφω, προσαγορεύω, γράμματα ἀπαιτῶ, τὰ περὶ τῆς ὑγείας τῆς σῆς ὑμῖν πυκνότερον δηλοῦντα. Χαρίζου δὴ ταύτην ἡμῖν τὴν χάριν. Εἰ γὰρ καὶ μὴ δεῖ σοι παρακλήσεως εἰς τοῦτο, οὐ παυσόμεθά σε ἀναμιμνήσκοντες ὑπὲρ τούτου. Οὐ γὰρ μικρὰ παράκλησις ἡμῖν καὶ παραμυθία καὶ τῆς ἐρημίας καὶ τῶν φόβων τῶν καθημερινῶν, τῶν ἀπὸ τῆς ἐφόδου γινομένων τῆς λῃστρικῆς, καὶ τῆς τοῦ σώματος ἀρρωστίας καὶ τῶν ἄλλων περιστάσεων, τὸ μανθάνειν περὶ τῶν ἀγαπώντων ἡμᾶς ὑμῶν, ὅτι τε ἔρρωσθε καὶ ὑγιαίνετε καὶ κατὰ ῥοῦν ὑμῖν ἅπαντα φέρεται, κἂν μυρίους ἡμῖν λέγῃς χειμῶνας. Πῶς καὶ τίνι τρόπῳ; Ὅτι ἔνι τὸν γενναῖον καὶ ἐγρηγορότα καὶ νήφοντα καὶ ἐν

ἂν βρισκόμαι σὲ τόσο μεγάλη ἀπόσταση), ἔχοντας ὡς θησαυρὸ πολὺ μεγάλο καὶ πλοῦτο ἀπερίγραπτο τὰ αἰσθήματα τῆς χάριτός σου, ἀναζωογονούμενος ἀπὸ τὴν τόσο μεγάλη χαρά, καὶ σὲ πολὺ ἀσφαλῆ πόλη νομίζω ὅτι ζῶ, καὶ μεγάλη παρηγοριὰ ἀπὸ αὐτὸ δέχομαι.

Γιὰ νὰ προστεθεῖ λοιπὸν καὶ ἄλλη εὐχαρίστηση σὲ μένα, παρακαλῶ νὰ μοῦ χαρίζεις καὶ γράμματα ποὺ νὰ μὲ πληροφοροῦν γιὰ τὴ ὑγεία σου. Ἂν καὶ βέβαια αὐτὸ εἶναι δύσκολο, ἐξαιτίας τῆς ἀποστάσεως τοῦ δρόμου καὶ τοῦ ὅτι τὸ χωριὸ αὐτὸ εἶναι κτισμένο πολὺ μακριὰ ἀπὸ τὸ δημόσιο δρόμο, ὅμως γιὰ ἐκεῖνον ποὺ ἀγαπᾶ πολύ, ὅπως ἐσὺ ξέρεις νὰ ἀγαπᾶς, καὶ τὰ δύσκολα γίνονται εὔκολα.

Κατανοώντας λοιπὸν πόσο μεγάλη χαρὰ θὰ μοῦ χαρίσεις, δίνε μου καὶ αὐτὴ τὴν εὐφροσύνη, γιατὶ πονῶ πολὺ ἀπὸ τὸ ὅτι, ἐνῶ σοῦ ἔγραψα γιὰ δεύτερη ἤδη φορά, οὔτε μιὰ φορὰ δὲν πῆρα γράμμα τῆς χάριτός σου.

145

ΣΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟ ΝΙΚΟΛΑΟ

Ἤθελα καὶ ἐγὼ καὶ ἐπιθυμοῦσα πολὺ νὰ σὲ δῶ καὶ νὰ σὲ ἀγκαλιάσω, καὶ τὸ γνωρίζεις αὐτὸ καὶ πρὶν ἀπὸ τὰ γράμματά μου. Γιατί, ἐπειδὴ ξέρεις νὰ ἀγαπᾶς εἰλικρινά, ξέρεις νὰ ἀναγνωρίζεις καὶ ἐκείνους ποὺ ἀγαποῦν εἰλικρινά. Ὅμως, ἐπειδὴ αὐτὸ δὲν εἶναι δυνατό, κάνω ὅ,τι εἶναι δυνατό, κατὰ πρῶτον γράφω, στέλνω χαιρετίσματα, ζητῶ γράμματα, ποὺ νὰ μὲ πληροφοροῦν γιὰ τὴν ὑγεία σου πιὸ συχνά. Κάνε μου λοιπὸν τὴ χάρη αὐτή. Ἂν καὶ βέβαια δὲν ἔχεις ἀνάγκη νὰ σὲ παρακαλέσω γι' αὐτό, ἐγὼ ὅμως δὲ θὰ παύσω νὰ σοῦ τὸ ὑπενθυμίζω. Γιατὶ δὲν εἶναι μικρὴ παρηγοριὰ καὶ ἀνακούφιση ἀπὸ τὴν ἐρημιὰ καὶ τοὺς καθημερινοὺς φόβους, ποὺ προκαλεῖ ἡ ἐπίθεση τῶν ληστῶν, καὶ ἀπὸ τὴ σωματικὴ ἀσθένεια καὶ τὶς ἄλλες δοκιμασίες μου, τὸ νὰ μαθαίνω γιὰ σᾶς ποὺ μὲ ἀγαπᾶτε, ὅτι εἶσθε καλὰ καὶ ὑγιαίνετε καὶ ὅλα ἐξελίσσονται ὁμαλά, κι ἂν ἀκόμα μοῦ μιλᾶς γιὰ μύριες ἀναταραχές. Πῶς καὶ μὲ ποιό τρόπο; Ὅτι εἶναι δυνατὸ ὁ γενναῖος καὶ ἐπάγρυπνος καὶ νηφάλιος νὰ πλέει καὶ μέσα σὲ ταραγ-

ταραττομένῳ πραγμάτων πελάγει ἐξουρίας πλεῖν, ὥσπερ καὶ τὸν χαῦνον καὶ ἀναπεπτωκότα καὶ κείμενον ὕπτιον, καὶ ἐν γαλήνῃ διαταράττεσθαι καὶ θορυβεῖσθαι.

ΡΜϚ'

ΘΕΟΔΟΤΩι, ΝΙΚΟΛΑΩι, ΧΑΙΡΕΑι, ΠΡΕΣΒΥΤΕΡΟΙΣ ΚΑΙ ΜΟΝΑΖΟΥΣΙ

Ὑμεῖς μὲν τῶν Ἰσαύρων αἰτιᾶσθαι τὴν καταδρομὴν τῆς ἀπουσίας τῆς ὑμετέρας, ἐγὼ δὲ ὑμᾶς καὶ περαῖναί φημι καὶ σὺν ἡμῖν εἶναι καὶ οὐδὲν οὐδὲ ἐντεῦθεν γενέσθαι κώλυμα πρὸς τὴν ἄφιξιν ὑμῶν. Τοιαῦτα γὰρ τῆς ἀγάπης τὰ πτερά· ἀθρόον καὶ μετὰ πολλῆς τῆς εὐκολίας πανταχοῦ παραγίνεται, κἂν μυρία τὰ κωλύματα ᾖ. Εἰ δὲ τῆς σωματικῆς ὑμῶν ἀπεστερήμεθα παρουσίας, μὴ διαλίπητε εὐχόμενοι, καὶ δώσει ταῦτα ὁ φιλάνθρωπος Θεός. Ἐπεὶ καὶ αὐτὸς διηνεκῶς ὑμᾶς ἐν διανοίᾳ περιφέρων, οὐχ ὡς ἔτυχε καὶ τῆς κατ' ὄψιν ἐρῶ συντυχίας, καὶ εὖ οἶδ' ὅτι καὶ αὐτὴ ἔσται, μετὰ ἐκτενείας ὑμῶν παρακαλούντων τὸν δυνάμενον πάντα λῦσαι χειμῶνα καὶ εἰς γαλήνην λευκὴν ἅπαντα ἀγαγεῖν.

Ἵνα δὲ καὶ τὰ ἡμέτερα μαθόντες εὐφραίνησθε, πολλῆς ἀπολαύομεν ἡσυχίας καὶ ἀπραγμοσύνης, τὸ σῶμα ἡμῖν, καίτοι πολλῶν ὄντων τῶν λυμαινομένων αὐτοῦ τὴν ὑγείαν· καὶ γὰρ ἰατρῶν σπάνις καὶ ἀναγκαίων ἀπορία (οὐδὲν γάρ ἐστιν ὤνιον ἐνταῦθα, οὐ φαρμάκων εὐπορία) καὶ ἀέρος δυσκρασία (τοῦ κρυμοῦ γὰρ οὐκ ἔλαττον ἡμᾶς τὸ θέρος λυπεῖ, ἀπεναντίας τοῦ κρυμοῦ μιμούμενος τὴν σφοδρότητα) καὶ πολιορκία χαλεπὴ καὶ διηνεκὴς καὶ συνεχεῖς καὶ ἐπάλληλοι φόβοι τῶν ἰσαυρικῶν ἐφόδων· τούτων τοίνυν καὶ ἑτέρων πλειόνων ὄντων τῶν διαφθειρόντων τὴν ῥῶσιν ἡμῖν, τέως τοῦ μὲν κινδύνου τοῦ χαλεποῦ καὶ τῆς τοιαύτης ἀπηλλάγμεθα ἀρρωστίας, ὑγιαίνομεν δέ τινα ὑγείαν σύμμετρον.

Μὴ δὴ διαλίπητε καὶ αὐτοὶ συνεχῶς ἡμῖν ἐπιστέλλοντες καὶ τὰ περὶ τῆς ὑγείας τῆς ὑμετέρας εὐαγγελιζόμενοι. Καὶ γὰρ παράκλησιν

μένο πέλαγος περιστάσεων μὲ οὔριο ἄνεμο, ὅπως καὶ ὁ νωθρὸς καὶ δειλὸς καὶ ὁ ξαπλωμένος ἀνάσκελα καὶ ὅταν ἀκόμα ἐπικρατεῖ γαλήνη ταράσσεται καὶ ἀναστατώνεται.

146

ΣΤΟΥΣ ΠΡΕΣΒΥΤΕΡΟΥΣ ΚΑΙ ΜΟΝΑΧΟΥΣ ΘΕΟΔΟΤΟ, ΝΙΚΟΛΑΟ ΚΑΙ ΧΑΙΡΕΑ

Ἐσεῖς βέβαια προβάλλετε σὰν δικαιολογία τῆς ἀπουσίας σας τὴν ἐπιδρομὴ τῶν Ἰσαύρων, ἐγὼ ὅμως λέω ὅτι εἶστε παρόντες καὶ βρισκόσαστε μαζί μου καὶ τίποτε οὔτε ἀπὸ αὐτὸ δὲ θὰ γίνει ἐμπόδιο γιὰ τὸν ἐρχομό σας. Γιατὶ τέτοια εἶναι τὰ φτερὰ τῆς ἀγάπης· μέσα σὲ μιὰ στιγμὴ καὶ μὲ πολλὴ εὐκολία πηγαίνουν παντοῦ, ἔστω καὶ ἂν ὑπάρχουν μυριάδες ἐμπόδια. Ἂν καὶ λοιπὸν στεροῦμαι τὴ σωματικὴ παρουσία σας, μὴ παραλείπετε νὰ προσεύχεσθε, καὶ θὰ δώσει καὶ αὐτὰ ὁ φιλάνθρωπος Θεός. Γιατὶ καὶ ἐγὼ φέρνοντάς σας πάντοτε στὸ νοῦ μου, δὲν ἐπιθυμῶ λίγο καὶ τὴν προσωπική σας συνάντηση, καὶ γνωρίζω καλὰ ὅτι καὶ ἡ συνάντηση αὐτὴ θὰ γίνει, ἐὰν παρακαλεῖτε ἀκατάπαυστα αὐτὸν ποὺ μπορεῖ νὰ διαλύσει κάθε ἀναταραχὴ καὶ νὰ ὁδηγήσει τὰ πάντα σὲ ὡραία γαλήνη.

Γιὰ νὰ χαρεῖτε ὅμως μαθαίνοντας καὶ τὰ δικά μου, σᾶς πληροφορῶ ὅτι ἀπολαμβάνω πολλὴ ἡσυχία καὶ ἀμεριμνησία, ὡς πρὸς τὸ σῶμα μου, ἂν καὶ βέβαια πολλὰ εἶναι ἐκεῖνα ποὺ ὑποσκάπτουν τὴν ὑγεία μου· γιατὶ καὶ ἔλλειψη γιατρῶν ὑπάρχει καὶ στέρηση τῶν ἀναγκαίων γιὰ τὴ ζωὴ (κανένα τρόφιμο δὲν ὑπάρχει ἐδῶ, οὔτε φάρμακο) καὶ δύσκολες καιρικὲς συνθῆκες (τὸ καλοκαίρι δὲν μᾶς στενοχωρεῖ λιγότερο ἀπὸ τὸ κρύο, ἀλλ' ἀπεναντίας μιμεῖται τὴν δριμύτητα τοῦ χειμώνα) καὶ πολιορκία φοβερὴ καὶ διαρκής, καὶ συνεχεῖς καὶ ἀλλεπάλληλοι φόβοι ἀπὸ τὶς ξαφνικὲς ἐπιθέσεις τῶν Ἰσαύρων. Ἀπὸ αὐτὰ καὶ ἄλλα περισσότερα, ποὺ ὑπονομεύουν τὴν ὑγεία μου, πρόσφατα ἀπαλλάχθηκα ἀπὸ τὸν τρομερὸ κίνδυνο καὶ ἀπὸ τὴν ἀρρώστια μου καὶ ἔχω μιὰ μέτρια ὑγεία.

Μὴ παραλείπετε λοιπὸν καὶ σεῖς νὰ μοῦ γράφετε συνεχῶς πληροφορώντας με γιὰ τὰ εὐχάριστα τῆς ὑγείας σας. Γιατὶ τὴν ἀγά-

μεγίστην καὶ παραμυθίαν καὶ θησαυρὸν πολλῶν γέμοντα ἀγαθῶν, τὴν ὑμετέραν ἀγάπην εἶναι νομίζομεν· καὶ ὅταν τὴν διάθεσιν ὑμῶν τὴν γνησίαν καὶ τὸ ἀπερίτρεπτον τῆς γνώμης καὶ τὴν ἀκλινῆ καὶ στερρὰν ὑμῶν ἐννοήσωμεν ἀγάπην (ἀεὶ δὲ αὐτὴν ἐννοοῦντες οὐ παυόμεθα), ὥσπερ εἴς τινα λιμένα εὐρὺν καὶ ἀκύμαντον ἀπὸ τῶν πολλῶν καταπλέομεν θλίψεων.

ΡΜΖ'

ΑΝΘΕΜΙΩ[1]

Ἄλλοι μέν σου τῇ θαυμασιότητι καὶ τῆς ὑπατείας καὶ τῆς ἐπαρχότητος συνήδονται, ἐγὼ δὲ αὐταῖς ταῖς ἀρχαῖς τῆς σῆς ἕνεκεν μεγαλοπρεπείας. Οὐ γὰρ σὲ κατεκόσμησαν, ἀλλ' ἐκοσμήθησαν παρὰ σοῦ. Ἐπειδὴ καὶ τοιοῦτον ἡ ἀρετή· οὐκ ἔξωθεν δανείζεται τὰς τιμάς, ἀλλ' αὐτὴ ἐν ἑαυτῇ περιφέρει ταύτας, τιμὴν τοῖς ἀξιώμασι τούτοις παρέχουσα, οὐκ αὐτὴ παρ' ἐκείνων λαμβάνουσα. Διὰ δὴ τοῦτο οὐδὲ προσεθήκαμεν τῷ φίλτρῳ νῦν τῷ περὶ σέ. Οὐδὲν γάρ σοι προσγέγονε πλέον· οὐδὲ τὸν ὕπαρχον καὶ ὕπατον ἡμεῖς φιλοῦμεν, ἀλλὰ τὸν δεσπότην μου τὸν ἡμερώτατον Ἀνθέμιον, τὸν πολλῆς μὲν συνέσεως, πολλῆς δὲ γέμοντα φιλοσοφίας. Διό σε καὶ μακαρίζομεν, οὐκ ἐπειδὴ πρὸς τὸν θρόνον ἀνέβης τοῦτον, ἀλλ' ἐπειδὴ δαψιλεστέραν ἔλαβες ὕλην, εἰς τὸ τὴν σύνεσίν σου καὶ τὴν φιλανθρωπίαν ἐπιδείξασθαι. Καὶ τοῖς ἀδικουμένοις πᾶσι συνηδόμεθα, τὸν πλατύν σου λιμένα τῆς ψυχῆς ὁρῶντες, μυρία δυνάμενον λῦσαι ναυάγια, καὶ τοὺς εἰς ἔσχατον κλυδωνίου κατενεχθέντας παρασκευάσαι ἐξουρίας πλεῖν. Διὰ ταῦτα σκιρτῶμεν, διὰ ταῦτα χαίρομεν, τὴν σὴν ἀρχὴν κοινὴν ἑορτὴν τῶν ἐπηρεαζομένων εἶναι νομίζοντες, ἧς καὶ αὐτοὶ νῦν ἀπολαύομεν, οἰκείαν ἡδονὴν εἶναι τιθέμενοι τῶν σῶν κατορθωμάτων τὸ μέγεθος.

---

1. Γράμμα συγχαρητήριο πρὸς τὸν Ἀνθέμιο γιὰ τὴν καθόλα ἐπάξια προαγωγή του σὲ ὕπατο. Ὡστόσο, ὁ τόσο ταλαιπωρημένος καὶ κατάφωρα ἀδικημένος ἱεράρχης, δὲν μπορεῖ νὰ κρύψει τὴν ἐλπίδα του ὅτι θὰ μποροῦσε ὁ Ἀνθέμιος ἀπὸ τὴ νέα

πη σας τὴν θεωρῶ μεγάλη παρηγοριὰ καὶ ἀνακούφιση καὶ θησαυροφυλάκιο γεμάτο μὲ πολλὰ ἀγαθά. Καὶ ὅταν σκέφτομαι τὰ γνήσια αἰσθήματά σας καὶ τὴν ἀμετάτρεπτη γνώμη σας καὶ τὴν ἀμετακίνητη καὶ σταθερὴ ἀγάπη σας (τὴν ὁποία δὲν παύω ποτὲ νὰ σκέφτομαι), αἰσθάνομαι σὰν νὰ πλέω ἀπὸ τὶς πολλὲς θλίψεις πρὸς κάποιο λιμάνι εὐρὺ καὶ γαλήνιο.

147

ΣΤΟΝ ΑΝΘΕΜΙΟ

Ἄλλοι βέβαια ἀπὸ τοὺς ἀνθρώπους εὐχαριστιοῦνται μαζὶ μὲ τὴ θαυμασιότητά σου γιὰ τὰ ἀξιώματα τοῦ ὑπάτου καὶ τοῦ ἐπάρχου, ἐγὼ ὅμως χαίρομαι γιὰ τὰ παραπάνω ἀξιώματά σου ἐξαιτίας τῆς δικῆς σου μεγαλοπρέπειας. Γιατὶ δὲ σὲ κόσμησαν, ἀλλὰ κοσμήθηκαν ἀπὸ σένα. Γιατὶ τέτοια εἶναι ἡ ἀρετή· δὲ δανείζεται τὶς τιμὲς ἀπὸ ἔξω, ἀλλὰ ἡ ἴδια τὶς περιφέρει μέσα της, προσδίνοντας τιμὴ στὰ ἀξιώματα αὐτὰ καὶ μὴ παίρνοντας αὐτὴ ἀπὸ ἐκεῖνα. Γι' αὐτὸ ἀκριβῶς δὲν πρόσθεσα τώρα τίποτε στὴν ἀγάπη μου γιὰ σένα. Γιατὶ δὲν σοῦ συνέβη τίποτε τὸ ἐπιπλέον. Δὲν ἀγαπῶ ἐγὼ τὸν ὕπαρχο καὶ τὸν ὕπατο, ἀλλὰ τὸν ἡμερώτατο δεσπότη μου Ἀνθέμιο, ποὺ εἶναι γεμάτος σύνεση καὶ σοφία. Γι' αὐτὸ καὶ σὲ μακαρίζω, ὄχι ἐπειδὴ ἀνέβηκες στὸ θρόνο αὐτό, ἀλλ' ἐπειδὴ ἀπόκτησες πιὸ ἄφθονα μέσα γιὰ νὰ δείξεις τὴ σύνεση καὶ τὴ φιλανθρωπία σου. Χαίρομαι καὶ μαζὶ μὲ ὅλους τοὺς ἀδικημένους, βλέποντας τὸ πλατὺ λιμάνι τῆς ψυχῆς σου, τὸ ὁποῖο μπορεῖ νὰ διαλύσει μύρια ναυάγια, καὶ ἐκείνους ποὺ ἔφθασαν σὲ ἐπικίνδυνη θαλασσοταραχὴ νὰ τοὺς κάνει νὰ πλεύσουν μὲ οὔριο ἄνεμο[1]. Γι' αὐτὰ σκιρτῶ ἀπὸ χαρά, γι' αὐτὰ χαίρομαι, θεωρώντας τὴν ἐξουσία σου κοινὴ γιορτὴ ὅλων τῶν δοκιμαζομένων. Τὴ γιορτὴ αὐτὴ ἀπολαμβάνοντας καὶ ἐγὼ τώρα, θεωρῶ τὸ μέγεθος τῶν κατορθωμάτων σου ὡς δική μου εὐχαρίστηση.

του θέση νὰ συμβάλει περισσότερο στὴ κατάπαυση τῆς τρικυμίας ποὺ ξέσπασε στὴν Ἐκκλησία καὶ νὰ βοηθήσει «τοὺς εἰς ἔσχατον κλυδωνίου κατενεχθέντας» νὰ πλεύσουν μὲ οὔριον ἄνεμον, μεταξὺ τῶν ὁποίων, φυσικά, πρῶτος εἶναι ὁ ἴδιος.

ΡΜΗ'

ΚΥΡΙΑΚΩι, ΔΗΜΗΤΡΙΩι, ΠΑΛΛΑΔΙΩι, ΕΥΛΥΣΙΩι, ΕΠΙΣΚΟΠΟΙΣ

Μακάριοι καὶ τρισμακάριοι καὶ πολλάκις τοῦτο ὑμεῖς τῶν καλῶν τούτων ἱδρώτων καὶ ἀγώνων, τῶν μόχθων καὶ πόνων καὶ τῶν κινδύνων, οὓς ὑπὲρ τῶν Ἐκκλησιῶν τῶν κατὰ τὴν οἰκουμένην κειμένων ὑπομεμενήκατε, λαμπροὶ μὲν ἐν γῇ, λαμπροὶ δὲ ἐν οὐρανοῖς διὰ τούτων γενόμενοι. Καὶ γὰρ ἄνθρωποι πάντες οἱ νοῦν ἔχοντες ἀνακηρύττουσιν ὑμᾶς καὶ στεφανοῦσιν, ἐκπληττόμενοι τὴν εὐτονίαν ὑμῶν, τὴν ἀνδρείαν, τὴν καρτερίαν, τὴν προσεδρείαν. Ὅ τε φιλάνθρωπος Θεός, ὁ μείζονας ἐκ πολλοῦ τοῦ περιόντος τιθεὶς ἀεὶ τῶν πόνων τὰς ἀμοιβάς, τοσούτοις ἀμείψεται ἀγαθοῖς, ὅσοις ἀμείβεσθαι Θεῷ πρέπον τοὺς οὕτω γενναίως ἀγωνιζομένους ὑπὲρ τῆς κατὰ τὴν οἰκουμένην ἅπασαν εἰρήνης. Διὰ τοῦτο καὶ ἡμεῖς οὐ παυόμεθα μακαρίζοντες ὑμᾶς, ἐντρυφῶντες ὑμῶν τῇ μνήμῃ διηνεκῶς, ἐπὶ διανοίας περιφέροντες, εἰ καὶ πολλῷ διῳκίσμεθα τῷ τῆς ὁδοῦ μήκει.

Ὁ μὲν οὖν τιμιώτατος Κυριακὸς ὁ διάκονος οὐκ ἠδυνήθη νῦν ἐκπλεῦσαι, διὰ τὸ πολλῷ κατειργάσθαι πόνῳ. Οἱ μέντοι κύριοί μου, ὁ εὐλαβέστατος πρεσβύτερος Ἰωάννης καὶ ὁ τιμιώτατος Παῦλος ὁ διάκονος, ἐλαυνόμενοι πανταχόθεν καὶ μηδαμοῦ στῆναι μηδὲ λαθεῖν ἔχοντες, ἀναγκαῖον ἐνόμισαν καταλαβεῖν ὑμῶν τὴν ἀγάπην καὶ αὐτόθι μεθ' ὑμῶν εἶναι. Δεξάμενοι τοίνυν αὐτοὺς μετὰ ἀγάπης, τὴν πρέπουσαν ὑμῖν εὔνοιαν περὶ αὐτοὺς ἐπιδείξασθε.

ΡΜΘ'

ΑΥΡΗΛΙΩι ΕΠΙΣΚΟΠΩι ΚΑΡΘΑΓΕΝΗΣ

Βαβαί, ἡλίκον ἐστὶ γενναία ψυχὴ καὶ πολλῷ βρύουσα τῷ τῆς ἀγάπης καὶ τῷ τῆς εὐλαβείας καρπῷ, ὅπου γε καὶ αὐτὸς τοσοῦτον ἡμῶν ἀπῳκισμένος ὁδοῦ μῆκος, ὡς παρὼν καὶ μεθ' ἡμῶν ὤν, οὕτως ἡμᾶς εἷλες καὶ ἐχειρώσω. Τῆς γὰρ ἀγάπης σου τὸ θερμὸν καὶ

148

ΣΤΟΥΣ ΕΠΙΣΚΟΠΟΥΣ ΔΗΜΗΤΡΙΟ, ΠΑΛΛΑΔΙΟ ΚΑΙ ΕΥΛΥΣΙΟ

Μακάριοι καὶ τρισμακάριοι καὶ πολλὲς φορὲς μακάριοι σεῖς γιὰ τοὺς καλοὺς αὐτοὺς ἱδρῶτες καὶ ἀγῶνες, μόχθους καὶ κόπους καὶ κινδύνους ποὺ ὑπομείνατε γιὰ χάρη τῶν Ἐκκλησιῶν ποὺ βρίσκονται στὴν οἰκουμένη, ἀναδειχθέντες μὲ αὐτοὺς ἔνδοξοι καὶ στὴ γῆ ἀλλὰ καὶ στοὺς οὐρανούς. Πράγματι ὅλοι οἱ ἄνθρωποι ποὺ ἔχουν μυαλὸ σᾶς ἀναγνωρίζουν καὶ σᾶς στεφανώνουν, κατάπληκτοι ἀπὸ τὴ δύναμη, τὴν ἀνδρεία, τὴν καρτερία καὶ τὸν ἐπίμονο ζῆλο σας. Ἀλλὰ καὶ ὁ φιλάνθρωπος Θεός, ποὺ χορηγεῖ πάντοτε κατὰ πολὺ μεγαλύτερες ἀμοιβὲς γιὰ τὶς δοκιμασίες, θὰ σὲ ἀνταμείψει μὲ τόσα ἀγαθά, μὲ ὅσα εἶναι πρέπον στὸ Θεὸ νὰ ἀμείβει αὐτοὺς ποὺ τόσο γενναῖα ἀγωνίζονται γιὰ τὴν εἰρήνη ὅλης τῆς οἰκουμένης. Γι' αὐτὸ καὶ ἐγὼ δὲν παύω νὰ σᾶς μακαρίζω, ἀπολαμβάνοντας τὴ μνήμη σας διαρκῶς, σᾶς περιφέρω στὸ νοῦ μου, ἂν καὶ εἴμαστε ἐγκαταστημένοι σὲ μεγάλη ἀπόσταση.

Ὁ ἐντιμότατος βέβαια διάκονος Κυριακὸς δὲν μπόρεσε τώρα νὰ ἀποπλεύσει, ἐπειδὴ καταβλήθηκε ἀπὸ τὸν πολὺ κόπο. Οἱ κύριοί μου ὅμως, ὁ εὐλαβέστατος πρεσβύτερος Ἰωάννης καὶ ὁ ἐντιμότατος διάκονος Παῦλος, διωκόμενοι ἀπὸ παντοῦ καὶ μὴ ἔχοντας ποῦ νὰ σταθοῦν ἢ νὰ κρυφτοῦν, θεώρησαν ἀναγκαῖο νὰ ἔλθουν στὴν ἀγάπη σας καὶ νὰ μείνουν μαζί σας. Ἀφοῦ λοιπὸν τοὺς δεχθεῖτε μὲ ἀγάπη, δεῖξτε τους τὴ συμπάθεια ποὺ ἁρμόζει σὲ σᾶς.

149

ΣΤΟΝ ΕΠΙΣΚΟΠΟ ΚΑΡΘΑΓΕΝΗΣ ΑΥΡΗΛΙΟ

Ἀλήθεια, πόσο μεγάλο πρᾶγμα εἶναι ἡ γενναία ψυχὴ καὶ πόσο πολλοὺς καρποὺς ἀγάπης καὶ εὐλάβειας ἀναβλύζει, ἀφοῦ καὶ σύ, ἂν καὶ εἶσαι τόσο μακριὰ ἀπὸ μένα ἐγκαταστημένος, μὲ κυρίεψες καὶ μὲ αἰχμαλώτισες τόσο πολύ, σὰν νὰ ἦσουν παρὼν ἐδῶ μαζί μου.

τῆς παρρησίας καὶ τῆς εὐλαβείας ἡ εὐωδία μέχρι τὰ ἡμῶν τῶν ἐν ἐσχατιᾷ τῆς οἰκουμένης καθημένων ἔφθασεν. Διὰ ταῦτά σοι χάριτας πολλὰς ἴσμεν, διὰ ταῦτά σου μακαρίζομεν τὴν εὐλάβειαν, ὅτι, πόνον πολὺν καὶ ἱδρῶτα ὑπὲρ τῶν κατὰ τὴν οἰκουμένην Ἐκκλησιῶν ἀναδεχόμενος, μεγίστους ἑαυτῷ παρὰ τῷ φιλανθρώπῳ Θεῷ προαπέθου τοὺς στεφάνους.

Καί σε παρακαλοῦμεν μεῖναι τὸν καλὸν τοῦτον ἀγῶνα ἀγωνιζόμενον· οἶσθα γὰρ τὰ ἐντεῦθεν βραβεῖα. Εἰ γὰρ ἕνα τις ἀδικούμενον καὶ παρανομούμενον ἀνέχων ἄφατον ἔχει παρὰ τοῦ Θεοῦ τὸν μισθόν, ἐννόησον ὅσην αὐτὸς λήψῃ τὴν ἀμοιβήν, Ἐκκλησίας τοσαύτας ταρασσομένας διὰ τῆς καλῆς ταύτης σπουδῆς ἀπαλλάττων μὲν θορύβων καὶ ταραχῆς, εἰς δὲ γαληνὸν λιμένα εἰρήνης ὁρμίσαι ἐσπουδακώς.

ΡΝ'

ΜΑΞΙΜΩι ΕΠΙΣΚΟΠΩι

Ὅταν ἐννοήσω τοὺς πόνους ὑμῶν καὶ τοὺς ἱδρῶτας, τοὺς ἐπὶ μακρῷ χρόνῳ γεγενημένους, οὐ τὴν τυχοῦσαν ἀλλὰ καὶ μεγίστην καρποῦμαι παράκλησιν, ἐφ' οἷς αὐτὸς πέπονθα παρανόμως, τὴν ὑμετέραν ἀγάπην τὴν οὕτω θερμὴν καὶ γνησίαν, τὴν πρόνοιαν τὴν εἰλικρινῆ, τὴν ἀγρυπνίαν τὴν ὑπὲρ τῆς διορθώσεως τῶν γεγενημένων, τὴν ἐπιτεταμένην, μεγίστην ἔχων παραμυθίαν. Καὶ γὰρ οὐχ ἡ τυχοῦσα γέγονέ μοι παραψυχή, τὸ λογίζεσθαι ὅτι, ἐκ τοσούτου καθήμενοι διαστήματος, οὐχ ἑωρακότες ἡμᾶς ποτε, οὐκ ὀφθέντες παρ' ἡμῶν, οὐ λόγων ἡμῖν κοινωνήσαντες, ἀθρόον ὑπὸ τῆς παρανομίας τῶν τολμηθέντων κινηθέντες, τοσαύτην ἐπεδείξασθε περὶ ἡμᾶς ἀγάπην, ὅσην πατέρες περὶ παῖδας, μᾶλλον δὲ καὶ πατέρας ἀπεκρύψατε τῇ τοσαύτῃ κηδεμονίᾳ. Διὰ ταῦτα χάριτας ὑμῶν ἴσμεν τῇ εὐλαβείᾳ, θαυμάζομεν, μακαρίζομεν, παρακαλοῦμεν ὑμᾶς αὐτοὺς τὰ ἑαυτῶν μιμήσασθαι καὶ ἣν ἐξ ἀρχῆς ἐπεδείξασθε προθυμίαν, ταύτην εἰς τέ-

Γιατὶ τῆς ἀγάπης σου ἡ θερμότητα καὶ τοῦ θάρρους καὶ τῆς εὐλάβειάς σου ἡ εὐωδία ἔφθασε μέχρις ἐδῶ σὲ μένα ποὺ διαμένω στὴν ἐσχατιὰ τῆς οἰκουμένης. Γι' αὐτὸ σοῦ ἐκφράζω τὶς εὐχαριστίες μου, γι' αὐτὸ μακαρίζω τὴν εὐλάβειά σου, ἐπειδή, ἀναλαμβάνοντας κόπο καὶ ἱδρώτα πολὺ γιὰ τὶς Ἐκκλησίες τῆς οἰκουμένης, ἐξασφάλισες μεγάλα ἀπὸ τὸν φιλάνθρωπο Θεὸ στεφάνια.

Σὲ παρακαλῶ λοιπὸν νὰ ἐξακολουθήσεις νὰ ἀγωνίζεσαι τὸν καλὸν αὐτὸν ἀγώνα, γιατὶ γνωρίζεις τὰ βραβεῖα ποὺ ἀπορρέουν ἀπὸ αὐτόν. Γιατί, ἐὰν κανεὶς δέχεται ἀπερίγραπτο μισθὸ ἀπὸ τὸ Θεὸ ὅταν σώσει ἔστω καὶ ἕναν ποὺ ἀδικεῖται καὶ ὑφίσταται κακὴ μεταχείριση[1], σκέψου πόση ἀμοιβὴ θὰ λάβεις ἐσύ, ποὺ μὲ τὴν καλή σου προθυμία τόσες Ἐκκλησίες ποὺ συνταράσσονταν τὶς ἀπάλλαξες ἀπὸ τὶς ἐξεγέρσεις καὶ τὶς ταραχὲς καὶ φρόντισες νὰ ἀράξουν σὲ γαλήνιο λιμάνι εἰρήνης.

150

ΣΤΟΝ ΕΠΙΣΚΟΠΟ ΜΑΞΙΜΟ

Ὅταν σκεφθῶ τοὺς κόπους καὶ τοὺς μόχθους σου ποὺ γιὰ πολὺ χρονικὸ διάστημα κατέβαλες, ἀνακουφίζομαι ἀφάνταστα γιὰ ὅσα ἔπαθα καὶ ὁ ἴδιος ἄδικα, ἔχοντας παρηγοριὰ μεγάλη τὴ δική σου ἀγάπη, τὴν τόσο θερμὴ καὶ γνήσια, τὴ φροντίδα τὴν εἰλικρινῆ καὶ τὴν παρατεταμένη ἀγρυπνία σου γιὰ τὴ διόρθωση τῶν ὅσων ἔγιναν. Γιατὶ πράγματι δὲν ἦταν γιὰ μένα τυχαία ἀνακούφιση ἡ σκέψη ὅτι, ἐνῶ βρίσκεσαι σὲ τόση ἀπόσταση καὶ δὲν μὲ εἶδες ποτέ, οὔτε ἔχεις ἰδωθεῖ ἀπὸ μένα, ἀλλὰ οὔτε ἀντάλλαξες λόγια μαζί μου, ἐντελῶς αὐθόρμητα, παρακινούμενος ἀπὸ τὴν παρανομία τῶν ὅσων ἐπιχειρήθηκαν, ἔδειξες τόση ἀγάπη γιὰ μένα, ὅση δείχνουν οἱ πατέρες γιὰ τὰ παιδιά τους, ἢ μᾶλλον ἐπισκίασες καὶ τοὺς πατέρες μὲ τὴν τόση φροντίδα σου. Γι' αὐτὸ ὀφείλω χάριτες στὴν εὐλάβειά σου, σὲ θαυμάζω, σὲ μακαρίζω καὶ σὲ παρακαλῶ, μιμούμενος τὸν ἴδιο τὸν ἑαυτό σου, τὴν προθυμία ποὺ ἔδειξες ἀπὸ τὴν ἀρχή, νὰ τὴ συνεχί-

1. Πρβλ. *Ἰακ.* 5,20· «ὁ ἐπιστρέψας ἁμαρτωλὸν ἐκ πλάνης ὁδοῦ αὐτοῦ σώσει ψυχὴν ἐκ θανάτου καὶ καλύψει πλῆθος ἁμαρτιῶν».

λος ἀγαγεῖν. Κἂν γὰρ μηδὲν γίνηται πλέον εἰς διόρθωσιν τῶν γεγενημένων, οὐ μικρὰ παράκλησις ἡμῖν, ὅπερ ἔφθην εἰπών, τοσαύτης ἀπολελαυκόσι καὶ ἀπολαύουσι παρὰ τῆς τιμιότητος τῆς ὑμετέρας ἀγάπης.

ΡΝΑ'

ΑΣΕΛΛΩι ΕΠΙΣΚΟΠΩι

Οἶδα μὲν ὅτι οὐδὲν ὑμῖν δεῖ γραμμάτων εἰς τὸ διαναστῆναι καὶ ἀντιλαβέσθαι τῆς διορθώσεως τῶν τὰς Ἐκκλησίας τῆς Ἀνατολῆς κατειληφότων κακῶν. Καὶ τοῦτο δι' ὧν πεποιήκατε ἐπεδείξασθε, αὐτοπαράκλητοι τοσαύτην παρασχόντες σπουδήν. Ἀλλ' ἐπειδὴ τὰ κακὰ ἔτι μένει ἀδιόρθωτα, διὰ τὴν ἄνοιαν τῶν τοσαῦτα παρανομησάντων, ἀναγκαῖον εἶναι ἐνομίσαμεν παρακαλέσαι ὑμῶν τὴν εὐλάβειαν, ὥστε μὴ ἀποκαμεῖν μηδὲ περικακῆσαι, ἀλλ' ἀκμαζούσῃ χρήσασθαι τῇ προθυμίᾳ καὶ τὰ παρ' ἑαυτῶν πάλιν ἅπαντα εἰσενεγκεῖν. Ὅσῳ γὰρ ἂν ἀνίατα νοσῶσιν οἱ πρὸς τὴν τῶν Ἐκκλησιῶν κατάστασιν στασιάζοντες, τοσούτῳ κἀκείνων πλέον ἔσται τὸ κρῖμα, καὶ ὑμῖν τοῖς μὴ ἀποκάμνουσι λαμπρότερος ὁ μισθὸς καὶ μείζους οἱ στέφανοι.

ΡΝΒ'

ΕΠΙΣΚΟΠΟΙΣ

Καὶ ἰδίᾳ ἑκάστῳ καὶ κοινῇ πᾶσιν ὑμῖν ὀφείλομεν χάριτας, οὐχ ἡμεῖς δὲ μόνον, ἀλλὰ καὶ πάντες οἱ κατὰ τὴν Ἀνατολὴν ἐπίσκοποι, κληρικοὶ διαφόρων πόλεων, λαοὶ ποικίλως ἐλαυνόμενοι, ὅτι, πατρικὰ σπλάγχνα ἐπιδειξάμενοι, συνηλγήσατε, ἔστητε γενναίως, τὰ παρ' ὑμῶν αὐτῶν πάντα εἰσηνέγκατε. Διὰ ταῦτα πάντες ὑμᾶς ἀνακηρύτ-

1. Οἱ ἐπιστολὲς 152, 153, 154 καὶ 156 ἀποτελοῦν εὐχαριστήριες ἐγκύκλιες πρὸς τοὺς ἐπισκόπους τοῦ θρόνου τῆς Κωνσταντινουπόλεως μᾶλλον, οἱ ὁποῖοι τοῦ ἔμειναν πιστοὶ καὶ ἔκαναν ὅ,τι μποροῦσαν γιὰ νὰ ἀποσοβήσουν τὸ κακό. Μαζὶ ὅμως

σεις μέχρι τὸ τέλος. Γιατί, καὶ ἂν ἀκόμα δὲν γίνεται τίποτε πιὰ γιὰ τὴ διόρθωση τῶν ὅσων ἔγιναν, δὲν εἶναι μικρὴ παρηγοριὰ γιὰ μένα πού, ὅπως ἤδη εἶπα, δοκίμασα καὶ δοκιμάζω τόσο μεγάλη ἀγάπη ἀπὸ τὴν ἐντιμότητά σου.

151

ΣΤΟΝ ΕΠΙΣΚΟΠΟ ΑΣΕΛΛΟ

Γνωρίζω βέβαια ὅτι σεῖς δὲν ἔχετε ἀνάγκη ἀπὸ γράμματα γιὰ νὰ ξεσηκωθεῖτε καὶ νὰ βοηθήσετε στὴν ἀποκατάσταση τῶν δεινῶν ποὺ κατέλαβαν τὶς Ἐκκλησίες τῆς Ἀνατολῆς. Καὶ αὐτὸ τὸ γνωρίζω ἀπὸ ὅσα κάνατε καὶ δείξατε, μὲ τὸ νὰ καταβάλετε τόση προσπάθεια χωρὶς νὰ παρακληθεῖτε ἀπὸ κανέναν. Ὅμως, ἐπειδὴ τὰ κακὰ ἐξακολουθοῦν νὰ μένουν ἀδιόρθωτα, ἐξαιτίας τῆς μωρίας αὐτῶν ποὺ προέβησαν στὶς τόσες παρανομίες, θεώρησα πὼς εἶναι ἀνάγκη νὰ παρακαλέσω τὴν εὐλάβειά σας νὰ μὴ ἀποκάμετε, οὔτε νὰ ἀπογητευθεῖτε, ἀλλὰ νὰ συνεισφέρετε καὶ πάλι μὲ ἀκμαία διάθεση ὅλα ὅσα μπορεῖτε. Γιατὶ ὅσο ἀθεράπευτα πάσχουν αὐτοὶ ποὺ ἀντιστέκονται στὴν ἀποκατάσταση τῆς γαλήνης στὶς Ἐκκλησίες, τόσο μεγαλύτερο θὰ εἶναι καὶ τὸ κρίμα τους, ἐνῶ σὲ σᾶς ποὺ δὲν ἀποκάμνετε, λαμπρότερος ὁ μισθὸς καὶ μεγαλύτερα τὰ στεφάνια τῆς δόξας.

152

ΣΤΟΥΣ ΕΠΙΣΚΟΠΟΥΣ[1]

Καὶ χωριστὰ στὸν καθένα ἀλλὰ καὶ σ' ὅλους ἐσᾶς μαζὶ ὀφείλω εὐγνωμοσύνη, ὄχι μόνο ἐγώ, ἀλλὰ καὶ ὅλοι οἱ ἐπίσκοποι τῆς Ἀνατολῆς, οἱ κληρικοὶ διαφόρων πόλεων καὶ οἱ λαοὶ ποὺ κατὰ ποικίλο τρόπο διώκονται, ἐπειδὴ δείξατε πατρικὴ στοργή, πονέσατε μαζί μας, κρατήσατε στάση γενναία, καὶ προσφέρατε ὅλα ὅσα ἐξαρτῶνταν ἀπὸ σᾶς. Γι' αὐτὸ καὶ ὅλοι σᾶς ἀνακηρύττουν, σᾶς στεφανώ-

μὲ τὶς εὐχαριστίες καὶ τὴν ἀγάπη του, τοὺς παρακαλεῖ νὰ συνεχίσουν τὸν ἀγῶνα καὶ τὴν ἐπαγρύπνησή τους μὲ ἀδιάπτωτο ἐνδιαφέρον καὶ διάθεση, γιὰ νὰ περιορσθοῦν τὰ δεινὰ ποὺ βρῆκαν τὴν Ἐκκλησία.

τουσι, στεφανοῦσιν, ἐπὶ στόματος φέρουσιν ὑμῶν τὰ κατορθώματα. Εἰ δὲ παρὰ ἀνθρώπων τοιαῦται αἱ τιμαί, ἐννοήσατε παρὰ τοῦ φιλανθρώπου Θεοῦ πόσαι ὑμῖν αἱ ἀντιδόσεις.

Ταῦτ' οὖν εἰδότες, τιμιώτατοι δέσποταί μου καὶ εὐλαβέστατοι, κἂν οἱ θορυβοῦντες τὰς Ἐκκλησιάς ἀνίατα νοσῶσι, μὴ παύσησθε τὴν παρ' ὑμῶν αὐτῶν εἰσφέροντες θεραπείαν. Ὅσῳ γὰρ ἂν πλείονα τὰ κωλύματα ᾖ καὶ πλείων ἡ δυσκολία, τοσούτῳ καὶ μείζων ὑμῖν ὁ μισθός. Εἰ γὰρ ποτόν τις ψυχρὸν ἐπιδοὺς οὐκ ἄμισθον ἕξει τὴν βραχεῖαν φιλοφροσύνην, οἱ τοσαῦτα καὶ ποιῆσαι καὶ παθεῖν ἑλόμενοι ὑπὲρ Ἐκκλησιῶν ταρασσομένων, ἐννοήσατε ἡλίκην λήψεσθε τὴν ἀμοιβὴν καὶ πόσα ὑμᾶς ἀναμένει τῶν καλῶν πόνων τὰ βραβεῖα.

ΡΝΓ'

ΤΟΙΣ ΑΥΤΟΙΣ

Οὐ διαλιμπάνομεν χάριν ὑμῖν ὁμολογοῦντες διηνεκῶς. Εἰ γὰρ καὶ πολλὰ παρανενομήμεθα παρὰ τῶν ἐχθρῶν, ἀλλ' ὅμως πολλῆς παρ' ὑμῶν ἀπηλαύσαμεν τῆς συμμαχίας, δαψιλοῦς τῆς ἀγάπης, γνησίας φιλοφροσύνης, θερμοτάτης σπουδῆς· καὶ ταῦτα οὐ μικρὰν παράκλησιν καὶ τῆς χαλεπωτάτης ἐξορίας, ἐν ᾗ κατεχόμεθα, καὶ τῶν ἄλλων τῶν ἐπενεχθέντων ἡμῖν δεινῶν, ἔχομεν. Διὸ παρακαλοῦμεν ὑμῶν τὴν εὐλάβειαν ἐπιμεῖναι τὴν αὐτὴν περὶ ἡμᾶς ἐπιδεικνυμένους διάθεσίν τε καὶ σπουδήν. Οὐδὲ γὰρ εἰς ἡμᾶς στήσεται τὸ γινόμενον μόνον, ἀλλὰ καὶ εἰς τὸ κοινὸν τῶν Ἐκκλησιῶν διαβήσεται. Οὐ γὰρ μία καὶ δύο καὶ τρεῖς πόλεις, ἀλλ' ὁλόκληρα ἔθνη πανταχοῦ τῆς γῆς ταράττεται. Καὶ τοσαύτην παρ' ὑμῶν ἐπιδειχθῆναι δίκαιον σπουδήν, ὅσην εἰκὸς ὑπὲρ τοσούτων ψυχῶν ἐσπουδακότας καὶ κάμνοντας ἐπιδείξασθαι. Εἰ δὲ πολλὰ πεπονήκατε καὶ τὰ παρ' ἑαυτῶν εἰσηνέγκατε, ἴσμεν τοῦτο καὶ ἡμεῖς καὶ εὐχαριστοῦντες ὑμῖν οὐ παυόμεθα, ἀξιοῦμεν δὲ μὴ διαλιπεῖν τοῦτο ποιοῦντας. Ἡ γὰρ καρτερία ὑμῶν καὶ ὑπομονὴ καὶ ἡ εὔτονος γνώμη δυνήσεται καὶ τοὺς σφόδρα φιλονείκως διακειμένους καὶ ἀνίατα νοσοῦντας ἀπο-

---

2. Πρβλ. *Ματθ.* 10,42 καὶ *Μάρκ.* 9,41.

νουν, ἔχουν στὸ στόμα τους τὰ κατορθώματά σας. Καὶ ἂν ἀπὸ τοὺς ἀνθρώπους σᾶς ἀπονέμονται τέτοιες τιμές, σκεφθεῖτε πόσες θὰ εἶναι οἱ ἀνταποδόσεις ἀπὸ τὸν φιλάνθρωπο Θεό.

Γνωρίζοντας λοιπὸν αὐτά, ἐντιμότατοι καὶ εὐλαβέστατοι δεσπότες μου, ἔστω καὶ ἂν πάσχουν ἀθεράπευτα ὅσοι ταράσσουν τὶς Ἐκκλησίες, νὰ μὴ παύσετε νὰ συνεισφέρετε ὅ,τι ἐξαρτᾶται ἀπὸ σᾶς γιὰ τὴ θεραπεία τοῦ κακοῦ. Γιατὶ ὅσο περισσότερα εἶναι τὰ ἐμπόδια καὶ μεγαλύτερη ἡ δυσκολία, τόσο μεγαλύτερος θὰ εἶναι καὶ γιὰ σᾶς ὁ μισθός. Γιατί, ἐάν, ὅποιος δίνει δροσερὸ νερό, δὲν θὰ μείνει χωρὶς νὰ ἀνταμειφθεῖ γιὰ τὴ μηδαμινή του φιλοφροσύνη[2], σεῖς ποὺ προτιμήσατε νὰ κάνετε τόσα καὶ νὰ πάθετε γιὰ τὶς Ἐκκλησίες ποὺ συνταράσσονται, σκεφθεῖτε πόσο μεγάλη ἀμοιβὴ θὰ λάβετε καὶ πόσα βραβεῖα σᾶς ἀναμένουν γιὰ τοὺς καλούς σας πόνους.

153

ΣΤΟΥΣ ΙΔΙΟΥΣ

Δὲν παύω νὰ σᾶς εὐγνωμονῶ παντοτινά. Γιατί, ἂν καὶ ἀδικήθηκα πολὺ ἀπὸ τοὺς ἐχθρούς, ὅμως εἶχα ἀπὸ σᾶς πολλὴ βοήθεια, πλούσια ἀγάπη, γνήσια φιλικὴ διάθεση, πολὺ θερμὸ ἐνδιαφέρον· καὶ ὅλα αὐτὰ τὰ ἔχω πολὺ μεγάλη παρηγοριὰ στὴ φρικτὴ ἐξορία ποὺ βρίσκομαι καὶ σ' ὅλα τὰ ἄλλα δεινὰ ποὺ ἀκολούθησαν. Γι' αὐτὸ παρακαλῶ τὴν εὐλάβειά σας νὰ ἐξακολουθήσετε νὰ δείχνετε τὴν ἴδια διάθεση καὶ φροντίδα. Καθόσον αὐτὸ ποὺ γίνεται δὲ θὰ περιορισθεῖ μόνο σὲ μένα, ἀλλὰ θὰ ἁπλωθεῖ σ' ὅλες τὶς Ἐκκλησίες. Γιατὶ δὲν εἶναι μία καὶ δύο καὶ τρεῖς πόλεις, ἀλλὰ ὁλόκληρα ἔθνη παντοῦ στὴ γῆ ποὺ συνταράσσονται. Καὶ εἶναι δίκαιο νὰ δείξετε τόση φροντίδα, ὅση, ὅπως ἦταν φυσικό, φροντίσατε καὶ κουραστήκατε νὰ δείξετε γιὰ τόσες ψυχές. Ἐὰν λοιπὸν κοπιάσατε πολὺ καὶ προσφέρατε ὅ,τι ἐξαρτῶνταν ἀπὸ σᾶς, αὐτὸ τὸ γνωρίζω καὶ ἐγὼ καὶ δὲν παύω νὰ σᾶς εὐχαριστῶ, ἔχω ὅμως τὴν ἀξίωση νὰ μὴ πάψετε νὰ τὸ κάνετε. Γιατὶ ἡ καρτερία καὶ ὑπομονή σας καὶ ἡ ἰσχυρὴ γνώμη σας θὰ μπορέσει καὶ αὐτούς, ποὺ διάκεινται ἀπέναντί σας μὲ πολὺ φιλόνικη διάθεση καὶ εἶναι ἀθεράπευτα ἄρρωστοι, νὰ τοὺς ἀποσπάσει

στῆσαι τῆς κατεχούσης αὐτοὺς νυνὶ παραφροσύνης. Εἰ δὲ ἐπιμένοιεν καὶ οὕτως ἀνιάτως ἔχοντες, ἀλλ' ὑμῖν ἀπηρτισμένος ὁ μισθὸς ἔσται καὶ πλήθη τὰ τῆς ἀμοιβῆς καὶ ὁλόκληρος τῶν καλῶν τούτων ὁ στέφανος.

ΡΝΔ'

ΤΟΙΣ ΑΥΤΟΙΣ

Ἡμεῖς μὲν ἐποθοῦμεν καὶ ταῖς τοῦ σώματος ὄψεσιν ὑμᾶς θεάσασθαι, ἐπειδὴ δὲ τοῦτο οὐκ ἔνι, τῷ τῆς ἐξορίας δεσμῷ κατεχομένων ἡμῶν, τοῖς ὀφθαλμοῖς τῆς ἀγάπης ὑμᾶς καθ' ἑκάστην φανταζόμεθα τὴν ἡμέραν καὶ περιπτυσσόμεθα καὶ κροτοῦντες καὶ θαυμάζοντες οὐ διαλιμπάνομεν, ὅτι τοσαύτην προθυμίαν καὶ σπουδὴν ἐξ ἀρχῆς μέχρι νῦν μεμενήκατε ἐπιδεικνύμενοι ὑπὲρ τῶν τῆς Ἀνατολῆς Ἐκκλησιῶν, καὶ παρακαλοῦμεν ἄξιον τῶν προοιμίων ἐπιδείξασθαι τὸ τέλος. Εἰ γὰρ οἱ πάντα ταράξαντες καὶ θορύβων ἐμπλήσαντες τοσαύτῃ κέχρηνται τῇ φιλονεικίᾳ, πολλῷ μᾶλλον ὑμᾶς, τοὺς τὰ κακῶς γεγενημένα διορθοῦν ἐσπουδακότας, πολλῇ δίκαιον κεχρῆσθαι τῇ ὑπομονῇ καὶ καρτερίᾳ τῇ περὶ τὴν τοιαύτην σπουδήν. Οὕτω γὰρ πλείων ὑμῖν ἔσται ὁ μισθὸς καὶ μείζων ἡ ἀμοιβή, ὅταν, καὶ πολλῶν κωλυμάτων γινομένων, μὴ ἀνακρούησθε, ἀλλὰ μένητε τὴν τῶν πραγμάτων δυσκολίαν τῇ παρ' ἑαυτῶν ἀποτειχίζοντες ἀγρυπνίᾳ τε καὶ σπουδῇ.

ΡΝΕ'

ΧΡΩΜΑΤΙΩι ΕΠΙΣΚΟΠΩι ΑΚΗΛΗΙΑΣ

Ἤχησε καὶ μέχρις ἡμῶν ἡ μεγαλόφωνος τῆς θερμῆς σου καὶ γνησίας ἀγάπης σάλπιγξ, μέγα τι καὶ διωλύγιον ἐκ τοσούτου πνεύσασα τοῦ διαστήματος καὶ πρὸς αὐτὰ ἀφικομένη τῆς γῆς τὰ πέρατα. Καὶ τῶν παρόντων οὐκ ἔλαττον ἴσμεν ἡμεῖς οἱ τοσοῦτον ἀπῳκισμένοι μῆκος ὁδοῦ, τὴν σφοδροτάτην σου καὶ πυρὸς γέμουσαν ἀγάπην, τὴν εἰλικρινῆ καὶ ἐλευθερίας πολλῆς καὶ παρρησίας ἐμπεπλησμένην

ἀπὸ τὴν παραφροσύνη ποὺ τώρα τοὺς διακατέχει. Ἀλλὰ καὶ ἂν ἀκόμα ἐξακολουθήσουν νὰ μένουν ἀθεράπευτοι, ὁ μισθὸς ὁ δικός σας θὰ εἶναι ἐξασφαλισμένος καὶ ἡ ἀμοιβὴ πλήρης καὶ τὸ στεφάνι γιὰ τὰ καλά σας αὐτὰ θὰ εἶναι ὁλόκληρο.

154

ΣΤΟΥΣ ΙΔΙΟΥΣ

Ἐγὼ βέβαια ποθοῦσα νὰ σᾶς δῶ καὶ αὐτοπροσώπως, ἀλλὰ ἐπειδὴ αὐτὸ δὲν εἶναι δυνατό, ἀφοῦ δεσμεύομαι ἀπὸ τὰ δεσμὰ τῆς ἐξορίας, σᾶς φαντάζομαι κάθε μέρα μὲ τὰ μάτια τῆς ἀγάπης καὶ σᾶς ἀγκαλιάζω καὶ δὲν παραλείπω νὰ σᾶς χειροκροτῶ καὶ νὰ σᾶς θαυμάζω, ἐπειδὴ ἐξακολουθεῖτε ἀπὸ τὴν ἀρχὴ μέχρι τώρα νὰ δείχνετε γιὰ τὶς Ἐκκλησίες τῆς Ἀνατολῆς τόση προθυμία καὶ διάθεση. Σᾶς παρακαλῶ ὅμως νὰ δείξετε καὶ τὸ τέλος ἀντάξιο πρὸς τὴν ἀρχή. Γιατί, ἂν αὐτοὶ ποὺ διατάραξαν τὰ πάντα καὶ τὰ γέμισαν ἀνησυχίες δείχνουν τόση ἅμιλλα, πολὺ περισσότερο σεῖς ποὺ προσπαθεῖτε νὰ διορθώσετε τὰ κακῶς γενόμενα εἶναι δίκαιο νὰ δείξετε πολλὴ ὑπομονὴ καὶ καρτερία στὴν προσπάθειά σας αὐτή. Γιατὶ ἔτσι θὰ εἶναι περισσότερος καὶ ὁ μισθός σας καὶ μεγαλύτερη ἡ ἀμοιβή, ὅταν, ἐνῶ ὑπάρχουν πολλὰ ἐμπόδια, δὲ μεταβάλλετε στάση, ἀλλὰ ἐπιμένετε ἀντιμετωπίζοντας τὴ δυσκολία τῆς καταστάσεως μὲ τὴν ἐκ μέρους σας ἐπαγρύπνηση καὶ μέριμνα.

155

ΣΤΟΝ ΕΠΙΣΚΟΠΟ ΑΚΥΛΗΪΑΣ ΧΡΩΜΑΤΙΟ

Μέχρι καὶ σὲ μένα ἀκούστηκε ἡ μεγαλόφωνη σάλπιγγα τῆς γνήσιας ἀγάπης σου, ἠχώντας δυνατὰ καὶ διαπεραστικὰ ἀπὸ τόση ἀπόσταση καὶ φτάνοντας μέχρι τὰ πέρατα τῆς γῆς. Ἔτσι καὶ ἐγὼ ποὺ εἶμαι τόσο μακριὰ ἐξορισμένος, γνωρίζω ὄχι λιγότερο ἀπὸ τοὺς παρόντες τὴ δυνατὴ καὶ γεμάτη φλόγα ἀγάπη σου, τὴ εἰλικρινῆ καὶ γεμάτη ἀπὸ πολλὴ ἐλευθερία καὶ θάρρος γλώσσα σου καὶ τὴ

γλῶτταν, τὴν ἔνστασιν τὴν ἀδάμαντα μιμουμένην. Διὸ καὶ σφόδρα ἐπιθυμοῦμεν καὶ τῆς κατὰ πρόσωπον ἀπολαῦσαί σου συντυχίας. Ἀλλ' ἐπειδὴ καὶ τοῦτο ἡμᾶς ἡ ἐρημία αὕτη παρείλετο, ᾗ νῦν ἐσμεν πεπεδημένοι, εὑρόντες τὸν κύριόν μου τιμιώτατον καὶ εὐλαβέστατον πρεσβύτερον, καθὼς ἔνι, τὴν ἐπιθυμίαν πληροῦμεν τὴν ἑαυτῶν, γράφοντες καὶ προσαγορεύοντες, χάριτας ὁμολογοῦντες ὑμῖν πολλὰς ὑπὲρ τῆς σπουδῆς, ἣν διὰ παντὸς τοῦ μακροῦ τούτου χρόνου μετὰ πολλῆς ἐπεδείξασθε τῆς εὐτονίας. Καὶ παρακαλοῦμεν ἡνίκα ἂν ἐπανίῃ, καὶ τούτου χωρίς, διὰ τῶν ἐμπιπτόντων γραμματηφόρων, εἴ γέ τινες εὑρεθεῖεν οἱ πρὸς τὴν ἐρημίαν ταύτην ἀφικνούμενοι, τὰ περὶ τῆς ὑγείας ἡμῖν ἐπιστέλλειν τῆς ὑμετέρας. Οἶσθα γαρ ὅσην ἐντεῦθεν καρπωσόμεθα τὴν ἡδονήν, τῶν οὕτω θερμῶς περὶ ἡμᾶς διακειμένων τὴν ὑγείαν πυκνοτέρως εὐαγγελιζόμενοι.

PNS'

ΕΠΙΣΚΟΠΟΙΣ

Βοᾷ μὲν πανταχοῦ καὶ αὐτὴ τῶν πραγμάτων ἡ φύσις, σάλπιγγος λαμπροτέραν ἀφιεῖσα φωνήν, τὸν κάλλιστον ὑμῶν ζῆλον καὶ τὴν ὑπὲρ τῆς ἀληθείας προθυμίαν, ἣν οὐχ ὁδοῦ μῆκος, οὐ χρόνου πλῆθος, οὐ τῶν ἀνίατα νοσούντων ἡ παράλογος φιλονεικία, οὐκ ἄλλο τῶν τοιούτων οὐδὲν κατέλυσεν οὐδὲν ἀμαυροτέραν ἐποίησε. Καὶ ἡμεῖς δὲ οὐ διαλιμπάνομεν πολλὰς ὑμῖν ἔχοντες χάριτας καὶ μακαρίζοντες ὑμᾶς οὐ παυόμεθα, τῶν ἐπὶ τοῖς καλοῖς τούτοις ἀγῶσιν ἀποκειμένων ὑμῖν στεφάνων παρὰ τοῦ φιλανθρώπου Θεοῦ. Καὶ ἐπιθυμοῦμεν ὑμᾶς καὶ κατ' ὄψιν ἰδεῖν.

Ἐπειδὴ δὲ τοῦτο οὐκ ἔνι δυνατὸν τῷ τῆς ἐξορίας δεσμῷ πεπεδημένοις, ἐπιλαβόμενοι τοῦ κυρίου μου τοῦ τιμιωτάτου καὶ εὐλαβεστάτου πρεσβυτέρου, δι' αὐτοῦ γράφομεν καὶ τὴν ὀφειλομένην πρόσρησιν ἀποδιδόαμεν ὑμῖν, δηλοῦντες ὡς ἅπασαν ἀνηρτήσασθε

1. Ἡ ἐπιστολὴ αὐτή, καθὼς καὶ οἱ ἑπόμενες ἕνδεκα (156–167), ἀναφέρουν ὡς κομιστή τους κάποιον ἐντιμότατο καὶ εὐλαβέστατο πρεσβύτερο, τοῦ ὁποίου ὅμως δὲν μᾶς δίνουν τὸ ὄνομα. Ἐὰν εἶναι τὸ ἴδιο πρόσωπο, τότε θὰ πρέπει μᾶλλον νὰ ὑποθέσουμε ὅτι ὅλες στάλθηκαν τὴν ἴδια μέρα. Δὲν ἀποκλείεται ὅμως νὰ γράφτηκαν

σκληρὴ σὰν διαμάντι ἀντίστασή σου. Γι' αὐτὸ καὶ ἐπιθυμῶ πολὺ νὰ ἀπολαύσω καὶ τὴν αὐτοπρόσωπή σου συνάντηση. Ἐπειδὴ ὅμως καὶ αὐτὸ μᾶς τὸ στέρησε ἡ ἐρημιὰ στὴν ὁποία εἶμαι δέσμιος, βρίσκοντας τὸν κύριό μου, τὸν ἐντιμότατο καὶ εὐλαβέστατο πρεσβύτερο[1], ἐκπληρώνω τὴν ἐπιθυμία μου ὅπως μπορῶ, γράφοντας, χαιρετώντας καὶ ἐκφράζοντας σὲ σένα τὴ μεγάλη εὐγνωμοσύνη μου γιὰ τὴ φροντίδα ποὺ μὲ ζωηρὸ ἐνδιαφέρον ἔδειξες ὅλο αὐτὸ τὸ μακρὸ χρονικὸ διάστημα. Σὲ παρακαλῶ ὅμως ὅταν θὰ ἐπιστρέφει, ἢ καὶ χωρὶς αὐτὸν μὲ τοὺς γραμματοκομιστὲς ποὺ παρεμπιπτόντως θὰ ἐπιτύχεις, ἐὰν βέβαια βρεθοῦν κάποιοι ποὺ θὰ ἔρχονται πρὸς αὐτὴν ἐδῶ τὴν ἐρημιά, νὰ μοῦ γράφεις γιὰ τὴν ὑγεία σου. Γιατὶ γνωρίζεις πόση εὐχαρίστηση μοῦ προξενεῖ αὐτό, τὸ νὰ μαθαίνω ὅσο γίνεται συχνότερα γιὰ τὴν ὑγεία αὐτῶν ποὺ τόσο θερμὰ διάκεινται πρὸς ἐμένα.

156

ΣΤΟΥΣ ΕΠΙΣΚΟΠΟΥΣ

Φωνάζει βέβαια παντοῦ ἡ ἴδια ἡ φύση τῶν πραγμάτων, ἐκπέμποντας πιὸ διαπεραστικὴ καὶ ἀπὸ τὴ σάλπιγγα φωνή, τὸν τόσο ὡραῖο ζῆλο σας καὶ τὴν προθυμία γιὰ τὴν ἀλήθεια, τὴν ὁποία οὔτε ἡ ἀπόσταση τοῦ δρόμου, οὔτε ὁ πολὺς χρόνος, οὔτε ὁ παράλογος ἀνταγωνισμὸς αὐτῶν ποὺ εἶναι ἀθεράπευτα ἄρρωστοι, οὔτε τίποτε ἄλλο ἀπὸ αὐτὰ μπόρεσε νὰ καταλύσει ἢ νὰ τὴν κάνει νὰ ἀτονήσει. Ἀλλὰ καὶ ἐγὼ δὲν παραλείπω νὰ σᾶς εὐγνωμονῶ πολύ, οὔτε παύω νὰ σᾶς μακαρίζω γιὰ τὰ στεφάνια ποὺ ἔχουν ἑτοιμασθεῖ γιὰ σᾶς ἀπὸ τὸν φιλάνθρωπο Θεὸ σὰν ἐπιβράβευση τῶν καλῶν αὐτῶν ἀγώνων σας, καὶ ἐπιθυμῶ νὰ σᾶς δῶ καὶ προσωπικά.

Ἐπειδὴ ὅμως αὐτὸ δὲν εἶναι δυνατό, λόγω τοῦ ὅτι εἶμαι δεμένος μὲ τὶς χειροπέδες τῆς ἐξορίας, ἐπωφελούμενος τοῦ κυρίου μου, τοῦ ἐντιμοτάτου καὶ εὐλαβεστάτου πρεσβυτέρου, σᾶς γράφω μέσω αὐτοῦ καὶ σᾶς ἀποδίδω τὸν ὀφειλόμενο χαιρετισμὸ δηλώνοντας,

---

ἔτσι ἀόριστα (χωρὶς ἀναφορὰ τοῦ κομιστοῦ) μὲ σκοπὸ νὰ δοθοῦν σὲ ὅποιον πρεσβύτερο θὰ συνέβαινε νὰ ξεκινήσει ἀπὸ τὴν Κουκουσό.

τῷ πόθῳ τὴν ἀνατολὴν καὶ σφοδροὺς ὑμῶν κατεστήσατε ἐραστὰς καὶ μυρίους ἔχετε τοὺς συναγανακτοῦντας ὑμῖν τὴν δικαίαν ταύτην ἀγανάκτησιν ἐπὶ ταῖς γεγενημέναις παρανομίαις. Καὶ παρακαλοῦμεν τὴν αὐτὴν ἐπιδείξασθαι μέχρι τέλους προθυμίαν. Ἴστε γὰρ ὅσους καρπώσεσθε στεφάνους ἀπὸ τῶν προσκαίρων τούτων πόνων, τὰς ἀθανάτους ὑμῖν μετὰ πολλῆς δαψιλείας προαποτιθέμενοι παρὰ τῷ φιλανθρώπῳ Θεῷ ἀμοιβάς.

ΡΝΖ'

ΕΠΙΣΚΟΠΟΙΣ ΕΛΘΟΥΣΙΝ ΑΠΟ ΤΗΣ ΔΥΣΕΩΣ

Καὶ ἔμπροσθεν μὲν ἐξεπληττόμεθα ὑμῶν τὴν σπουδήν, τὴν προθυμίαν τὴν ὑπὲρ τῆς διορθώσεως τῶν Ἐκκλησιῶν γεγενημένην, τὴν στερρὰν καὶ γνησίαν διάθεσιν, τὴν ἀνδρείαν καὶ ἀπερίτρεπτον γνώμην, τὴν καρτερίαν, ἣν ἐπὶ τοσοῦτον ἐπεδείξασθε χρόνον. Μάλιστα δὲ ἐξεπλάγημεν νῦν τὸν πολὺν ὑμῶν τόνον, οὕτω μακρὰν καὶ διαπόντιον ἀποδημίαν ἑλομένων καὶ πόνων καὶ ἱδρώτων γέμουσαν, ὑπὲρ τῶν ταῖς Ἐκκλησίαις συμφερόντων. Καὶ ἐβουλόμεθα μὲν καὶ ἐπιστέλλειν συνεχῶς καὶ τὴν ὀφειλομένην τῇ εὐλαβείᾳ ὑμῶν ἀποδιδόναι πρόσρησιν. Ἀλλ' ἐπειδὴ τοῦτο οὐκ ἔνι (σχεδὸν γὰρ ἄβατον τοῖς πολλοῖς οἰκοῦμεν χωρίον, ἐρημίᾳ πάντοθεν ἀποτετειχισμένον), νῦν ἐπιλαβόμενοι τοῦ κυρίου μου τοῦ τιμιωτάτου καὶ εὐλαβεστάτου πρεσβυτέρου, προσαγορεύομεν ὑμῶν τὴν ἀγάπην, καὶ παρακαλοῦμεν τοῖς προοιμίοις συμβαῖνον ἐπιθεῖναι τέλος. Ἴστε γὰρ ὅσος ὑμῖν ἔσται τῆς ὑπομονῆς ὁ μισθὸς καὶ ὅσαι παρὰ τοῦ φιλανθρώπου Θεοῦ αἱ ἀντιδόσεις ὑπὲρ τῆς κοινῆς εἰρήνης πονουμένοις καὶ τοσοῦτον ἀναδεχομένοις ἀγῶνα.

---

1. Οἱ ἐπιστολὲς 157, 158, 159, 160, 161, 165, 166 καὶ 167 ἀπευθύνονται πρὸς ἐπισκόπους καὶ πρεσβυτέρους τῆς Δυτικῆς Ἐκκλησίας, ποὺ ἦρθαν στὴν Ἀνατολὴ μὲ σκοπὸ νὰ συμβάλουν στὴ ἐξομάλυνση τῆς καταστάσεως ποὺ δημιουργήθηκε μὲ τὴν ἐπέμβαση τοῦ Θεοφίλου Ἀλεξανδρείας. Μὲ τὶς ἐπιστολὲς αὐτὲς ὁ ἐξόριστος ἀρχιε-

ὅτι κατακτήσατε μὲ τὸν πόθο ὅλη τὴν Ἀνατολὴ καὶ μὲ κάνατε σφοδρὸ θαυμαστή σας καὶ ἔχετε μυριάδες ποὺ ἀγανακτοῦν μαζὶ μὲ σᾶς τὴ δίκαιη ἀγανάκτηση γιὰ τὶς παρανομίες ποὺ ἔχουν γίνει. Καὶ σᾶς παρακαλῶ νὰ δείξετε τὴν ἴδια προθυμία μέχρι τὸ τέλος. Γιατὶ γνωρίζετε πόσα στεφάνια θὰ λάβετε γιὰ τοὺς πρόσκαιρους αὐτοὺς κόπους, ἐξασφαλίζοντας μὲ πολλὴ ἀφθονία τὶς ἀθάνατες ἀμοιβές σας ἀπὸ τὸν φιλάνθρωπο Θεό.

157

ΣΤΟΥΣ ΕΠΙΣΚΟΠΟΥΣ ΠΟΥ ΗΡΘΑΝ ΑΠΟ ΤΗ ΔΥΣΗ[1]

Καὶ προηγουμένως βέβαια ἔνοιωθα ἔκπληξη γιὰ τὸ ἐνδιαφέρον καὶ τὴν προθυμία σας ποὺ δείξατε γιὰ τὴν εἰρήνευση τῶν Ἐκκλησιῶν, τὴ σταθερὴ καὶ γνήσια διάθεση, τὴν ἀνδρεία καὶ τὴν ἀμετάτρεπτη γνώμη καὶ τὴν καρτερία, τὴν ὁποία δείξατε γιὰ τόσο πολὺ χρόνο. Ἔνοιωσα ὅμως ἔκπληξη περισσότερη τώρα ἀπὸ τὴν πολλὴ ἀποφασιστικότητά σας, νὰ ἀναλάβετε μιὰ τόσο μακρὰ καὶ ὑπερπόντια ἀποδημία, γεμάτη κόπους καὶ μόχθους, γιὰ τὰ συμφέροντα τῶν Ἐκκλησιῶν. Θὰ ἤθελα βέβαια νὰ σᾶς γράφω συνεχῶς καὶ νὰ ἀποδίδω στὴν εὐλάβειά σας τὸν ὀφειλόμενο χαιρετισμό, ὅμως, ἐπειδὴ αὐτὸ δὲν εἶναι δυνατὸ (γιατὶ διαμένω σὲ χωριὸ σχεδὸν ἀπλησίαστο στοὺς πολλούς, ἐπειδὴ εἶναι ἀποκλεισμένο ἀπὸ παντοῦ λόγω τῆς ἐρημιᾶς), ἐπωφελούμενος τώρα τοῦ κυρίου μου, τοῦ ἐντιμοτάτου καὶ εὐλαβεστάτου πρεσβυτέρου, χαιρετίζω τὴν ἀγάπη σας καὶ παρακαλῶ σ' αὐτὸ ποὺ ἀρχίσατε νὰ προσθέσετε καὶ ἀνάλογο τέλος. Γιατὶ γνωρίζετε πόση θὰ εἶναι ἡ ἀμοιβὴ τῆς ὑπομονῆς σας καὶ πόση ἡ ἀνταπόδοση ἀπὸ τὸν φιλάνθρωπο Θεὸ σὲ σᾶς ποὺ κουράζεσθε γιὰ τὴν κοινὴ εἰρήνη καὶ ἀναλαμβάνετε τόσο μεγάλο ἀγώνα.

πίσκοπος Κωνσταντινουπόλεως τοὺς εὐχαριστεῖ καὶ τοὺς εὐγνωμονεῖ γιὰ τὸ ἐνδιαφέρον τους καὶ γιὰ τὸ ὅτι ὑποβλήθηκαν στὴν ταλαιπωρία ἑνὸς τόσο μακρινοῦ καὶ ἐπίπονου ταξιδιοῦ, καὶ τοὺς παρακαλεῖ νὰ ἐντείνουν τὶς προσπάθειές τους γιὰ τὴν εἰρήνευση τῶν Ἐκκλησιῶν.

ΡΝΗ'

ΤΟΙΣ ΑΥΤΟΙΣ

Οὐ μικρὰν καὶ ὑμῖν αὐτοῖς στεφάνων ὑπόθεσιν καὶ ἡμῖν παρακλήσεως ἀφορμὴν ἀπὸ τῆς καλλίστης ὑμῶν ταύτης σπουδῆς καὶ τῶν πόνων καὶ τῶν ἱδρώτων κατεσκευάσατε. Διό, καὶ ἐκ τοσούτου καθήμενοι διαστήματος, ἀνακηρύττομεν ὑμᾶς, χάριτας ὁμολογοῦμεν καὶ στεφανοῦμεν καὶ μακαρίζομεν. Καὶ ἐβουλόμεθα μὲν καὶ συνεχέστερον ἐπιστέλλειν· καὶ γὰρ μεγίστην ἐντεῦθεν ἂν ἐκαρπωσάμεθα τὴν παραμυθίαν, εἴ γε τῶν τὰ γράμματα διακομιζόντων ἐπετυγχάνομεν. Ἐπειδὴ δὲ οὐ ῥᾴδιον ἡμῖν τοῦτο πρὸς αὐτὰς τὰς ἐσχατιὰς τῆς οἰκουμένης ἀπῳκισμένοις καὶ οὐδενὸς ἡμῖν ταχέως ἐπιχωριάζειν δυναμένου, νῦν ὅτε ἐπετύχομεν τοῦ κυρίου μου τοῦ τιμιωτάτου καὶ εὐλαβεστάτου πρεσβυτέρου, τὴν ὀφειλομένην ἀποδεδώκαμεν πρόσρησιν, καὶ παρακαλοῦμεν ὑμῶν τὴν εὐλάβειαν, ἐννοοῦντας τοῦ κατορθώματος τὸ μέγεθος, εἰ καὶ πολὺς ὁ παρελθὼν ἀνηλώθη χρόνος καὶ ἐπὶ τὸ χεῖρον τῶν ἐναντιουμένων αὔξεται ἡ φιλονεικία καὶ μένουσι νοσοῦντες ἀνίατα, τὰ γοῦν παρ' ὑμῶν μὴ διαλιπεῖν εἰς διόρθωσιν τῶν γεγενημένων εἰσφέροντας. Ὅσῳ γὰρ πλείων ἡ δυσκολία, τοσούτῳ μείζων καὶ δαψιλεστέρα ἔσται τῶν καλῶν τούτων ἀγώνων ὑμῖν ἡ ἀμοιβὴ παρὰ τοῦ φιλανθρώπου Θεοῦ.

ΡΝΘ'

ΤΟΙΣ ΑΥΤΟΙΣ

Οὐ μικρὰν ἔχομεν παραμυθίαν τῶν κατειληφότων τὰ ἐνταῦθα κακῶν τῆς ὑμετέρας σπουδῆς τὸ μέγεθος. Ἱκανὰ μὲν γὰρ καὶ τὰ ἔμπροσθεν παρ' ὑμῶν γεγενημένα, ἡ ἀγρυπνία καὶ ἡ σπουδὴ καὶ ἡ τοσαύτη φροντίς, πολλὴν ἡμῖν παρασχεῖν τὴν παράκλησιν, ὃ δὲ νῦν προσεθήκατε, τὸ μακρὰν οὕτως ἀποδημίαν στείλασθαι, ὑπὲρ τῶν ταῖς Ἐκκλησίαις συμφερόντων, σφόδρα πάντας ἡμᾶς ἀναπνεῦσαι πεποίηκε, καὶ κοινῇ πάντες ὑμῖν χάριτας ὁμολογοῦμεν πολλὰς ὑπὲρ τῶν τοσούτων πόνων καὶ τῶν ἱδρώτων καὶ τῶν καλῶν τούτων

158

ΣΤΟΥΣ ΙΔΙΟΥΣ

Μὲ τὸ τόσο ὡραῖο ἐνδιαφέρον σας καὶ τοὺς κόπους καὶ τοὺς μόχθους σας καὶ γιὰ σᾶς τοὺς ἴδιους ἑτοιμάσατε ὄχι μικρὴ προϋπόθεση γιὰ στεφάνια, ἀλλὰ καὶ γιὰ μένα ἀφορμὴ παρηγοριᾶς. Γι' αὐτό, ἂν καὶ βρίσκομαι σὲ τόση ἀπόσταση, σᾶς διακηρύσσω, σᾶς εὐγνωμονῶ, σᾶς στεφανώνω καὶ σᾶς μακαρίζω. Καὶ θὰ ἤθελα βέβαια νὰ σᾶς γράφω πιὸ συχνά, γιατὶ θὰ καρπωνόμουν ἀπὸ αὐτὸ πάρα πολὺ μεγάλη ἐνίσχυση, ἐὰν φυσικὰ πετύχαινα ἀνθρώπους νὰ μεταφέρουν τὰ γράμματά μου. Ἐπειδὴ ὅμως δὲν εἶναι εὔκολο αὐτὸ ὄντας ἐξόριστος ἐδῶ στὶς ἐσχατιὲς τῆς οἰκουμένης, ὅπου κανεὶς δὲν μπορεῖ νὰ μᾶς ἐπισκεφθεῖ γρήγορα, τώρα ποὺ πέτυχα τὸν κύριό μου, τὸν ἐντιμότατο καὶ εὐλαβέστατο πρεσβύτερο, τοῦ ἔδωσα τοὺς ὀφειλόμενους χαιρετισμοὺς καὶ παρακαλῶ τὴν εὐλάβειά σας, κατανοώντας τὴ σπουδαιότητα τοῦ πράγματος, ἂν καὶ εἶναι πολὺς ὁ χρόνος ποὺ ἐν τῷ μεταξὺ κύλησε καὶ ἡ φιλονεικία τῶν ἀντιπάλων αὐξήθηκε πρὸς τὸ χειρότερο καὶ ἐξακολουθοῦν νὰ νοσοῦν ἀθεράπευτα, νὰ μὴ παραλείπετε νὰ συνεισφέρετε ὅσα ἐξαρτῶνται ἀπὸ σᾶς στὴν ἀποκατάσταση αὐτῶν ποὺ ἔγιναν. Γιατί, ὅσο περισσότερη εἶναι ἡ δυσκολία, τόσο μεγαλύτερη καὶ πλουσιώτερη θὰ εἶναι ἡ ἀμοιβή σας γιὰ τοὺς καλοὺς αὐτοὺς ἀγῶνες ἀπὸ τὸν φιλάνθρωπο Θεό.

159

ΣΤΟΥΣ ΙΔΙΟΥΣ

Δὲν εἶνια μικρὴ ἀνακούφιση γιὰ τὰ κακὰ ποὺ μὲ βρῆκαν ἐδῶ τὸ μεγάλο ἐνδιαφέρον σας. Ἦταν ὁπωσδήποτε ἀρκετὰ καὶ τὰ ὅσα εἴχατε κάνει προηγουμένως, ἡ ἐπαγρύπνηση καὶ ἡ προθυμία καὶ ἡ τόσο μεγάλη φροντίδα σας, νὰ μοῦ δώσουν πολλὴ παρηγοριά. Αὐτὸ ὅμως ποὺ προσθέσατε τώρα, τὸ νὰ κάνετε τόσο μακρὰ ἀποδημία γιὰ τὰ συμφέροντα τῶν Ἐκκλησιῶν, ἔκανε ὅλους ἐμᾶς νὰ ἀναπνεύσουμε πάρα πολύ. Ἔτσι ὅλοι μαζὶ σᾶς ἐκφράζουμε τὴ μεγάλη εὐγνωμοσύνη μας γιὰ τοὺς τόσους κόπους καὶ μόχθους καὶ γιὰ τοὺς κα-

ἀγώνων, καὶ μακαρίζοντες ὑμᾶς οὐ διαλιμπάνομεν τῆς καλῆς ταύτης προθυμίας τε καὶ σπουδῆς. Διὸ καὶ τὸν κύριόν μου τὸν τιμιώτατον καὶ εὐλαβέστατον πρεσβύτερον παρεκαλέσαμεν δραμεῖν ἕως ὑμῶν.

Δεξάμενοι τοίνυν αὐτὸν μετὰ τῆς ὑμῖν πρεπούσης φιλοφροσύνης, ἄξιον τοῖς προοιμίοις τὸ τέλος ἐπιθεῖναι παρακλήθητε. Εἰ γὰρ καὶ ἀνίατα νοσοῦσι τέως οἱ τοσούτους χειμῶνας καὶ ταλανίζειν μὲν ἐκείνους καὶ δακρύειν χρή, ὑμᾶς δὲ ἐκπλήττεσθαι καὶ ἀνακηρύττειν. ὅτι, καὶ τῶν κακῶν αὐτξομένων, μείζονα ἀεὶ προϊόντες τὴν ὑπὲρ τοῦ τὰ τοιαῦτα διορθῶσαι σπουδὴν ἐπιδείκνυσθε.

ΡΞ'

ΕΠΙΣΚΟΠΩι ΕΛΘΟΝΤΙ ΑΠΟ ΔΥΣΕΩΣ

Ὅταν ἐννοήσω τὸν ἱδρῶτα, ὃν ἵδρωσας, καὶ οἴκοι καθήμενος καὶ μακρὰν οὕτω καὶ διαπόντιον ἀποδημίαν στειλάμενος, ὑπὲρ τῶν ταῖς Ἐκκλησίαις συμφερόντων πραγμάτων, καὶ πρὸ τοῦ τέλους σε στεφανῶν καὶ ἀνακηρύττων καὶ μακαρίζων οὐ παύομαι. Ἄν τε γὰρ γένηταί τι πλέον ἀπὸ τῆς ὑμετέρας σπουδῆς, δέσποτά μου τιμιώτατε, ἄν τε ἐπὶ τῆς αὐτῆς μένωσι φιλονεικίας οἱ τὰς ταραχὰς παρὰ τὴν ἀρχὴν ἐμβαλόντες, ἀνίατα νοσοῦντες, ὑμῖν ὁ μισθός ἐστιν ἀπηρτισμένος ἀπὸ τῆς γνώμης καὶ τοῦ τὰ παρ' ἑαυτῶν ἅπαντα εἰσενεγκεῖν. Διὰ τοῦτο ὑμᾶς μακαρίζομεν, θαυμάζομεν, χάριτας ὑμῖν ὁμολογοῦντες οὐ διαλιμπάνομεν.

Καὶ ἐβουλόμεθα μὲν καὶ συνεχέστερον ἐπιστέλλειν, ἐπειδὴ δὲ τοῦτο ἡμᾶς παρείλετο ἡ τοῦ χωρίου τούτου, ἐν ᾧ καθείργμεθα, ἐρημία, νῦν ὅτε ἐπετύχομεν τοῦ κυρίου μου τοῦ τιμιωτάτου καὶ εὐλαβεστάτου πρεσβυτέρου, καὶ γράφομεν καὶ τὴν ὀφειλομένην ὑμῖν ἀποδιδόαμεν πρόσρησιν. Γνώμῃ μὲν γὰρ καὶ διαθέσει πολλάκις ἐπεστάλκαμεν, χάρτῃ δὲ καὶ μέλανι πρῶτον νῦν, ἐπειδὴ καὶ νῦν πρῶτον τὸν πρὸς ὑμᾶς ἀφικνούμενον εὑρήκαμεν.

λοὺς αὐτοὺς ἀγῶνες σας, καὶ δὲν παραλείπουμε νὰ σᾶς μακαρίζουμε γιὰ τὴν καλὴ αὐτὴ προθυμία καὶ φροντίδα. Γι' αὐτὸ καὶ παρακάλεσα τὸν κύριό μου, τὸν ἐντιμότατο καὶ εὐλαβέστατο πρεσβύτερο, νὰ ἔρθει σὲ σᾶς.

Ἀφοῦ λοιπὸν τὸν δεχθεῖτε μὲ τὴν πρέπουσα φιλικὴ διάθεση, παρακαλῶ νὰ προσθέσετε καὶ τὸ τέλος ἰσάξιο πρὸς τὴν ἀρχὴ ποὺ κάνατε. Γιατί, μολονότι ἀσθενοῦν βαρειὰ αὐτοὶ ποὺ προξένησαν πρόσφατα τόσες ἀναταραχὲς καὶ πολέμους στὶς Ἐκκλησίες, πρέπει ἐκείνους βέβαια νὰ τοὺς ἐλεεινολογοῦμε καὶ νὰ τοὺς κλαῖμε, ἐνῶ ἐσᾶς νὰ σᾶς θαυμάζουμε καὶ νὰ σᾶς διακηρύσσουμε, γιατὶ καὶ ὅταν τὰ κακὰ αὐξάνονται, δείχνετε ὁλοένα καὶ μεγαλύτερο ἐνδιαφέρον γιὰ τὴ διόρθωσή τους.

160

ΣΤΟΝ ΕΠΙΣΚΟΠΟ ΠΟΥ ΗΡΘΕ ΑΠΟ ΤΗ ΔΥΣΗ

Ὅταν σκέφτομαι τὸν ἱδρώτα ποὺ ἔχυσες καὶ ὅταν ἔμενες στὴν πατρίδα σου καὶ ὅταν ἀνάλαβες τὴν τόσο μακρὰ καὶ ὑπερπόντια ἀποδημία γιὰ τὰ συμφέροντα τῶν πραγμάτων τῆς Ἐκκλησίας, καὶ πρὶν ἀπὸ τὸ τέλος δὲν παύω νὰ σὲ στεφανώνω, νὰ σὲ ἀνακηρύσσω καὶ νὰ σὲ μακαρίζω. Εἴτε λοιπὸν ἐπέλθει κάποια βελτίωση ἀπὸ τὸ δικό σου ἐνδιαφέρον, ἐντιμότατε δεσπότη μου, εἴτε ἐξακολουθήσουν τὴ φιλονεικία τους αὐτοὶ ποὺ προκάλεσαν τὶς ταραχὲς ἀπὸ τὴν ἀρχή, ὄντας ἀθεράπευτα ἄρρωστοι, γιὰ σένα ὁ μισθὸς εἶναι ὁλοκληρωμένος ἐξαιτίας τῆς διαθέσεώς σου καὶ τοῦ ὅτι ἔκανες ὅ,τι ἐξαρτῶταν ἀπὸ σένα. Γι' αὐτὸ καὶ δὲν παραλείπω νὰ σὲ μακαρίζω, νὰ σὲ θαυμάζω καὶ νὰ σὲ εὐγνωμονῶ.

Καὶ θὰ ἤθελα βέβαια νὰ σοῦ γράφω πιὸ συχνά, ἐπειδὴ ὅμως αὐτὸ μοῦ τὸ στέρησε ἡ ἐρημιὰ τοῦ χωριοῦ αὐτοῦ στὸ ὁποῖο εἶμαι περιορισμένος, τώρα ποὺ πέτυχα τὸν κύριό μου, τὸν ἐντιμότατο καὶ εὐλαβέστατο πρεσβύτερο, σοῦ γράφω καὶ σοῦ ἀπονέμω τὸν ὀφειλόμενο χαιρετισμό μου. Μὲ τὴ σκέψη καὶ τὴ διάθεση βέβαια σοῦ ἔγραψα πολλὲς φορές, ἀλλὰ μὲ μελάνι καὶ χαρτὶ σοῦ γράφω πρώτη φορὰ τώρα, ἐπειδὴ τώρα γιὰ πρώτη φορὰ βρῆκα αὐτὸν ποὺ ἔρχεται πρὸς ἐσᾶς.

Δεξάμενοι τοίνυν αὐτὸν ὡς ὑμῖν πρέπον ἐστὶ καὶ τὴν προσήκουσαν περὶ αὐτὸν ἐπιδειξάμενοι ἀγάπην, δότε ἐντρυφῆσαι ὑμῶν τῇ διαθέσει. Οὐ γὰρ μικρὰν ἕξει τῆς τοσαύτης ταλαιπωρίας, τῆς κατὰ τὴν ὁδοιπορίαν, παραμυθίαν καὶ παράκλησιν, τὸ τῆς εὐνοίας ἀπολαῦσαι τῆς ὑμετέρας. Ὅτι γὰρ ὑπὲρ τοῦ ἐρρωμενεστάτῃ χρήσασθαι τῇ σπουδῇ τῶν ταῖς Ἐκκλησίαις ἕνεκεν συμφερόντων οὐδὲν δεήσεσθε τῆς ἑτέρων ὑπομνήσεως, ἐδείξατε διὰ τῶν πραγμάτων αὐτῶν.

ΡΞΑ'

ΠΡΕΣΒΥΤΕΡΟΙΣ ΡΩΜΑΙΟΙΣ ΕΛΘΟΥΣΙ ΜΕΤΑ ΤΩΝ ΕΠΙΣΚΟΠΩΝ

Πολὺν ὑπομεμενήκατε πόνον, μακρὰν οὕτω καὶ διαπόντιον ἀποδημίαν στειλάμενοι, πολὺν τὸν ἱδρῶτα, ἀλλ' οὐχ ὑπὲρ τῶν βιωτικῶν καὶ ἐπικήρων πραγμάτων, ἀλλ' ὑπὲρ τῶν ταῖς Ἐκκλησίαις συμφερόντων, ὑπὲρ ὧν καὶ πολλῷ μείζονα τῶν πόνων λήψεσθε τὰ βραβεῖα παρὰ τοῦ φιλανθρώπου Θεοῦ. Οὐ μικρὰ τοίνυν καὶ ὑμῖν καὶ ἡμῖν ἔσται παράκλησις ὁ πόνος ὑμῶν καὶ ἡ σπουδή· ὑμῖν μέν, ὅτι ὑπὲρ εἰρήνης τοσούτων Ἐκκλησιῶν ὁ καλὸς οὗτος ὑμῖν ἀγών, καὶ ἐπὶ πολλῷ μείζοσι στεφάνοις ἡ ἀντίδοσις· ἡμῖν δέ, ὅτι τοσαύτης παρ' ὑμῶν ἀπηλαύσαμεν ἀγάπης καὶ παρὰ τῶν τοσούτων καὶ τηλικούτων ἀνδρῶν πολλῆς τετυχήκαμεν τῆς σπουδῆς, καὶ τῷ σώματι τοσοῦτον διῳκισμένους ὁδοῦ μῆκος τῇ τῆς ἀγάπης ἁλύσει ὑμῖν αὐτοῖς συνεδήσατε μετὰ πολλῆς τῆς ἀκριβείας. Διὰ ταῦτα χάριτας ὑμῖν ἴσμεν πολλὰς καὶ ἀνακηρύττοντες ὑμῶν τὴν πολλὴν εὔνοιαν οὐ παυόμεθα. Βοᾷ μὲν γὰρ αὐτὴν καὶ αὐτὴ τῶν πραγμάτων ἡ φωνή, οὐ διαλιμπάνομεν δὲ καὶ ἡμεῖς διὰ τῆς ἡμετέρας τοῦτο ἐργαζόμενοι γλώττης. Εἰ δὲ νῦν πρῶτον ὑμῖν ἐπεστάλκαμεν, οὐκ ἀπὸ τῆς ῥᾳθυμίας, ἀλλ' ἀπὸ τῆς τοῦ τόπου ἐρημίας τοῦτο πεπόνθαμεν.

Νῦν γοῦν ἐπιλαβόμενοι τοῦ κυρίου τοῦ τιμιωτάτου καὶ εὐλαβεστάτου πρεσβυτέρου, διαβαίνοντος οἷ διάγετε, τήν τε ὀφειλομένην ὑμῖν ἀποδιδόαμεν πρόσρησιν καὶ παρακαλοῦμεν ὑμᾶς μετὰ τῆς πρεπούσης ὑμῖν ἀγάπης αὐτὸν ὑποδέξασθαι, καὶ ἐπανιόντος, τὰ περὶ τῆς ὑγείας ἡμῖν δηλῶσαι τῆς ὑμετέρας, περὶ ἧς σφόδρα περισπούδαστον

Ἀφοῦ λοιπὸν τὸν δεχθεῖς, ὅπως ἁρμόζει σὲ σένα, καὶ τοῦ δείξεις τὴν πρέπουσα ἀγάπη, δῶσε του τὴν εὐκαιρία νὰ χαρεῖ τὰ αἰσθήματά σου. Γιατὶ δὲν θὰ εἶναι μικρὴ ἡ παρηγοριὰ καὶ ἐνθάρρυνση ποὺ θὰ πάρει γιὰ τὴν τόση ταλαιπωρία τῆς ὁδοιπορίας, ἀπὸ τὸ νὰ δεχθεῖ τὴν εὔνοιά σου. Τὸ ὅτι βέβαια δὲν ἔχεις ἀνάγκη νὰ σοῦ ὑπενθυμίσουν ἄλλοι νὰ καταβάλεις πιὸ ἔντονη προσπάθεια γιὰ χάρη τῶν συμφερόντων τῶν Ἐκκλησιῶν, τὸ ἔδειξες ἤδη στὴ πράξη.

161

ΣΤΟΥΣ ΡΩΜΑΙΟΥΣ ΠΡΕΣΒΥΤΕΡΟΥΣ ΠΟΥ ΗΡΘΑΝ ΜΑΖΙ ΜΕ ΤΟΥΣ ΕΠΙΣΚΟΠΟΥΣ

Πολὺ κόπο ὑποστήκατε ἀναλαμβάνοντας μιὰ τόσο μακρὰ καὶ ὑπερπόντια ἀποδημία καὶ πολὺ ἱδρώτα χύσατε, ὄχι ὅμως γιὰ πράγματα βιωτικὰ καὶ φθαρτά, ἀλλὰ γιὰ τὰ συμφέροντα τῶν Ἐκκλησιῶν, γιὰ τὰ ὁποῖα θὰ λάβετε πολὺ μεγαλύτερα ἀπὸ τοὺς κόπους βραβεῖα ἀπὸ τὸν φιλάνθρωπο Θεό. Δὲν εἶναι λοιπὸν μικρὴ παρηγοριὰ σὲ σᾶς καὶ σὲ μένα ὁ κόπος σας καὶ τὸ ἐνδιαφέρον. Σὲ σᾶς ἐπειδὴ ὁ καλὸς αὐτὸς ἀγώνας γίνεται γιὰ τὴν εἰρήνη τόσων Ἐκκλησιῶν καὶ διότι ἡ ἀνταπόδοση συνίσταται σὲ πολὺ μεγαλύτερα στεφάνια, ἐνῶ σὲ μένα ἐπειδὴ δέχθηκα τόσο μεγάλη ἀγάπη ἀπὸ σᾶς καὶ ἐπειδὴ ἔτυχα τόση φροντίδα ἀπὸ τόσο πολλοὺς καὶ σπουδαίους ἄνδρες, καὶ ἐνῶ εἶμαι τόσο μακριὰ ἐξόριστος, μὲ συνδέσατε μαζί σας μὲ πολλὴ ἀκρίβεια μὲ τὴν ἁλυσίδα τῆς ἀγάπης. Γι᾽ αὐτὸ σᾶς εὐγνωμονῶ καὶ δὲν παύω νὰ διακήρυσσω τὴ μεγάλη σας καλωσύνη. Τὴν καλωσύνη αὐτὴ βέβαια τὴν διαλαλεῖ ἡ φωνὴ τῶν πραγμάτων, ἀλλὰ δὲν παραλείπω νὰ τὸ κάνω καὶ ἐγὼ μὲ τὴ δική μου γλώσσα. Ἐὰν σᾶς γράφω τώρα γιὰ πρώτη φορά, αὐτὸ τὸ ἔπαθα ὄχι ἀπὸ ὀκνηρία, ἀλλὰ ἀπὸ τὴν ἐρημιὰ τοῦ τόπου.

Τώρα ὅμως, ἐπωφελούμενος τοῦ ἐντιμοτάτου κυρίου καὶ εὐλαβεστάτου πρεσβυτέρου, ποὺ ἔρχεται πρὸς τὰ ἐκεῖ ποὺ ζεῖτε, τοῦ ἔδωσα τοὺς ὀφειλόμενους σὲ σᾶς χαιρετισμοὺς καὶ σᾶς παρακαλῶ νὰ τὸν δεχθεῖτε μὲ τὴν ἀγάπη ποὺ ταιριάζει σὲ σᾶς, καὶ ὅταν ἐπιστρέφει νὰ μοῦ γνωρίσετε τὰ τῆς ὑγείας σας, γιὰ τὴν ὁποία εἶναι

ἡμῖν μανθάνειν. Ὑπὲρ δὲ τοῦ τὴν προσήκουσαν σπουδὴν ἐπιδείξασθαι εἰς τὴν τοῦ πράγματος ὑπόθεσιν, εἰς ἣν ἐστε ἀφιγμένοι, οὐδὲν οἶμαι δεῖσθαι τὴν εὐλάβειαν ὑμῶν τῆς ἑτέρωθεν ὑπομνήσεως, καὶ τοῦτο δῆλον πεποιήκατε διὰ τῆς σπουδῆς, ἣν διὰ παντὸς ἐπεδείξασθε τοῦ χρόνου.

ΡΞΒ'

ΑΝΥΣΙΩι ΕΠΙΣΚΟΠΩι ΘΕΣΣΑΛΟΝΙΚΗΣ

Ὀψὲ μὲν καὶ βραδέως ἐπεστάλκαμέν σου τῇ ἀγάπῃ· ἀλλ' οὐχ ἑκουσίως ἡμῶν ἡ μακρὰ αὕτη σιγὴ γέγονεν, ἀλλὰ διὰ τὴν τοῦ χωρίου ἐρημίαν, ἐν ᾧ καθείργμεθα, οὐ διὰ τὴν ῥαθυμίαν τὴν περὶ τὴν ὑμετέραν ἀγάπην. Νῦν γοῦν ἐπιλαβόμενοι τοῦ κυρίου μου τοῦ τιμιωτάτου καὶ εὐλαβεστάτου πρεσβυτέρου, τὴν πάλαι ὀφειλομένην ἀποδεδώκαμεν πρόσρησιν τῇ τιμιότητί σου, χάριτας πολλὰς ὁμολογοῦντές σου τῇ εὐλαβείᾳ ὑπὲρ τῆς ἐνστάσεως καὶ τῆς ἀνδρείας τῆς ὑπὲρ τῶν Ἐκκλησιῶν. Δεξάμενος τοίνυν αὐτόν, δέσποτά μου τιμιώτατε, ὥς σοι πρέπον ἐστὶ καὶ τὴν προσήκουσν περὶ αὐτὸν φιλοφροσύνην ἐπιδειξάμενος, μὴ ἀποκάμῃς τὰ συντελοῦντα τῇ κοινῇ διορθώσει τῶν Ἐκκλησιῶν ποιῶν καὶ πραγματευόμενος. Οἶσθα γαρ τοῦ κατορθώματος τὸ μέγεθος καὶ ὑπὲρ ὅσων Ἐκκλησιῶν τὸν καλὸν τοῦτον ἀγῶνα ἀνεδέξασθε, καὶ ὅσοι ὑπὲρ τῆς κοινῆς εἰρήνης πονησαμένης ὑμῖν ἀπόκεινται παρὰ τῷ φιλανθρώπῳ Θεῷ οἱ στέφανοι.

ΡΞΓ'

ΑΝΥΣΙΩι, ΝΟΥΜΕΡΙΩι, ΘΕΟΔΟΣΙΩι, ΕΥΤΡΟΠΙΩι, ΕΥΣΤΑΘΙΩι, ΜΑΡΚΕΛΛΩι, ΕΥΣΕΒΙΩι, ΜΑΞΙΜΙΑΝΩι, ΕΥΓΕΝΙΩι, ΓΕΡΟΝΤΙΩι, ΚΑΙ ΘΥΡΣΩι, ΚΑΙ ΠΑΣΙ ΤΟΙΣ ΚΑΤΑ ΜΑΚΕΔΟΝΙΑΝ ΟΡΘΟΔΟΞΟΙΣ ΕΠΙΣΚΟΠΟΙΣ

Πολλὴ μὲν ὑμῶν τῆς ἀγάπης καὶ ἡ ἔμπροσθεν σπουδὴ καὶ χά-

πολὺ σημαντικὸ σὲ μένα νὰ μαθαίνω. Ὅσον ἀφορᾶ τὸ νὰ δείξετε τὸν ζῆλο ποὺ πρέπει στὴν ὑπόθεση τοῦ ζητήματος γιὰ τὸ ὁποῖο ἔχετε ἔρθει, νομίζω πὼς δὲν ἔχει ἀνάγκη ἡ εὐλάβειά σας νὰ τῆς τὸ θυμίσουν ἄλλοι, καὶ αὐτὸ τὸ κάνατε φανερὸ μὲ τὴν προθυμία ποὺ δείξατε ὅλο τὸ χρονικὸ διάστημα.

162

ΣΤΟΝ ΕΠΙΣΚΟΠΟ ΘΕΣΣΑΛΟΝΙΚΗΣ ΑΝΥΣΙΟ

Ἀργὰ καὶ καθυστερημένα ἔγραψα στὴν ἀγάπη σου· ὅμως δὲν ἦταν ἑκούσια αὐτὴ ἡ μακρὰ σιγή μου, ἀλλὰ ὀφείλεται στὴν ἐρημιὰ τοῦ χωριοῦ ὅπου εἶμαι περιορισμένος, καὶ ὄχι στὴν ἀδιαφορία γιὰ τὴν ἀγάπη σου. Τώρα ὅμως, ἐπωφελούμενος τοῦ ἐντιμοτάτου κυρίου μου καὶ εὐλαβεστάτου πρεσβυτέρου, ἀποδίδω τὸν ἀπὸ παλιὰ ὀφειλόμενο στὴν ἐντιμότητά σου χαιρετισμὸ καὶ ἐκφράζω τὴν εὐγνωμοσύνη μου πρὸς τὴν εὐλάβειά σου, γιὰ τὴν ἀντίσταση καὶ τὴν ἀνδρεία ποὺ ἔδειξε ὑπὲρ τῶν Ἐκκλησιῶν. Ἀφοῦ λοιπὸν τὸν δεχθεῖς, ἐντιμότατε δεσπότη μου, ὅπως πρέπει σὲ σένα, καὶ ἀφοῦ τοῦ δείξεις τὴν ἀνάλογη φιλικὴ διάθεση, μὴ σταματήσεις νὰ κάνεις καὶ ν' ἀσχολεῖσαι μὲ ὅσα συντελοῦν στὴ διόρθωση τῶν Ἐκκλησιῶν. Γιατὶ γνωρίζεις τὸ μέγεθος τοῦ ἄθλου καθὼς καὶ τὸ ὑπὲρ πόσων Ἐκκλησιῶν ἀνελάβατε τὸν καλὸν αὐτὸν ἀγώνα, καὶ πόσα στεφάνια, ὅλους ἐσᾶς ποὺ κοπιάσατε γιὰ τὴν κοινὴ εἰρήνη, σᾶς περιμένουν ἀπὸ τὸν φιλάνθρωπο Θεό.

163

ΣΤΟΥΣ ΑΝΥΣΙΟ, ΝΟΥΜΕΡΙΟ, ΘΕΟΔΟΣΙΟ, ΕΥΤΡΟΠΙΟ, ΕΥΣΤΑΘΙΟ, ΜΑΡΚΕΛΛΟ, ΕΥΣΕΒΙΟ, ΜΑΞΙΜΙΑΝΟ, ΕΥΓΕΝΙΟ, ΓΕΡΟΝΤΙΟ ΚΑΙ ΘΥΡΣΟ, ΚΑΙ Σ' ΟΛΟΥΣ ΤΟΥΣ ΟΡΘΟΔΟΞΟΥΣ ΕΠΙΣΚΟΠΟΥΣ ΤΗΣ ΜΑΚΕΔΟΝΙΑΣ

Εἶναι βέβαια πολλὴ ἡ ἀγάπη σας καὶ ἡ μέχρι τώρα φροντίδα

ριτας ὑπὲρ τούτων ὁμολογοῦμεν, ὅτι ἐν οὕτω χρόνῳ μακρῷ ἔστητε μετὰ τῆς προσηκούσης ὑμῖν ἀνδρείας, μηδενὶ εἴκοντες τῶν συναρπάζειν ἐπιχειρούντων· παρακαλοῦμεν δὲ καὶ τὸ τέλος ἐπιθεῖναι οἷον προσῆκόν ἐστιν. Ὅσῳ γὰρ πλείονα τὰ τῶν καμάτων ὑμῖν, μείζονα καὶ τὰ τῶν ἀντιδόσεων ἔσται καὶ τῶν ἀμοιβῶν παρὰ τοῦ φιλανθρώπου Θεοῦ. Καὶ ἐπεθυμοῦμεν κατὰ πρόσωπον ὑμῶν θεάσασθαι τὴν τιμιότητα, ἐπειδὴ δὲ τὰ τῆς ἐξορίας δεσμὰ τοῦτο ἡμᾶς παρείλετο καὶ ἐν ἑνὶ καθεῖρξε χωρίῳ, τὸν κύριόν μου τὸν τιμιώτατον καὶ εὐλαβέστατον πρεσβύτερον ἀπεστάλκαμεν καὶ δι' αὐτοῦ τήν τε ὀφειλομένην πρόσρησιν ἀποδιδόαμεν καὶ δηλοῦμεν, ὅτι χάριτας πολλὰς καὶ μεγάλας ὁμολογοῦντες ὑμῶν τῇ θεοσεβείᾳ οὐ διαλιμπάνομεν, καὶ ἀξιοῦντες ὑπὲρ τῆς μακρᾶς σιγῆς τῆς ἔμπροσθεν συγγνώμην ἡμῖν νεῖμαι. Οὐ γὰρ δὴ ῥᾳθυμοῦντες, οὐδὲ κατολιγωροῦντες ὑμῶν, τοσοῦτον ἐσιγήσαμεν χρόνον, ἀλλ' ἐπειδὴ νῦν πρῶτον εὕρομεν τὸν δυνάμενον ἐκεῖσε διαβῆναι, ἔνθα διατρίβετε νῦν, καὶ τὰ παρ' ἡμῶν διακομίσαι γράμματα, γράφομεν ὑμῖν δηλοῦντες, ἐν οἷς ἐσμεν.

Δεξάμενοι τοίνυν αὐτὸν μετ' εὐνοίας καὶ διαθέσεως γνησίας, τὰ περὶ τῆς ὑγείας ὑμῶν δηλοῦν ἡμῖν παρακλήθητε. Μεγίστην γὰρ ἀπὸ τῶν τοιούτων γραμμάτων, καὶ ἐν ἐρημίᾳ καθήμενοι, ἕξομεν παραμυθίαν.

ΡΞΔ'

ΑΛΕΞΑΝΔΡΩι ΕΠΙΣΚΟΠΩι ΚΟΡΙΝΘΟΥ

Οἶσθα τὴν ἀγάπην, ἣν ἐπεδειξάμεθα περὶ τὴν σὴν τιμιότητα, καὶ πῶς ὀλίγα σοι συγγενόμενοι, συνεδέθημέν σου τῷ πόθῳ. Διὸ καὶ σφόδρα ἐθαυμάσαμεν, ὅτι ἐν οὕτω χρόνῳ μακρῷ οὐδὲ ἅπαξ ἡμῖν ἐπιστεῖλαι κατεδέξω. Καὶ οἶδα μὲν ὅτι γραμματηφόρων προβαλῇ σπάνιν, καὶ οὐδὲν ἀπεικός. Εἰ γὰρ καὶ πολλοὶ οἱ ἐκεῖθεν ἀφικνούμενοι, ἀλλ' ἔνθα καθήμεθα νῦν οὐδεὶς ἂν ταχέως παραγένοιτο τῶν ἐκεῖθεν ἐρχομένων. Πλὴν ἀλλ' οὐκ ἀρκεῖ τοῦτο ἡμῖν εἰς τὸ μηδὲ

σας καὶ σᾶς εὐγνωμονῶ γιὰ τὸ ὅτι γιὰ τόσο χρονικὸ διάστημα σταθήκατε μὲ τὴν ἀνδρεία ποὺ σᾶς ταιριάζει, χωρὶς νὰ ὑποχωρήσετε σὲ κανέναν ἀπὸ αὐτοὺς ποὺ ἐπιχειροῦν νὰ σᾶς παρασύρουν. Παρακαλῶ ὅμως νὰ προσθέσετε καὶ τέλος τέτοιο ποὺ ταιριάζει. Γιατὶ ὅσο πιὸ πολλοὶ εἶναι οἱ κόποι σας, τόσο μεγαλύτερη θὰ εἶναι ἡ ἀνταπόδοση καὶ ἡ ἀμοιβή σας ἀπὸ τὸν φιλάνθρωπο Θεό. Ἐπιθυμοῦσα φυσικὰ νὰ δῶ καὶ προσωπικὰ τὴν ἐντιμότητά σας, ἐπειδὴ ὅμως τὰ δεσμὰ τῆς ἐξορίας μοῦ τὸ στέρησαν αὐτὸ καὶ μὲ περιόρισαν σ' ἕνα χωριό, γι' αὐτὸ ἔστειλα τὸν κύριό μου, τὸν ἐντιμότατο καὶ εὐλαβέστατο πρεσβύτερο, μὲ τὸν ὁποῖο καὶ τὸν ὀφειλόμενο χαιρετισμὸ σᾶς ἀποδίδω, καὶ σᾶς δηλώνω ὅτι δὲν παραλείπω νὰ ἐκφράζω τὴν εὐγνωμοσύνη μου πρὸς τὴ θεοσέβειά σας καὶ ὅτι ζητῶ νὰ μοῦ ἀπονείμετε τὴ συγγνώμη σας γιὰ τὴν μέχρι τώρα μακρὰ σιγή μου. Γιατὶ δὲν ἐσίγησα τόσο χρόνο ἀπὸ ὀκνηρία ἢ ἀδιαφορία πρὸς ἐσᾶς, ἀλλ' ἐπειδὴ τώρα γιὰ πρώτη φορὰ βρῆκα κάποιον ποὺ νὰ μπορεῖ νὰ περάσει ἀπὸ ἐκεῖ ὅπου διαμένετε τώρα καὶ νὰ φέρει τὰ γράμματα, σᾶς γράφω ἀναφέροντάς σας τὴν κατάσταση στὴν ὁποία βρίσκομαι.

Ἀφοῦ λοιπὸν τὸν δεχθεῖτε μὲ συμπάθεια καὶ γνήσια ἀγάπη, σᾶς παρακαλῶ νὰ μὲ πληροφορήσετε γιὰ τὴν ὑγεία σας. Γιατὶ πολὺ μεγάλη παρηγοριὰ θὰ πάρω ἀπὸ τὰ τέτοιου εἴδους γράμματα ζώντας ἐδῶ στὴν ἐρημιά.

164

ΣΤΟΝ ΕΠΙΣΚΟΠΟ ΚΟΡΙΝΘΟΥ ΑΛΕΞΑΝΔΡΟ

Γνωρίζεις τὴν ἀγάπη ποὺ ἔδειξα γιὰ τὴν ἐντιμότητά σου καὶ ὅτι, μολονότι σὲ συναναστράφηκα γιὰ λίγο διάστημα, συνδέθηκα μαζί σου μὲ πόθο. Γι' αὐτὸ καὶ ἀπόρησα πολύ, ποὺ ἐπὶ τόσο μακρὸ χρονικὸ διάστημα δὲν καταδέχθηκες οὔτε μιὰ φορὰ νὰ μοῦ γράψεις. Γνωρίζω βέβαια ὅτι θὰ προβάλεις σὰν δικαιολογία τὴν ἔλλειψη γραμματοκομιστῶν, καὶ καθόλου ἀπίθανο. Γιατί, ἂν καὶ πολλοὶ εἶναι ἐκεῖνοι ποὺ ἔρχονται ἀπὸ ἐκεῖ, ἀλλὰ ἐδῶ ποὺ διαμένω τώρα κανένας δὲν θὰ ἔφθανε γρήγορα ἀπ' ὅσους ἔρχονται ἀπὸ ἐκεῖ. Πλὴν ὅμως δὲν εἶναι ἀρκετὸ αὐτὸ σὰν δικαιολογία γιὰ τὸ ὅτι οὔτε μιὰ

ἅπαξ δέξασθαι γράμματα. Ἐπεὶ καὶ ἡμεῖς εἰς ταύτην ἔχοντες ἀναχωρῆσαι τὴν πρόφασιν, οὐδὲ οὕτως ἐσιγήσαμεν, ἀλλὰ τὸν κύριόν μου τὸν τιμιώτατον καὶ εὐλαβέστατον πρεσβύτερον ἀναστήσαντες, ἐντεῦθεν ἐπέμψαμεν, ὥστε καὶ τῇ σῇ συντυχεῖν τιμιότητι, καὶ ταύτην ἡμῶν τὴν προσηγορίαν ἀποκομίσαι, καὶ μαθεῖν περὶ τῆς ὑγείας τῆς σῆς, περὶ ἧς σφόδρα περισπούδαστον ἡμῖν μανθάνειν.

Ἰδὼν τοίνυν αὐτὸν μετ' εὐνοίας καὶ ἀγάπης καὶ τῆς προσηκούσης φιλοφροσύνης, ὡς μέλος ἡμέτερον, ἡνίκα ἂν ἐπανίῃ, τὰ περὶ τῆς ῥώσεώς σου δηλῶσαι ἡμῖν μὴ κατοκνήσῃς. Μεγίστην γὰρ ἡμῖν ἀπὸ τῶν γραμμάτων, καὶ ἐν ἐρημίᾳ καθεζομένοις, παρέξεις τὴν παράκλησιν.

ΡΞΕ'

ΕΠΙΣΚΟΠΟΙΣ ΕΛΘΟΥΣΙ ΜΕΤΑ ΤΩΝ ΑΠΟ ΤΗΣ ΔΥΣΕΩΣ ΕΛΘΟΝΤΩΝ ΕΠΙΣΚΟΠΩΝ

Ἐθαυμάσαμεν ὑμῶν καὶ τὴν ἔμπροσθεν προθυμίαν τε καὶ σπουδήν, ἣν ὑπὲρ τῶν ταῖς Ἐκκλησίαις συμφερόντων ἐπεδείξασθε. Ἐπεὶ δὲ καὶ μακρὰν οὕτως ἀποδημίαν προσεθήκατε καὶ πάντα ὄκνον ἐκβαλόντες, μετὰ τῆς προσηκούσης ὑμῖν ἀνδρείας τοσαύτην ὁδὸν ἐστείλασθε, οὐχ ὡς ἔτυχε καὶ διὰ τοῦτο ὑμᾶς ἐκπληττόμεθα καὶ εὐχαριστοῦντες οὐ διαλιμπάνομεν, καὶ διὰ γραμμάτων νῦν καὶ χωρὶς γραμμάτων. Οὐχ ἡμεῖς δὲ μόνον, ἀλλὰ πάντες οἱ κατὰ τὴν Ἀνατολὴν θαυμάζονται καὶ κήρυκες ὑμῶν γίνονται διαπαντὸς τῆς στερρότητος τῆς ἀκλινοῦς καὶ θερμῆς ἀγάπης καὶ τῆς ἀπεριτρέπτου γνώμης. Καὶ οὔτε ὁδοῦ μῆκος, οὔτε ταλαιπωρίαν ἀποδημίας ἡγοῦνταί τι βαρὺ λοιπὸν καὶ ἐπαχθές, ὑπὲρ τοῦ δραμεῖν καὶ ἰδεῖν ὑμῶν τὰ τοσαῦτα κατορθώματα. Διὸ δὴ καὶ ὁ κύριός μου ὁ τιμιώτατος καὶ εὐλαβέστατος πρεσβύτερος, καίτοι γε ἀσθενεῖ κεχρημένος σώματι, πάντα εἵλετο παθεῖν ὑπὲρ τούτου παραγενόμενος καὶ τῆς κατ' ὄψιν ἀπολαῦσαι συνουσίας ὑμῶν.

Δεξάμενοι τοίνυν αὐτὸν μετὰ τῆς πρεπούσης ὑμῖν ἀγάπης, κἂν ἐπὶ μεῖζον αἴρηται τὰ δεινά, παρακαλοῦμεν μὴ κατοκνῆσαι διορθου-

φορὰ δὲν πῆρα γράμματά σου. Ἐπειδὴ καὶ ἐγώ, ἂν καὶ μπορῶ νὰ ἐπικαλεσθῶ τὴν ἴδια δικαιολογία, ὅμως δὲν ἐσίγησα τόσο πολύ, ἀλλά, ξεσηκώνοντας τὸν κύριό μου, τὸν τιμιότατο καὶ εὐλαβέστατο πρεσβύτερο, τὸν ἔστειλα ἐκεῖ, ὥστε καὶ τὴν ἐντιμότητά σου νὰ συναντήσει καὶ νὰ προσκομίσει αὐτόν τὸν χαιρετισμό μου καὶ νὰ μάθει γιὰ τὴν ὑγεία σου, γιὰ τὴν ὁποία εἶναι πολὺ σπουδαῖο γιὰ μένα νὰ μαθαίνω.

Ἀφοῦ λοιπὸν τὸν δεῖς μὲ συμπάθεια καὶ ἀγάπη καὶ μὲ τὴν ἁρμόζουσα καλωσύνη, σὰν δικό μου μέλος, ὅταν θὰ ἐπανέρχεται μὴ ἀμελήσεις νὰ μοῦ ἀναφέρεις τὰ τῆς ὑγείας σου. Γιατὶ θὰ μοῦ δώσεις πολὺ μεγάλη παρηγοριὰ μὲ τὰ γράμματά σου ἐδῶ στὴν ἐρημιὰ ποὺ διαμένω.

165

ΣΤΟΥΣ ΕΠΙΣΚΟΠΟΥΣ ΠΟΥ ΗΡΘΑΝ ΜΑΖΙ ΜΕ ΤΟΥΣ ΕΠΙΣΚΟΠΟΥΣ ΤΗΣ ΔΥΣΕΩΣ

Θαύμασα τὴν προηγούμενη προθυμία καὶ διάθεση ποὺ δείξατε γιὰ τὰ συμφέροντα τῶν Ἐκκλησιῶν. Ἐπειδὴ ὅμως σ' αὐτὴν προσθέσατε καὶ τὴν τόσο μακρὰ ἀποδημία καί, ἀποβάλοντας κάθε ὀκνηρία, διανύσατε τόσο δρόμο μὲ τὴν ἁρμόζουσα ἀνδρεία, σᾶς θαυμάζω καὶ γι' αὐτὸ ὄχι λίγο, καὶ δὲν παραλείπω νὰ σᾶς εὐχαριστῶ, καὶ μὲ γράμματα τώρα, ἀλλὰ καὶ χωρὶς γράμματα. Καὶ ὄχι μόνο ἐγώ, ἀλλὰ καὶ ὅλοι στὴν Ἀνατολὴ ἐκπλήσσονται καὶ γίνονται διαρκεῖς κήρυκες τῆς ἀμετακίνητης σταθερότητας, τῆς θερμῆς ἀγάπης καὶ τῆς ἀμετάβλητης γνώμης σας. Καὶ οὔτε τὸ μῆκος τοῦ δρόμου, οὔτε τὴν ταλαιπωρία τῆς ἀποδημίας τὰ θεωροῦν κάτι τὸ βαρὺ καὶ δυσβάστακτο προκειμένου νὰ τρέξουν καὶ νὰ δοῦν τὰ τόσα πολλὰ κατορθώματά σας. Γι' αὐτὸ λοιπὸν καὶ ὁ κύριός μου, ὁ ἐντιμότατος καὶ εὐλαβέστατος πρεσβύτερος, ἂν καὶ ἔχει ἀσθενικὸ σῶμα, προτίμησε νὰ ὑποφέρει τὰ πάντα προκειμένου νὰ ἔρθει γιὰ τὸ σκοπὸ αὐτὸ καὶ νὰ χαρεῖ τὴν προσωπικὴ συναναστροφή σας.

Ἀφοῦ λοιπὸν τὸν δεχθεῖτε μὲ τὴν πρέπουσα ἀγάπη, καὶ ἂν ἀκόμα τὰ δεινὰ αὐξηθοῦν περισσότερο, παρακαλῶ νὰ μὴ ἀδιαφορή-

μένους αὐτά, ἀλλ' ἄξιον τῶν προοιμίων ἐπιθεῖναι τὸ τέλος. Ἴστε γὰρ ἡλίκος ὑμῖν ἔσται ὁ μισθὸς παρὰ τοῦ φιλανθρώπου Θεοῦ, ὑπὲρ τοσούτων Ἐκκλησιῶν ταραττομένων πονουμένοις καὶ πάντα ποιουμένοις, ὥστε εἰς εὐδιεινὸν αὐτὰς ὁρμίσαι λιμένα.

ΡΞΣΤ'

ΕΠΙΣΚΟΠΟΙΣ ΕΛΘΟΥΣΙ ΜΕΤΑ ΤΩΝ ΑΠΟ ΤΗΣ ΔΥΣΕΩΣ ΕΠΙΣΚΟΠΩΝ

Καὶ τὰ ἔμπροσθεν παρὰ τῆς τιμιότητος ὑμῶν γεγενημένα μεγάλα, τὸ δικαίαν καὶ πρέπουσαν ὑμῖν ἀγανάκτησιν ὑπὲρ τῶν τοσαύτας Ἐκκλησίας κατειληφότων κακῶν ἀγανακτῆσαι, τὸ συναλγῆσαι, τὸ μὴ μέχρι τούτου στῆναι μόνον, ἀλλὰ καὶ τὰ παρ' ἑαυτῶν εἰσενεγκεῖν, πολὺ δε μέγιστον καὶ τὸ νῦν γεγενημένον παρὰ τῆς ἀγάπης ὑμῶν, τὸ ἀναστῆναι ἕκαστον ὑμῶν οἴκοθεν, τὸ μακρὰν οὕτως ἀποδημίαν στείλασθαι, τὸ διατρίβειν ἐπ' ἀλλοτρίας καὶ τοὺς ἀπὸ τῆς μακρᾶς ἀποδημίας ὑπομένειν καμάτους, ὑπὲρ τῶν ταῖς Ἐκκλησίαις συμφερόντων. Διὰ ταῦτα ὑμῖν εὐχαριστοῦντες οὐ παυόμεθα, θαυμάζοντες, μακαρίζοντες, ὅσους ἑαυτοῖς ὑπὲρ τούτων παρὰ τοῦ φιλανθρώπου Θεοῦ παραποτίθεσθε τοὺς μισθούς. Καὶ ἐπειδὴ οὔτε συγγενέσθαι ὑμῖν δυνατὸν νῦν ὑπὸ ἐξορίας κατεχομένῳ, οὔτε συνεχῶς ἐπιστέλλειν, τῷ μὴ ταχέως εὐπορεῖν γραμματηφόρων (ἢ γὰρ ἂν νιφάδας ἐπέμψαμεν γραμμάτων), τὸν κύριόν μου τὸν τιμιώτατον καὶ εὐλαβέστατον πρεσβύτερον, καὶ αὐτὸν οἴκοθεν ὁρμώμενον ἐλθεῖν καὶ θεάσασθαι τὴν εὐλάβειαν τὴν ὑμετέραν, παρεκαλέσαμεν, ὥστε καὶ πρὸς ἡμᾶς γραμμάτων ἐπιτυχεῖν καὶ αὐτὸν καὶ κατὰ πρόσωπον ἀπολαῦσαι τῆς ἀγάπης τῆς ὑμετέρας.

Δεξάμενοι τοίνυν αὐτὸν ὡς ὑμῖν πρέπον ἐστίν, ἡνίκα ἂν ἐξῇ, καὶ ἡμῖν δηλοῦν μὴ κατοκνεῖτε τὰ περὶ τῆς ὑγείας τῆς ὑμετέρας. Σφόδρα γὰρ ἡμῖν περισπούδαστον τοῦτο μανθάνειν καὶ οὐ μικρὰ τῆς ἐρημίας, ἐν ᾗ καθήμεθα, τοῦτο ἡμῖν ἔσται παράκλησις.

σετε νὰ τὰ διορθώσετε, ἀλλὰ νὰ θέσετε τέλος ἰσάξιο πρὸς τὴν ἀρχὴ ποὺ κάνατε. Γιατὶ γνωρίζετε πόσος θὰ εἶναι ὁ μισθός σας ἀπὸ τὸν φιλάνθρωπο Θεό, ἀφοῦ κοπιάζετε γιὰ τόσες Ἐκκλησίες ποὺ ἀναταράσσονται καὶ κάνετε τὸ πᾶν, ὥστε νὰ τὶς ὁδηγήσετε σὲ ὑπήνεμο λιμάνι.

166

ΣΤΟΥΣ ΕΠΙΣΚΟΠΟΥΣ ΠΟΥ ΗΡΘΑΝ ΜΑΖΙ ΜΕ ΤΟΥΣ ΕΠΙΣΚΟΠΟΥΣ ΤΗΣ ΔΥΣΕΩΣ

Καὶ ὅσα πρὶν ἔκανε ἡ ἐντιμότητά σας εἶναι πολλά, τὸ ὅτι δηλαδὴ κυριευθήκατε ἀπὸ δίκαιη ἀγανάκτηση γιὰ τὰ δεινὰ ποὺ κατέλαβαν τόσες Ἐκκλησίες, τὸ ὅτι συμπονέσατε καὶ τὸ ὅτι δὲ σταματήσατε μόνο μέχρις ἐδῶ, ἀλλὰ καὶ συνεισφέρατε ὅ,τι ἐξαρτῶνταν ἀπὸ σᾶς. Πολὺ μεγαλύτερο ὅμως εἶναι αὐτὸ ποὺ ἔκανε τώρα ἡ ἀγάπη σας, τὸ νὰ ξεσηκωθεῖ καθένας σας ἀπὸ τὸ σπίτι του, τὸ νὰ ἀναλάβετε τόσο μακρινὴ ἀποδημία, τὸ νὰ μένετε σὲ ξένη χώρα καὶ νὰ ὑπομένετε τοὺς κόπους τῆς μακρᾶς ἀποδημίας γιὰ χάρη τῶν συμφερόντων τῶν Ἐκκλησιῶν. Γι' αὐτὸ δὲν παύουμε νὰ σᾶς εὐχαριστοῦμε, νὰ σᾶς θαυμάζουμε καὶ νὰ σᾶς μακαρίζουμε γιὰ τοὺς μισθοὺς ποὺ ἐξασφαλίζετε ἀπὸ τώρα στοὺς ἑαυτούς σας γιὰ ὅλα αὐτὰ ἀπὸ τὸν φιλάνθρωπο Θεό. Καὶ ἐπειδή, κρατούμενος ἀπὸ τὴν ἐξορία, οὔτε νὰ σᾶς συναντήσω εἶναι δυνατὸ τώρα, οὔτε νὰ σᾶς γράφω συνεχῶς, γιὰ τὸ λόγο ὅτι δὲν βρίσκω γραμματοκομιστὲς (γιατὶ διαφορετικὰ θὰ σᾶς ἔστελνα πλῆθος γραμμάτων), παρακάλεσα τὸν κύριό μου, τὸν ἐντιμότατο καὶ εὐλαβέστατο πρεσβύτερο, νὰ ξεκινήσει ἀπὸ τὸ σπίτι του καὶ νὰ ἔρθει νὰ δεῖ τὴν εὐλάβειά σας, γιὰ νὰ φέρει καὶ σὲ μένα γράμματα, ἀλλὰ καὶ αὐτὸς νὰ ἀπολαύσει αὐτοπροσώπως τὴν ἀγάπη σας.

Ἀφοῦ λοιπὸν τὸν δεχθεῖτε ὅπως ταιριάζει σὲ σᾶς, ὅταν εἶναι δυνατό, μὴ ἀμελεῖτε νὰ μοῦ πληροφορεῖτε τὰ τῆς ὑγείας σας. Γιατὶ εἶναι πολὺ σημαντικὸ γιὰ μένα νὰ τὸ μαθαίνω αὐτὸ καὶ δὲν θὰ μοῦ εἶναι μικρὴ παρηγοριὰ στὴν ἐρημιὰ ποὺ διαμένω.

ΡΞΖ'

ΤΟΙΣ ΑΥΤΟΙΣ

Χάριν ὑμῖν ἴσμεν πολλὴν τῆς τοσαύτης εὐτονίας καὶ σπουδῆς καὶ φροντίδος καὶ τῶν πόνων καὶ τῶν ἱδρώτων καὶ τῆς μακρᾶς ταύτης ἀποδημίας, ἣν ὑπὲρ τῶν συμφερόντων τῇ Ἐκκλησίᾳ πεποίησθε. Ὅσῳ γὰρ τοῖς ταράττουσιν ἅπαντα μεῖζον τὸ κρῖμα, τοσούτῳ καὶ ὑμῖν πλείων ὁ μισθός, τοσαύτῃ κεχρημένοις ὑπομονῇ καὶ σπουδῇ εἰς διόρθωσιν τῶν κακῶς παρ' ἑτέρων γεγενημένων. Καὶ ἐβουλόμεθα μὲν καὶ παρόντες κατὰ πρόσωπον συντυχεῖν ὑμῶν τῇ εὐλαβείᾳ, ἐπειδὴ δὲ τοῦτο ἀφῃρήμεθα ἀπὸ τῆς κατὰ τὴν ἐξορίαν ἀνάγκης, ὀψέ ποτε καὶ μόλις ἐπιτυχόντες τοῦ πρὸς ὑμᾶς ἀφικνουμένου, τοῦ κυρίου μου τοῦ τιμιωτάτου καὶ εὐλαβεστάτου πρεσβυτέρου, διεπεμψάμεθα ταυτὶ τὰ γράμματα, τήν τε ὀφειλομένην ἀποδιδόντες πρόσρησιν, καὶ εὐχαριστοῦντες ὑπέρ τε τῶν παρελθόντων, ὑπέρ τε τῶν νῦν, ὑπέρ τε ὁλοκλήρου τῆς διορθώσεως τῶν κακῶν. Κἂν γὰρ μηδὲν γένηται πλέον, ὑμεῖς τὸ ὑμέτερον πεποιήκατε. Διὸ καὶ ἀπηρτισμένον ἔχετε παρὰ τοῦ φιλανθρώπου Θεοῦ τὸν μισθόν, τοσαύτῃ καὶ σπουδῇ καὶ προθυμίᾳ πρὸς τὸ τὰ κακῶς γεγενημένα ἰάσασθαι διὰ παντὸς χρησάμενοι τοῦ χρόνου.

ΡΞΗ'

ΠΡΟΒΗι ΕΛΕΥΘΕΡΑι, ΕΝ ΡΩΜΗι

Εἰ καὶ πολλῷ διῳκίσμεθα τῷ μέσῳ τῆς ὁδοῦ, ἀλλὰ τῆς γνησίας σου καὶ θερμῆς ἀγάπης, ὡς παρόντες καὶ πάντα τὰ σὰ ὁρῶντες, οὕτως ἀκριβῆ πεῖραν εἰλήφαμεν, τῶν ἐκεῖθεν ἀφικνουμένων πρὸς ἡμᾶς ἀπαγγελλόντων περὶ τῆς σῆς ἐμμελείας ταῦτα, ἅπερ ἐπεθυμοῦμεν μανθάνειν. Διὰ τοῦτό σοι χάριτας ἴσμεν πολλὰς καὶ μεγάλας καὶ ἐναβρυνόμεθα καὶ καλλωπιζόμεθα ἐπὶ τῇ διαθέσει τῆς εὐγενείας σου, καὶ τοὺς ἀγαπητούς, τὸν εὐλαβέστατον πρεσβύτερον

1. Ὁ χαρακτηρισμὸς τῆς Πρόβας ὡς «ἐλεύθερης» δείχνει ὅτι ἡ παραλήπτρια τῆς ἐπιστολῆς ἦταν πρώην δούλη ποὺ εἶχε ἀπελευθερωθεῖ. Πρβλ. *Α' Κορ.* 7,22.

167

ΣΤΟΥΣ ΙΔΙΟΥΣ

Σᾶς εἶμαι εὐγνώμων γιὰ τὴν τόση σας ὑπομονὴ καὶ διάθεση καὶ φροντίδα καὶ γιὰ τοὺς κόπους καὶ τοὺς ἱδρῶτες καὶ γιὰ τὴ μακρὰ ἀποδημία ποὺ κάνετε γιὰ αὐτὰ ποὺ συμφέρουν στὴν Ἐκκλησία. Γιατὶ ὅσο μεγάλο εἶναι τὸ κρίμα γι' αὐτοὺς ποὺ ἀναταράσσουν τὰ πάντα, τόσο μεγαλύτερος θὰ εἶναι καὶ ὁ μισθὸς γιὰ σᾶς, ποὺ δείχνετε τόσο μεγάλη ὑπομονὴ καὶ προθυμία γιὰ τὴ διόρθωση αὐτῶν ποὺ κακῶς ἔκαναν ἄλλοι. Θὰ ἤθελα βέβαια ὄντας παρὼν νὰ συναντήσω αὐτοπροσώπως τὴν εὐλάβειά σας, ἐπειδὴ ὅμως αὐτὸ μοῦ ἔχει ἀφαιρεθεῖ ἀπὸ τὸν ἐξαναγκασμὸ τῆς ἐξορίας, μόλις, ὕστερα ἀπὸ πολὺ καιρό, πέτυχα αὐτὸν ποὺ ἔρχεται πρὸς ἐσᾶς, τὸν κύριό μου, τὸν ἐντιμότατο καὶ εὐλαβέστατο πρεσβύτερο, ἔστειλα αὐτὰ ἐδῶ τὰ γράμματα, ἀποδίδοντάς σας τὸν ὀφειλόμενο χαιρετισμὸ καὶ εὐχαριστώντας σας γιὰ ὅσα κάνατε πρίν, γιὰ ὅσα κάνετε τώρα καὶ γιὰ ὅλη τὴ διόρθωση τῶν δεινῶν. Γιατί, καὶ ἂν δὲν γίνει τίποτε ἐπιπλέον στὸ ἑξῆς, ἐσεῖς κάνατε τὸ δικό σας χρέος. Γι' αὐτὸ καὶ ἔχετε ἐξασφαλισμένο ἀπὸ τὸν φιλάνθρωπο Θεὸ τὸν μισθό σας γιὰ τὴν τόση διάθεση καὶ προθυμία νὰ θεραπεύσετε ὅσα κακῶς ἔγιναν, διαθέτοντας ὅλο σας τὸ χρόνο.

168

ΣΤΗΝ ΑΠΕΛΕΥΘΕΡΗ[1] ΠΡΟΒΑ, ΣΤΗ ΡΩΜΗ

Ἂν καὶ μᾶς χωρίζει μεγάλη ἀπόσταση δρόμου, ὡστόσο τὴ γνήσια καὶ θερμή σου ἀγάπη τὴ γνωρίζω τόσο καλά, σὰν νὰ εἶμαι παρὼν καὶ βλέπω ὅλα τὰ ἔργα σου, ἐπειδή, ὅσοι ἔρχονται ἀπὸ ἐκεῖ σ' ἐμένα, μοῦ ἀναφέρουν γιὰ τὴ χάρη σου αὐτά, τὰ ὁποῖα ἐπιθυμῶ νὰ μαθαίνω. Γι' αὐτὸ σοῦ ὀφείλω εὐχαριστίες πολλὲς καὶ μεγάλες καὶ καμαρώνω καὶ καυχιέμαι γιὰ τὰ αἰσθήματα τῆς εὐγένειάς σου, καὶ τοὺς ἀγαπητούς μου, τὸν εὐλαβέστατο πρεσβύτερο Ἰωάννη καὶ

Ἰωάννην καὶ τὸν τιμιώτατον διάκονον Παῦλον παρακατατιθέμεθά σου τῇ κοσμιότητι, ὡς εἰς λιμένα τὰς σὰς αὐτοὺς παραπέμποντες χεῖρας.

Ἰδεῖν τοίνυν αὐτοὺς ὥς σοι πρέπον ἐστί, δέσποινά μου τιμιωτάτη καὶ εὐγενεστάτη, παρακλήθητι. Οἶσθα γὰρ ὅσος ἔστα σοι τῆς φιλοφροσύνης ταύτης ὁ μισθός. Καὶ ἡνίκα ἂν ἐξῇ, συνεχέστερον ἡμῖν δήλου τὰ περὶ τῆς ὑγείας τῆς σῆς, περὶ ἧς σφόδρα περισπούδαστον ἡμῖν μανθάνειν, ἐπειδήπερ σφόδρα αὐτῆς ἀντεχόμεθα.

ΡΞΘ'

ΙΟΥΛΙΑΝΗι, ΚΑΙ ΤΑΙΣ ΣΥΝ ΑΥΤΗι

Ὅσῳ χαλεπώτερον τὸ κρῖμα γεγένηται τοῖς τὰ τοιαῦτα παρανομήσασι, τοσούτῳ πλείων ὑμῖν ἔσται ὁ μισθός, τοῖς τοσαύτας παρανομίας λύειν ἐσπουδακόσι καὶ τοσοῦτον ἐπιδεικνυμένοις πόνον καὶ κάματον. Οὐδὲ γὰρ ἔλαθεν ἡμᾶς τῆς ὑμετέρας διαθέσεως ἡ εὐποιία καὶ ἡ σπουδή, ἣν καὶ εἰς τὴν προκειμένην ὑπόθεσιν ἐπεδείξασθε καὶ εἰς τὴν φιλοφροσύνην τῶν παρ' ἡμῶν ἐκεῖσε ἀφιγμένων. Διὸ καὶ χάριτας ὑμῖν ἔχομεν, καὶ παρακαλοῦμεν τῇ αὐτῇ ἐπιμένειν προθυμίᾳ καὶ ἐρρωμενεστέραν ἐπιδείξασθαι εὐτονίαν τε καὶ ἀνδρείαν. Ἴστε γὰρ ἡλίκον τοῦ κατορθώματος τὸ μέγεθος καὶ ὅσον λήψεσθε τὸν μισθόν, τοσαύτην ταραχὴν καὶ οὕτω κύματα ἄγρια, τό γε εἰς ὑμᾶς ἧκον, καταστέλλουσαι καὶ τὴν προσήκουσαν εἰς τὴν τῶν γεγενημένων κακῶν εἰσφέρουσαι διόρθωσιν.

ΡΟ'

ΙΤΑΛΙΚΗι

Ἐπὶ μὲν τῶν ἔξωθεν πραγμάτων, ὥσπερ τῇ φύσει, οὕτω καὶ τῇ πράξει καὶ τῇ μεταχειρίσει διῄρηται ταῦτα τὰ γένη, ἀνὴρ λέγω καὶ γυνή. Τῇ μὲν γὰρ οἰκουρεῖν νενόμισται, τῷ δὲ τῶν πολιτικῶν καὶ

τὸν ἐντιμότατο διάκονο Παῦλο, τοὺς ἐμπιστεύομαι στὴ σεμνότητά σου, στέλνοντάς τους στὰ χέρια σου ὡσὰν σὲ λιμάνι.

Εὐαρεστήσου λοιπὸν νὰ τοὺς δεῖς ὅπως ταιριάζει σὲ σένα, ἐντιμότατη καὶ εὐγενέστατη δέσποινά μου. Γιατὶ γνωρίζεις πόση θὰ εἶναι ἡ ἀμοιβή σου γι' αὐτή σου τὴ φιλοφροσύνη. Καὶ ὅταν εἶναι δυνατὸ ἀνάφερέ μου τὰ τῆς ὑγείας σου, γιὰ τὴν ὁποία εἶναι πολὺ σπουδαῖο γιὰ μένα νὰ μαθαίνω, ἐπειδὴ πολὺ ἐνδιαφέρομαι γι' αὐτήν.

169

ΣΤΗΝ ΙΟΥΛΙΑΝΗ ΚΑΙ ΣΤΙΣ ΜΑΖΙ ΜΕ ΑΥΤΗΝ

Ὅσο πιὸ φοβερὸ εἶναι τὸ κρίμα γιὰ ἐκείνους ποὺ ἔκαναν τὶς ἐγκληματικὲς αὐτὲς ἐνέργειες, τόσο μεγαλύτερος θὰ εἶναι ὁ μισθὸς σὲ σᾶς ποὺ φροντίσατε νὰ διαλύσετε τὶς τόσο μεγάλες παρανομίες καὶ καταβάλλετε τόσο κόπο καὶ μόχθο. Γιατὶ δὲ διέφυγε τὴν προσοχή μου τῶν αἰσθημάτων σας ἡ ἀγαθοεργία καὶ ἡ προθυμία ποὺ ἐπιδείξατε καὶ στὴν περίπτωση αὐτή, καθὼς καὶ στὴν περιποίηση αὐτῶν ποὺ ἔρχονται ἀπὸ ἐμᾶς πρὸς τὰ ἐκεῖ. Γι' αὐτὸ καὶ σᾶς ἐκφράζω τὶς εὐχαριστίες μου καὶ σᾶς παρακαλῶ νὰ ἐξακολουθήσετε μὲ τὴν ἴδια προθυμία καὶ νὰ δείξετε πιὸ ρωμαλέα καρτερία καὶ ἀνδρεία. Γιατὶ γνωρίζετε πόσο εἶναι τὸ μέγεθος τοῦ ἄθλου καὶ πόσο μισθὸ θὰ λάβετε καταπαύοντας, ὅσο ἐξαρτᾶται ἀπὸ σᾶς, τόση θαλασσοταραχὴ καὶ τόσο ἄγρια κύματα, καὶ συνεισφέροντας τὴν πρέπουσα βοήθεια στὴν ἀποκατάσταση τῶν κακῶν ποὺ ἔχουν προκληθεῖ.

170

ΣΤΗΝ ΙΤΑΛΙΚΗ

Στὰ ἐξωτερικὰ βέβαια πράγματα, ὅπως στὴ φύση, ἔτσι καὶ στὴν πράξη καὶ τὴν ἐφαρμογὴ διαιροῦνται αὐτὰ τὰ φύλα, ἐννοῶ ὁ ἄνδρας καὶ ἡ γυναίκα. Γιατὶ στὴ γυναίκα ἔχει καθιερωθεῖ νὰ μένει

τῶν ἐν ἀγορᾷ πραγμάτων ἅπτεσθαι. Ἐπὶ δὲ τῶν τοῦ Θεοῦ ἀγώνων καὶ τῶν ὑπὲρ τῆς Ἐκκλησίας πόνων οὐκ ἔνι τοῦτο, ἀλλ' ἔστι καὶ γυναῖκα ἀνδρὸς ἐρρωμενέστερον τῶν καλῶν τούτων ἀντέχεσθαι ἀγώνων καὶ πόνων. Καὶ τοῦτο δηλῶν ὁ Παῦλος ἐν τῇ πρὸς τὴν πατρίδα τὴν ὑμετέραν ἐπιστολῇ, πολλὰς ἀνακηρύττει γυναῖκας, λέγων αὐτὰς οὐ μικρὰ πεπονηκέναι ἐν τῷ ἄνδρας διορθοῦν καὶ ἐνάγειν ἐπὶ τὰ προσήκοντα.

Τίνος ἕνεκεν ταῦτά φημι; Ἵνα μὴ νομίσητε ἀλλότριον ὑμῶν εἶναι τὸ τῆς σπουδῆς ἅπτεσθαι καὶ τῶν πόνων τῶν εἰς τὴν ἐκκλησιαστικὴν διόρθωσιν συντελούντων, ἀλλ' ὡς πρέπον ὑμῖν ἐστι, καὶ δι' ἑαυτῶν καὶ δι' ἑτέρων, ὧν ἂν οἷόν τε ᾖ, τὴν προσήκουσαν εἰσενέγκητε σπουδήν, εἰς τὸ λῦσαι τὴν κοινὴν ζάλην καὶ ταραχὴν τὴν τὰς Ἐκκλησιάς τῆς Ἀνατολῆς καταλαβοῦσαν. Ὅσῳ γὰρ χαλεπωτέρα γέγονεν ἡ ζάλη καὶ βαρύτερος ὁ χειμών, τοσούτῳ καὶ ὑμῖν πλείων ἔστι ὁ μισθός, ταῖς πάντα πρᾶξαι καὶ παθεῖν αἱρουμέναις ὑπὲρ τοῦ τὴν διαταραχθεῖσαν εἰρήνην ἐπαναγαγεῖν καὶ ἐν καταστάσει τῇ προσηκούσῃ σπουδάσαι καταστῆσαι διαταραχθέντα ἅπαντα.

ΡΟΑ'

ΜΟΝΤΙΩ[1]

Πόρρω μέν σου καθήμεθα τῇ παρουσίᾳ τοῦ σώματος, ἐγγὺς δὲ τῇ διαθέσει τῆς ψυχῆς, καὶ σύνεσμέν σοι καὶ συμπεπλέγμεθα καθ' ἑκάστην ἡμέραν, τὸν θερμόν σου περὶ ἡμᾶς ἔρωτα, τὴν φιλοξενίαν, τὴν φιλοφροσύνην, τὴν τοσαύτην θεραπείαν καὶ σπουδήν, ἣν διὰ πάντων ἐπεδείξω, καθ' ἑαυτοὺς ἀναλογιζόμενοι, καὶ ἐντρυφῶντες τῇ μνήμῃ τῆς εὐγενείας τῆς σῆς καὶ πρὸς ἅπαντας ἀκαρύττοντές σου τὴν εἰλικρινῆ διάθεσιν καὶ δόλον οὐκ ἔχουσαν. Διὸ καὶ γραμμάτων ἐπιθυμοῦμεν τῆς εὐγενείας τῆς σῆς, καί σε παρακαλοῦμεν συνεχῶς ἡμῖν ἐπιστέλλειν καὶ τὰ περὶ τῆς ὑγείας τῆς σῆς εὐαγγελίζεσθαι, ἵνα καὶ ἐκ τούτου πολλὴν καρπωσώμεθα τὴν παράκλησιν, μανθάνοντες

1. Πρόκειται γιὰ τὴν *Πρὸς Ρωμαίους* ἐπιστολή, στὸ 16ο κεφάλαιο τῆς ὁποίας ὁ Παῦλος στέλνει χαιρετίσματα σὲ δέκα γυναῖκες, οἱ ὁποῖες «πολλὰ ἐκοπίασαν» στὸ ἔργο τῆς διαδόσεως τοῦ Εὐαγγελίου.

στὸ σπίτι, ἐνῶ στὸν ἄνδρα νὰ καταγίνεται μὲ τὰ πολιτικὰ καὶ τὶς ὑποθέσεις τῆς ἀγορᾶς. Στοὺς ἀγῶνες ὅμως τοῦ Θεοῦ καὶ τοὺς κόπους ὑπὲρ τῆς Ἐκκλησίας δὲν συμβαίνει αὐτὸ καὶ εἶναι δυνατὸ ἡ γυναίκα νὰ ἐπιδίδεται στοὺς καλοὺς αὐτοὺς ἀγῶνες καὶ κόπους μὲ περισσότερη δύναμη. Αὐτὸ ἐξάλλου τὸ μαρτυρεῖ καὶ ὁ Παῦλος ὁ ὁποῖος στὴν ἐπιστολή του πρὸς τὴν πατρίδα σας[1] ἀνακηρύττει πολλὲς γυναῖκες, λέγοντας ὅτι δὲν κοπίασαν λίγο γιὰ νὰ διορθώσουν ἄνδρες καὶ νὰ τοὺς ἐπαναφέρουν στὸ σωστὸ δρόμο.

Γιατὶ τὰ λέω ὅλα αὐτά; Γιὰ νὰ μὴ νομίσεις ὅτι εἶναι ξένο πρὸς ἐσένα τὸ νὰ καταπιάνεσαι μὲ τὴ φροντίδα καὶ τοὺς κόπους, ποὺ συντελοῦν στὴν ἐκκλησιαστικὴ ἀποκατάσταση, καὶ ὅτι εἶναι καθῆκον σου καὶ σὺ ἡ ἴδια, ἀλλὰ καὶ μὲ ἄλλες, ὅσες εἶναι δυνατό, νὰ δείξετε τὸ ἐνδιαφέρον ποὺ πρέπει γιὰ νὰ καταπαύσει ὁ γενικὸς σάλος καὶ ἡ σύγχυση ποὺ κατέλαβε τὶς Ἐκκλησίες τῆς Ἀνατολῆς. Γιατί, ὅσο πιὸ τρομερὸς εἶναι ὁ σάλος καὶ μεγαλύτερη ἡ φουρτούνα, τόσο μεγαλύτερος θὰ εἶναι ὁ μισθὸς γιὰ σᾶς ποὺ προτίθεσθε νὰ κάνετε καὶ νὰ ὑποστεῖτε τὰ πάντα, γιὰ νὰ ἀποκαταστήσετε τὴ διαταραχθεῖσα εἰρήνη καὶ νὰ φροντίσετε νὰ ἐπαναφέρετε ὅλα τὰ ἀναταραχθέντα στὴν κανονική τους κατάσταση.

171

ΣΤΟΝ ΜΟΝΤΙΟ

Διαμένω βέβαια μακριὰ ἀπὸ σένα ὡς πρὸς τὴ σωματικὴ παρουσία μου, ἀλλὰ βρίσκομαι κοντά σου ὡς πρὸς τὴν ψυχική μου διάθεση καὶ εἶμαι μαζί σου καὶ συναντιόμαστε κάθε μέρα, ἀναλογιζόμενος μέσα μου τὴ θερμή σου ἀγάπη γιὰ μένα, τὴ φιλοξενία, τὴ φιλικὴ διάθεση, τὴν τόση περιποίηση καὶ φροντίδα ποὺ ἔδειξες μὲ ὅλα ὅσα ἔκανες, ἀπολαμβάνω μὲ τὴ μνήμη μου τὴν εὐγένειά σου καὶ διακηρύσσω πρὸς ὅλους τὴν εἰλικρινῆ καὶ χωρὶς δόλο διάθεσή σου. Γι' αὐτὸ καὶ ἐπιθυμῶ νὰ παίρνω γράμματα τῆς εὐγένειάς σου καὶ σὲ παρακαλῶ νὰ μοῦ γράφεις συχνὰ καὶ νὰ μοῦ ἀναγγέλλεις τὰ εὐχάριστα τῆς ὑγείας σου, γιὰ νὰ παίρνω καὶ ἀπὸ αὐτὸ πολλὴ παρηγοριά,

τὰ περὶ τῆς ρώσεως τῆς σῆς. Πάνυ γὰρ ἡμῖν τοῦτο περισπούδαστον εἰδέναι.

Μὴ τοίνυν ἀποστερήσῃς ἡμᾶς ταύτης τῆς εὐφροσύνης, ἀλλ' ὁσάκις ἂν ἐξῇ γράφε, ταῦτα εὐαγγελιζόμενος.

ΡΟΒ'

ΕΛΛΑΔΙΩι

Ὀλίγα μέν σοι συνεγενόμεθα, πολλὴν δὲ τὴν πεῖράν σου τῆς γνησίας καὶ θερμῆς εἰλήφαμεν ἀγάπης. Καὶ γὰρ αἱ γενναῖαι ψυχαὶ ἐν βραχεῖ καιρῷ τοὺς ἐντυγχάνοντας χειροῦνται, ὃ δὴ καὶ αὐτὸς πεποίηκας, ἐν ὀλίγῳ σφοδροὺς ἡμᾶς ποιήσας ἐραστὰς τῆς εὐγενείας τῆς σῆς. Διὸ καὶ ἐπιστέλλομεν καὶ τὰ καθ' ἡμᾶς αὐτοὺς δηλοῦμεν, ὅτι ἐν ἡσυχίᾳ καὶ ἀπραγμοσύνῃ διάγομεν πολλῇ, πάντων ἡμᾶς ἐνταῦθα θεραπευόντων μετὰ σπουδῆς καὶ μετὰ πολλῆς ὁρώντων τῆς εὐνοίας. Ἵν' οὖν καὶ τὰ ὑμέτερα μανθάνοντες εὐφραινώμεθα, συνεχῶς ἡμῖν ἐπιστέλλειν μὴ κατόκνει καὶ τὰ περὶ τῆς ὑγείας τῆς σῆς εὐαγγελίζεσθαι, ἵνα καὶ ἐκ τούτου πολλὴν καρπωσώμεθα τὴν παράκλησιν, τοιαῦτα παρὰ τῆς σῆς εὐγενείας δεχόμενοι γράμματα.

ΡΟΓ'

ΕΥΗΘΙΩι

Εἰ καὶ τῷ σώματι κεχωρίσμεθά σου τῆς εὐγενείας, ἀλλὰ τῇ ἀγάπῃ συνεδεδέμεθά σου τῇ ψυχῇ. Τοιαῦτα ἐνέχυρα φιλίας ἡμῖν ἐναπέθου, πολλὴν περὶ ἡμᾶς τὴν θεραπείαν καὶ τὴν διάθεσιν ἐπιδειξάμενος αὐτόθι. Διὰ τοῦτο ὅπουπερ ἂν ἐφικνώμεθα, οὐ παυόμεθα χάριτας ὁμολογοῦντες τῇ εὐγενείᾳ τῇ σῇ. Καὶ σὲ παρακαλοῦμεν συνεχῶς ἡμῖν καὶ αὐτὸν ἐπιστέλλειν καὶ τὰ περὶ τῆς ὑγείας τῆς σῆς εὐαγγελίζεσθαι. Ἡμεῖς γὰρ τὴν ὁδὸν ἅπασαν ἀπραγμόνως καὶ μετὰ ἀσφαλείας διανύσαντες ἐν τῇ Κουκουσῷ διατρίβομεν, ἐντρυφῶντες τῇ ἡσυχίᾳ τοῦ χωρίου καὶ τῇ ἀπραγμοσύνῃ καὶ πολλῆς ἀπολαύοντες θεραπείας τε καὶ εὐνοίας.

μαθαίνοντας τὴν κατάσταση τῆς ὑγείας σου. Γιατὶ εἶναι πολὺ σπουδαῖο γιὰ μένα νὰ τὸ γνωρίζω αὐτό.

Μὴ μοῦ στερήσεις λοιπὸν αὐτὴ τὴ χαρά, ἀλλὰ ὅποτε μπορεῖς γράφε μου, κάνοντάς μου γνωστὰ αὐτὰ τὰ εὐχάριστα.

172

ΣΤΟΝ ΕΛΛΑΔΙΟ

Λίγο βέβαια σὲ συναναστράφηκα, ἀλλὰ ἀπέκτησα μεγάλη πείρα τῆς γνήσιας καὶ θερμῆς σου ἀγάπης. Γιατὶ πράγματι οἱ γενναῖες ψυχὲς σὲ σύντομο χρονικὸ διάστημα αἰχμαλωτίζουν αὐτοὺς ποὺ συναναστρέφονται, πρᾶγμα ποὺ ἔκανες καὶ σὺ κάνοντάς με μέσα σὲ λίγο χρόνο σφοδρὸ ἐραστὴ τῆς εὐγένειάς σου. Γι' αὐτὸ καὶ γράφω καὶ σὲ πληροφορῶ τὰ δικά μου, ὅτι δηλαδὴ ζῶ μὲ πολλὴ ἡσυχία καὶ ἀμεριμνησία, ἀφοῦ ὅλοι ἐδῶ μὲ ἐξυπηρετοῦν μὲ ζῆλο καὶ μὲ βλέπουν μὲ πολλὴ συμπάθεια. Γιὰ νὰ χαίρομαι ὅμως μαθαίνοντας καὶ τὰ δικά σου, μὴ ἀμελεῖς νὰ μοῦ γράφεις συχνὰ καὶ νὰ μὲ πληροφορεῖς τὰ καλὰ τῆς ὑγείας σου, γιὰ νὰ δοκιμάζω καὶ ἀπὸ αὐτὸ μεγάλη ἀνακούφιση, παίρνοντας τέτοια γράμματα ἀπὸ τὴν εὐγένειά σου.

173

ΣΤΟΝ ΕΥΗΘΙΟ

Ἂν καὶ εἶμαι σωματικὰ χωρισμένος ἀπὸ τὴν εὐγένειά σου, ἀλλὰ μὲ τὴν ἀγάπη εἶμαι μαζί σου ψυχικὰ συνδεδεμένος. Τέτοια ἐχέγγυα φιλίας μοῦ ἐναπόθεσες μὲ τὴν πολλὴ περιποίηση καὶ φροντίδα ποὺ ἔδειξες ἐκεῖ γιὰ μένα. Γι' αὐτό, ὅπου καὶ ἂν πηγαίνω δὲν παύω νὰ εὐγνωμονῶ τὴν εὐγένειά σου. Καὶ σὲ παρακαλῶ νὰ μοῦ γράφεις συνεχῶς καὶ νὰ μὲ πληροφορεῖς τὰ καλὰ τῆς ὑγείας σου. Ὅσο γιὰ μένα, ἀφοῦ διανύσαμε ὅλο τὸ δρόμο χωρὶς προβλήματα καὶ μὲ ἀσφάλεια, ζῶ στὴν Κουκουσό, ἀπολαμβάνοντας τὴν ἡσυχία τοῦ χωριοῦ καὶ τὴν ἀμεριμνησία καὶ ἔχοντας πολὺ περιποίηση καὶ συμπάθεια.

Ἵν' οὖν καὶ περὶ τῆς ρώσεως τῆς ὑμετέρας μανθάνοντες εὐφραινώμεθα, πυκνὰ καὶ συνεχῆ πέμπειν ἡμῖν τὰ γράμμματα σπούδασον, εὐαγγελιζόμενα ἡμᾶς περὶ τῆ ὑγείας τῆς σῆς καὶ τοῦ οἴκου σου παντός. Οὕτω γὰρ μεγίστην ἀνεῦθεν καρπωσόμεθα τὴν παράκλησιν.

ΡΟΔ'

ΤΟΙΣ ΕΝ ΧΑΛΚΗΔΟΝΙ ΕΓΚΕΚΛΕΙΣΜΕΝΟΙΣ ΕΠΙΣΚΟΠΟΙΣ, ΠΡΕΣΒΥΤΕΡΟΙΣ ΤΕ ΚΑΙ ΔΙΑΚΟΝΟΙΣ

Μακάριοι καὶ τῶν δεσμῶν ὑμεῖς καὶ τῆς γνώμης, μεθ' ἧς φέρετε τὰ δεσμά, ἀποστολικὴν ἀνδρείαν ἐν τούτοις ἐπιδεικνύμενοι· ἐπὶ κἀκεῖνοι καὶ μαστιγούμενοι καὶ ἐλαυνόμενοι καὶ δεσμούμενοι, μετὰ πολλῆς ταῦτα ἔφερον τῆς ἡδονῆς, οὐ μόνον δὲ μετὰ πολλῆς ἔφερον ἡδονῆς, ἀλλὰ καὶ τὰ αὐτῶν ἐποίουν ἐν ταῖς ἁλύσεσιν ὄντες καὶ τὴν οἰκουμένην μεριμνῶντες ἅπασαν.

Διὸ δὴ παρακαλῶ τὴν ὑμετέραν ἀγάπην μηδὲν ἐντεῦθεν ἀναπεσεῖν, ἀλλ', ὅσῳ πλείων ὑμῖν ἡ ὀδύνη γίνεται ἐξ ὧν πάσχετε, πλείονα καὶ τὴν προθυμίαν ἐπιδείξασθαι, καὶ καθ' ἑκάστην ἡμέραν μεριμνᾷν ὑπὲρ τῶν κατὰ τὴν οἰκουμένην Ἐκκλησιῶν, ὅπως ἂν γένοιτό τις διόρθωσις ἡ προσήκουσα, μηδὲ εἰς τὴν ὀλιγότητα ὑμῶν ἀπιδόντες, καὶ τῷ περιελαύνεσθαι πανταχόθεν, ὑπτιώτεροι γένησθε. Δι' ὧν γὰρ πάσχετε, μείζονα τὴν παρὰ τῷ Θεῷ παρρησίαν κτώμενοι, πλείονα εὔδηλον ὅτι καὶ τὴν δύναμιν ἕξετε.

Χρήσασθε τοίνυν εἰς καιρὸν τῇ προθυμίᾳ καὶ δι' ἑαυτῶν καὶ δι' ἑτέρων, ὧν ἂν οἷόν τε ᾖ, ταῦτα καὶ πρᾶξαι καὶ εἰπεῖν σπουδάσατε, ἵνα τὸ κατέχον κλυδώνιον καταστεῖλαι δυνήσεσθε. Μάλιστα μὲν γὰρ ἔσται τι καὶ πλέον σπουδαζόντων ὑμῶν, εἰ δ' ἄρα μηδὲν γένοιτο πλέον, τῆς προθυμίας καὶ τῆς γνώμης ἕξετε παρὰ τοῦ φιλανθρώπου Θεοῦ τὸν μισθόν.

---

1. Παρόμοια ἐπιστολὴ εἶναι καὶ ἐκείνη ποὺ ἀπευθύνεται «τοῖς ἐγκεκλεισμένοις ἐπισκόποις, πρεσβυτέροις καὶ διακόνοις ἐν δεσμωτηρίῳ δι' εὐσέβειαν» . Μᾶλλον πρόκειται γιὰ τὰ ἴδια πρόσωπα, ἂν καὶ στὴν πρώτη περίπτωση δὲν ἀναφέρεται ὡς τόπος φυλακίσεώς τους ἡ Χαλκηδόνα.

Γιὰ νὰ χαίρομαι λοιπὸν μαθαίνοντας καὶ γιὰ τὴν ὑγεία σου, φρόντισε νὰ μοῦ στέλνεις πυκνὰ καὶ συνεχῆ γράμματα, ποὺ νὰ μοῦ φέρνουν τὴν εὐχάριστη ἀγγελία τῆς ὑγείας τῆς δικῆς σου καὶ ὁλόκληρου τοῦ σπιτιοῦ σου. Γιατὶ ἔτσι θὰ δοκιμάζω μεγάλη ἀνακούφιση ἀπὸ αὐτό.

174

ΠΡΟΣ ΤΟΥΣ ΕΠΙΣΚΟΠΟΥΣ, ΠΡΕΣΒΥΤΕΡΟΥΣ ΚΑΙ ΔΙΑΚΟΝΟΥΣ, ΤΟΥΣ ΦΥΛΑΚΙΣΜΕΝΟΥΣ ΣΤΗ ΧΑΛΚΗΔΟΝΑ[1]

Μακάριοι ἐσεῖς καὶ γιὰ τὰ δεσμὰ καὶ γιὰ τὴ διάθεση μὲ τὴ ὁποία ὑπομένετε τὰ δεσμά, δείχνοντας μ' αὐτὰ ἀποστολικὴ ἀνδρεία. Γιατὶ καὶ ἐκεῖνοι καὶ ὅταν μαστιγώνονταν καὶ ὅταν διώκονταν καὶ ὅταν φυλακίζονταν, τὰ ὑπέμεναν ὅλα μὲ πολλὴ εὐχαρίστηση. Καὶ ὄχι μόνο τὰ ὑπέμεναν μὲ πολλὴ εὐχαρίστηση, ἀλλὰ καὶ τὶς δικές τους ὑποχρεώσεις ἐκπλήρωναν, ἂν καὶ ἦταν ἁλυσοδεμένοι, καὶ γιὰ τὴν οἰκουμένη φρόντιζαν ὁλόκληρη.

Γι' αὐτὸ λοιπὸν παρακαλῶ τὴν ἀγάπη σας νὰ μὴ ἀποθαρρύνεσθε ἀπὸ αὐτά, ἀλλά, ὅσο μεγαλύτερη γίνεται ἡ θλίψη σας ἀπὸ αὐτὰ ποὺ ὑποφέρετε, τόσο πιὸ μεγάλη προθυμία νὰ δείχνετε καὶ νὰ φροντίζετε κάθε μέρα γιὰ τὶς Ἐκκλησίες τῆς οἰκουμένης, ὥστε νὰ ἐπιτευχθεῖ κάποια διόρθωση, αὐτὴ ποὺ πρέπει, οὔτε ἐπηρεαζόμενοι ἀπὸ τὸ ὅτι εἶσθε λίγοι καὶ ὅτι διώκεσθε ἀπὸ παντοῦ νὰ γίνεσθε ἀδρανεῖς. Γιατὶ μὲ αὐτὰ ποὺ ὑποφέρετε, ἀποκτώντας μεγαλύτερη παρρησία ἐνώπιον τοῦ Θεοῦ, εἶναι φανερὸ ὅτι θὰ ἔχετε καὶ περισσότερη δύναμη.

Χρησιμοποιῆστε λοιπὸν στὸν κατάλληλο καιρὸ τὴν προθυμία καὶ τὴ δική σας, ἀλλὰ καὶ ἄλλων, ὅσων εἶναι δυνατόν, καὶ φροντίστε αὐτὰ καὶ νὰ τὰ κάνετε καὶ νὰ τὰ πεῖτε, γιὰ νὰ μπορέσετε νὰ καθησυχάσετε τὴν ἀναταραχὴ ποὺ ἐπικρατεῖ. Καὶ ὁπωσδήποτε θὰ ἐπιτευχθεῖ κάτι περισσότερο ἐφόσον προσπαθήσετε. Ἀλλὰ καὶ τίποτε περισσότερο νὰ μὴ γίνει, γιὰ τὴν προθυμία καὶ τὴ διάθεσή σας θὰ ἔχετε τὴν ἀνταμοιβή σας ἀπὸ τὸν φιλάνθρωπο Θεό.

ΡΟΕ'

ΑΓΑΠΗΤΩι

Πολλοὺς καὶ συνεχεῖς ἱδρῶτας ἵδρωσεν ὁ κύριός μου ὁ εὐλαβέστατος καὶ τιμιώτατος πρεσβύτερος Ἐλπίδιος, τοὺς τὸ ὄρος οἰκοῦντας, τὸ Ἀμανὸν λέγω, σπουδάζων ἀπαλλάξαι τῆς κατεχούσης αὐτοὺς ἀσεβείας. Καὶ ἀπήλλαξε καὶ μετέθηκεν αὐτοὺς ἀπὸ τῆς πλάνης, καὶ ἐκκλησίας ᾠκοδόμησε καὶ μοναστήρια συνεστήσατο, καὶ ἔξεστι ταῦτα τῇ εὐγενείᾳ σου καὶ παρ' ἑτέρων μανθάνειν. Ἐπεὶ οὖν οἶδα ὅτι τῶν εὐλαβῶν ἀνδρῶν καὶ γενναίων σφόδρα γέγονας ἐραστής, εἰδὼς ὅτι σοι χαριοῦμαι γνώριμον ποιῶν τὸν τοσαῦτα κατωρθωκότα, ὁμοῦ καὶ προσειπεῖν σε δι' ἑκάστης προφάσεως ἐπειγόμενος, προστέθεικα ταῦτα τὰ γράμματα, τήν τε ὀφειλομένην πρόσρησιν ἀποδιδοὺς καὶ τὸν ἄνδρα παρακατατιθέμενός σου τῇ εὐγενείᾳ.

Ἰδὼν τοίνυν αὐτὸν ὥς σοι πρέπον ἐστί, δέσποτά μου τιμιώτατε καὶ θαυμασιώτατε, δεῖξον αὐτῷ διὰ τῶν ἔργων, ὡς οὐ μάτην οὐδὲ εἰκῇ ταύτην ἦλθεν ἔχων παρ' ἡμῶν τὴν ἐπιστολήν, ἀλλ' ἴσχυσε ταυτὶ τὰ γράμματα πολλῆς αὐτὸν ποιῆσαι ἀπολαῦσαι εὐνοίας τε καὶ ἀγάπης. Οὕτω γὰρ καὶ ἡμεῖς χάριν πολλὴν ὁμολογήσομεν τῇ ἀγχινοίᾳ τῇ σῇ, ὅτι, καὶ ἐκ τοσούτου καθήμενοι διαστήματος, ἀπὸ τῆς ἐπιστολῆς δυνάμεθα συνάπτειν σου τῇ ἀγάπῃ γνησίως τοὺς ἐπιθυμοῦντας αὐτῆς ἀπολαύειν, ὧν εἷς οὗτός ἐστι, σφοδρὸς ἐραστὴς ὢν σου τῆς κοσμιότητος· διὸ καὶ μετὰ πολλῆς τῆς σπουδῆς ταύτην παρ' ἡμῶν ᾔτησε τὴν ἐπιστολήν.

ΡΟΣ'

ΗΣΥΧΙΩι

Ἡμεῖς ἐπιθυμοῦμεν καὶ παρόντα σε θεάσασθαι καὶ τῆς γλυκυτάτης καὶ ἡδίστης σου ἀπολαῦσαι συνουσίας. Ἀλλ' ἐπειδὴ τοῦτο ἐρ-

---

1. Συστατικὴ ἐπιστολὴ γιὰ τὸν πρεσβύτερο Ἐλπίδιο, ὁ ὁποῖος ἐπέστρεψε ἀπὸ ἱεραποστολή, κατὰ τὴν ὁποία ἐργάστηκε, ὅπως φαίνεται ἀπὸ τὴν ἐπιστολή, μὲ ζῆλο

175

ΣΤΟΝ ΑΓΑΠΗΤΟ

Πολλοὺς καὶ συνεχεῖς ἱδρῶτες ἔχυσε ὁ εὐλαβέστατος καὶ ἐντιμότατος κύριός μου, ὁ πρεσβύτερος Ἐλπίδιος, προσπαθώντας νὰ ἐλευθερώσει αὐτοὺς ποὺ κατοικοῦν τὸ ὄρος Ἀμανὸν ἀπὸ τὴν ἀσέβεια ποὺ τοὺς ἔχει κυριέψει. Καὶ τοὺς ἐλευθέρωσε καὶ τοὺς ἀπέσπασε ἀπὸ τὴν πλάνη καὶ ἐκκλησίες ἔκτισε καὶ μοναστήρια ἵδρυσε, καὶ μπορεῖ ἡ εὐγένειά σου νὰ τὰ πληροφορηθεῖ αὐτὰ καὶ ἀπὸ ἄλλους. Ἐπειδὴ λοιπὸν γνωρίζω ὅτι ἔγινες μεγάλος ἐραστὴς τῶν εὐλαβῶν καὶ γενναίων ἀνδρῶν, ξέροντας ὅτι θὰ σὲ χαροποιήσω καθιστώντας σου γνωστὸν αὐτὸν ποὺ τόσα πράγματα κατόρθωσε, ἀλλὰ καὶ ἐπειδὴ βιαζόμουν μὲ κάθε πρόφαση νὰ σὲ χαιρετίσω, πρόσθεσα καὶ αὐτὰ τὰ γράμματα, ἀποδίδοντάς σου τὸν ὀφειλόμενο χαιρετισμὸ καὶ κάνοντας γνωστὸ τὸν ἄνδρα αὐτὸν στὴν εὐγένειά σου.

Ἀφοῦ λοιπὸν τὸν δεῖς ὅπως ταιριάζει σὲ σένα, ἐντιμότατε καὶ θαυμασιώτατε δεσπότη μου, δεῖξε του ἐμπράκτως ὅτι δὲν ἦρθε ἐκεῖ ἄδικα καὶ ἄσκοπα φέροντας τὴν ἐπιστολή μου, καὶ ὅτι αὐτὰ ἐδῶ τὰ γράμματα ἦταν ἀρκετὰ νὰ τὸν κάνουν νὰ βρεῖ πολλὴ φιλία καὶ ἀγάπη. Ἔτσι καὶ ἐγὼ θὰ χρεωστῶ μεγάλη χάρη στὴ σύνεσή σου, γιατί, ἂν καὶ βρίσκομαι σὲ τόσο μακρινὴ ἀπόσταση, μὲ τὴν ἐπιστολὴ μπορῶ νὰ συνδέσω μὲ τὴν ἀγάπη σου αὐτοὺς ποὺ ἐπιθυμοῦν εἰλικρινὰ νὰ τὴν ἀπολαύσουν, ἕνας ἀπὸ τοὺς ὁποίους εἶναι καὶ αὐτός, ποὺ εἶναι σφοδρὸς ἐραστὴς τῆς σεμνότητάς σου. Γι' αὐτὸ καὶ μὲ πολλὴ λαχτάρα ζήτησε τὴν ἐπιστολὴ αὐτὴ ἀπὸ μένα[1].

176

ΣΤΟΝ ΗΣΥΧΙΟ

Ἐγὼ ἐπιθυμῶ νὰ σὲ δῶ καὶ παρόντα καὶ νὰ χαρῶ τὴ γλυκειὰ καὶ εὐχάριστη συντροφιά σου, ἀλλ' ἐπειδὴ αὐτὸ εἶναι δύσκολο, καὶ

ἀλλὰ καὶ ἀποτελεσματικότητα. Ὁ ἴδιος ὁ Ἐλπίδιος εἶναι καὶ ὁ κομιστὴς τῆς ἐπιστολῆς αὐτῆς στὸν Ἀγαπητό.

γῶδες καὶ διὰ τὴν τῆς ὁδοῦ δυσκολίαν καὶ διὰ τὴν τῶν πραγμάτων ἀσχολίαν καὶ τὴν τοῦ σώματος ἀσθένειαν, τὴν ἀπὸ τῶν γραμμάτων ζητοῦμεν παράκλησιν, ἣν οὔτε σώματος ἀρρωστία, οὐδὲ ὁδοῦ τραχύτης διακωλῦσαι δύναται. Δίδου δὴ τὴν χάριν ἡμῖν κούφην τε οὖσαν καὶ ἀνεπαχθῆ καὶ πολλὴν κομίζουσαν ἡμῖν τὴν ἡδονὴν καὶ οὐ μικρὸν τῆς ἀθυμίας, τῆς ἐκ τοῦ σωματικοῦ χωρισμοῦ, ὑποτεμνομένην. Ἂν γὰρ ταύτης ἀπολαύσωμεν τῆς παρακλήσεως, καὶ πλησίον ἡγησόμεθα εἶναι καὶ ἀεὶ μετὰ τῆς τιμιότητός σου. Ἀρκεῖ μὲν γὰρ καὶ ἡ ἀγάπη τοῦτο ποιῆσαι, πλείονα δὲ αὐτὴ ἡ φαντασία λαμβάνει προσθήκην, ὅταν καὶ τὴν ἀπὸ τῶν γραμμάτων ἔχῃ συμμαχίαν.

ΡΟΖ'

ΑΡΤΕΜΙΔΩΡΩι

Πολλῆς ἐνόμισεν ἀπολαύσεσθαι εὐνοίας ὁ κύριός μου Ἀντίοχος, εἰ μετὰ γραμμάτων ἡμετέρων φανείη τῇ ἐμμελείᾳ τῇ σῇ. Δεῖξον τοίνυν, δέσποτά μου τιμιώτατε, ὡς οὐ τηνάλλως ταῦτα ἐνόμισε, καὶ δεξάμενος αὐτὸν μετὰ τῆς σοὶ προσηκούσης εὐνοίας, ἄν τι δίκαιον νομίζῃ καὶ λόγον ἔχον, ἕτοιμον σεαυτὸν αὐτῷ παρασχεῖν παρακλήθητι, καὶ δεῖξον διὰ τῶν ἔργων αὐτῷ ὡς οὐ μάτην οὐδὲ εἰκῇ ταύτην ἦλθε φέρων παρ' ἡμῶν τὴν ἐπιστολήν, ἀλλὰ γέγονέ τι πλέον αὐτῷ εἰς εὐνοίας καὶ συμμαχίας δικαίας λόγον ἀπὸ τῶν γραμμάτων τῶν ἡμετέρων. Οὕτω γὰρ ἀπολαύσεται μὲν τῆς εὐεργεσίας οὗτος, καρπώσομαι δὲ ἐγὼ τιμὴν δι' ὧν καὶ οὗτος τῆς εὐεργεσίας ἀπήλαυσε.

ΡΟΗ'

ΕΥΘΑΛΙΑι

Σφόδρα γνησίας καὶ θερμῆς ἀγάπης ἀνακέχρωσταί σου τὰ γράμματα, εἰλικρινοῦς καὶ ἀδόλου διαθέσεως. Διὰ ταῦτά σοι πολλὰς χάριτας ὁμολογοῦμεν καὶ ὅτι γράφεις καὶ ὅτι τῆς γνησίας σου φιλίας

---

1. Κι' ἄλλη συστατικὴ ἐπιστολὴ τοῦ ἰ. Χρυσοστόμου γιὰ τὸν Ἀντίοχο, τὴν ὁποία ὁ ἴδιος κομίζει στὸν παραλήπτη Ἀρτεμίδωρο.

ἐξαιτίας τῆς δυσκολίας τοῦ δρόμου καὶ ἐξαιτίας τῆς ἀπασχολήσεώς μου μὲ τὴ κατάσταση καὶ ἐξαιτίας τῆς σωματικῆς μου ἀσθένειας, ζητῶ παρηγοριὰ μὲ τὰ γράμματα, τὴν ὁποία οὔτε ἡ ἀρρώστια τοῦ σώματος οὔτε ἡ τραχύτητα τοῦ δρόμου μπορεῖ νὰ παρεμποδίσει. Κάνε μου λοιπὸν τὴ χάρη αὐτὴ ποὺ εἶναι ἐλαφριὰ καὶ ἄκοπη καὶ μοῦ παρέχει πολλὴ εὐχαρίστηση καὶ δὲν μειώνει λίγο τὴ λύπη ποὺ μοῦ προκαλεῖ ὁ σωματικὸς χωρισμός μας. Γιατί, ἂν δεχθῶ αὐτὴ τὴν παρηγοριά, θὰ νομίσω ὅτι βρίσκομαι κοντὰ καὶ πάντοτε μαζὶ μὲ τὴν ἐντιμότητά σου. Αὐτὸ βέβαια μπορεῖ νὰ τὸ κάνει καὶ ἡ ἀγάπη, ὅμως αὐτὴ ἡ ψυχικὴ ἱκανότητα ἐνισχύεται περισσότερο, ὅταν ἔχει καὶ τὴ βοήθεια τῶν γραμμάτων.

177

ΣΤΟΝ ΑΡΤΕΜΙΔΩΡΟ

Ὁ κύριός μου Ἀντίοχος νόμισε ὅτι θὰ τύχει ἰδιαίτερη συμπάθεια, ἐὰν ἐμφανισθεῖ στὴ χάρη σου μὲ δικά μου γράμματα. Δεῖξε του λοιπόν, ἐντιμότατε δεσπότη μου, ὅτι δὲν τὰ ἔφερε ἄσκοπα, καὶ ἀφοῦ τὸν δεχθεῖς μὲ τὴ συμπάθεια ποὺ ταιριάζει σὲ σένα, ἂν νομίζει ὅτι κάτι εἶναι δίκαιο καὶ λογικό, σὲ παρακαλῶ νὰ εἶσαι ἕτοιμος νὰ τοῦ τὸ δώσεις, καὶ δεῖξε του ἐμπράκτως ὅτι δὲν ἦρθε ἄδικα καὶ ἄσκοπα φέρνοντας τὴν ἐπιστολή μου, ἀλλὰ ὅτι μὲ τὰ δικά μου γράμματα τοῦ ἔγινε κάτι περισσότερο ἀπὸ πλευρᾶς συμπάθειας καὶ δίκαιας βοήθειας. Γιατὶ ἔτσι καὶ αὐτὸς θὰ εὐεργετηθεῖ, ἀλλὰ καὶ ἐγὼ θὰ κερδίσω σεβασμὸ μὲ αὐτὰ ποὺ καὶ αὐτὸς εὐεργετήθηκε[1].

178

ΣΤΗΝ ΕΥΘΑΛΙΑ

Τὰ γράμματά σου εἶναι χρωματισμένα μὲ πολλὴ γνήσια καὶ θερμὴ ἀγάπη καὶ μὲ εἰλικρινῆ καὶ ἄδολη διάθεση. Γι' αὐτὸ σοῦ ἐκφράζω τὴν εὐγνωμοσύνη μου, καὶ γιὰ τὸ ὅτι μοῦ γράφεις καὶ γιὰ τὸ

τῆς περὶ ἡμᾶς μέγιστον δεῖγμα ἐκφέρεις. Ὁ Θεός σοι τὸν μισθὸν δῴη τῆς τοιαύτης διαθέσεως καὶ ἐνταῦθα καὶ ἐν τῷ μέλλοντι αἰῶνι, καὶ τειχίσειέ σε καὶ φρουρήσειε καὶ ἐν πάσῃ καταστήσειεν ἀσφαλείᾳ καὶ εὐθυμίᾳ. Οἶσθα γὰρ αὐτή, κυρία μου τιμιωτάτη, ὡς οὐ μικρὰν ἡμῖν εὐφροσύνην φέρει, καὶ ταῦτα ἐν ἐρημίᾳ καθημένοις, τὸ συνεχῶς ἀκούειν κατὰ νοῦν σοι τὰ πράγματα φέρεσθαι. Ταῦτα δὴ δήλου συνεχῶς ἡμῖν, καὶ μὴ διαλείπῃς περὶ τῆς ὑγιείας τῆς σῆς εὐαγγελιζομένη, ἵνα, καὶ ἐν ἐρημίᾳ καθήμενοι, πολλὴν ἐντεῦθεν καρπωσώμεθα τὴν παράκλησιν.

ΡΟΘ'

ΑΔΟΛΙΑ[1]

Τὸ μὲν παραγενέσθαι ἴσως ἐργῶδες διὰ τὴν τοῦ σώματος ἀσθένειαν (οὐδὲν γὰρ ἕτερον κώλυμα, τὰ γὰρ τῶν ληστῶν πάντα πέπαυται), τὸ δὲ γράφειν ποῖον ἔχει πόνον; Οὐ γὰρ δὴ καὶ ἐνταῦθα εἰς ἐκεῖνο καταφυγεῖν ἔχεις. Ταῦτα δὲ λέγω, ὅτι ἕκτην, ὡς ἔγωγε οἶμαι, ταύτην διαπεμψάμενος τὴν ἐπιστολήν, δύο μόνας ἐδεξάμην παρὰ τῆς εὐγενείας τῆς σῆς. Πλὴν ἀλλὰ ἄν τε γράφῃς, ἄν τε σιγᾷς, ἡμεῖς τὰ ἑαυτῶν ποιοῦντες οὐ διαλιμπάνομεν. Οὐ γὰρ δυνησόμεθα ἐπιλαθέσθαι σου τῆς ἀρχαίας ἐκείνης καὶ γνησίας φιλίας, ἀλλ' ἀνθοῦσαν αὐτὴν διηνεκῶς διατηροῦμεν καί, ἡνίκα ἂν ἐξῇ, γράφομεν. Ἐπειδὴ δὲ σφόδρα μεριμνῶμεν τὰ σά, σφόδρα ἐπιθυμοῦμεν καὶ γράμματα παρὰ σοῦ δέχεσθαι, περὶ τῆς ὑγιείας ἡμῖν εὐαγγελιζόμενα τῆς σῆς.

Μὴ δὴ ταύτης ἡμᾶς ἀποστέρει τῆς παραμυθίας, ἀλλ' εἰδυῖα ὅσον χαρίζῃ, κἂν ἐπίπονόν σοι ᾖ τὸ γράφειν, δι' ἡμᾶς τοὺς σφόδρα σε ἀγαπῶντας καὶ τοῦτον καταδέχου τὸν πόνον, καὶ δήλου τὰ περὶ τῆς ῥώσεως ἡμῖν τῆς σῆς, σφόδρα ἐπιθυμοῦσι καθ' ἑκάστην ἡμέραν περὶ ταύτης μανθάνειν.

---

1. Οἱ ἐπιστολὲς ποὺ σώζονται μὲ παραλήπτρια τὴν Ἀδολία εἶναι ὅλες–ὅλες ἕξι (33, 52, 57, 133, 179 καὶ 231). Ἐὰν δὲν ἔχει χαθεῖ καμμιά, τότε ἡ ἐπιστολὴ αὐτὴ

ὅτι δίνεις δεῖγμα τῆς γνήσιας φιλίας σου πρὸς ἐμένα. Εἴθε ὁ Θεὸς νὰ σοῦ ἀνταποδώσει τὸ μισθὸ γιὰ τὴ διάθεσή σου αὐτὴ καὶ ἐδῶ καὶ στὸν μέλλοντα αἰώνα, νὰ σὲ περιτειχίσει καὶ νὰ σὲ περιφρουρήσει καὶ νὰ σὲ ἔχει σὲ κατάσταση ἀσφάλειας καὶ ψυχικῆς γαλήνης. Γνωρίζεις ἀσφαλῶς, ἐντιμότατη κυρία μου, ὅτι δὲν μοῦ φέρνει λίγη χαρά, ἐδῶ στὴν ἐρημιὰ ποὺ βρίσκομαι, τὸ νὰ ἀκούω συνεχῶς ὅτι ἔχεις πάντοτε τὴν κατάσταση στὸ νοῦ σου. Αὐτὰ νὰ μοῦ τὰ ἀναφέρεις συνεχῶς καὶ νὰ μὴ παραλείπεις νὰ μοῦ στέλνεις τὴν εὐχάριστη εἴδηση τῆς ὑγείας σου, ὥστε καὶ ἐδῶ στὴν ἐρημιὰ ποὺ διαμένω νὰ δοκιμάζω ἀπὸ αὐτὸ πολλὴ παρηγοριά.

179

ΣΤΗΝ ΑΔΟΛΙΑ

Τὸ νὰ ἔρθεις ἐδῶ ἴσως εἶναι κοπιαστικὸ ἐξαιτίας τῆς σωματικῆς σου ἀσθένειας, γιατὶ δὲν ὑπάρχει ἄλλο κώλυμα, ἀφοῦ οἱ ἐπιθέσεις τῶν ληστῶν ἔχουν ὅλες σταματήσει, τὸ νὰ γράφεις ὅμως ποιό κόπο ἔχει; Γιατὶ δὲν μπορεῖς καὶ σ' αὐτὸ νὰ καταφύγεις σ' ἐκεῖνο. Καὶ τὰ λέω αὐτά, ἐπειδή, ὅπως ἐγὼ τοὐλάχιστον νομίζω, ἐνῶ σοῦ ἔστειλα ἔξι μ' αὐτὴν ἐδῶ ἐπιστολές[1], πῆρα μόνο δύο ἀπὸ τὴν εὐγένειά σου. Βέβαια ἐγώ, εἴτε γράφεις εἴτε σιωπᾶς, δὲν παραλείπω νὰ κάνω τὸ χρέος μου. Γιατὶ δὲ θὰ μπορέσω νὰ λησμονήσω τὴν παλιὰ ἐκείνη καὶ εἰλικρινῆ φιλία σου, ἀλλὰ τὴ διατηρῶ διαρκῶς ἀκμαία καί, ὅταν εἶναι δυνατό, σοῦ γράφω. Ὅμως, ἐπειδὴ ἐνδιαφέρομαι πάρα πολὺ γιὰ σένα, ἐπιθυμῶ πολὺ νὰ παίρνω ἀπὸ σένα καὶ γράμματα, ποὺ νὰ μοῦ φέρνουν τὴν εὐχάριστη εἴδηση τῆς ὑγείας σου.

Μὴ μοῦ στερεῖς λοιπὸν αὐτὴ τὴν παρηγορία, ἀλλά, γνωρίζοντας πόση χαρὰ μοῦ δίνεις, ἔστω καὶ ἂν τὸ νὰ γράφεις σοῦ κάνει κόπο, γιὰ μένα ποὺ σὲ ἀγαπῶ τόσο πολύ, δέξου καὶ αὐτὸν τὸν κόπο, καὶ κάνε γνωστὴ τὴν ὑγεία σου σ' ἐμένα ποὺ ἐπιθυμῶ πολὺ νὰ μαθαίνω καθημερινὰ γι' αὐτήν.

θὰ εἶναι ἡ τελευταία ποὺ στέλνει σ' αὐτήν, ἡ δὲ 232η προηγεῖται χρονικὰ ἀπὸ αὐτὴν ἐδῶ.

ΡΠ'

ΥΠΑΤΙΩι ΠΡΕΣΒΥΤΕΡΩι

Οὐ παύσομαι μακαρίζων σου τὴν τιμιότητα τῆς ὑπομονῆς, τῆς ἀνδρείας, τῆς καρτερίας τῆς πολλῆς, ἣν ἐπεδείξω καὶ ἐπιδείκνυσαι ἐν τοῖς πειρασμοῖς. Καὶ τοῦτο καὶ διὰ τῆς προτέρας ἐπιστολῆς ἐδήλωσα, ὅτι διπλοῦς καὶ τριπλοῦς σοι ὁ μισθὸς ὑπὲρ τούτων ἀπόκειται, ὑπέρ τε ὧν αὐτὸς τοσαύτην στερρότητα ἐπιδείκνυσαι καὶ ἑτέρους εἰς τὸν αὐτὸν ἄγεις ζῆλον, ἐν γήρᾳ οὕτω βαθεῖ τοσαύτην προθυμίαν ἐπιδεικνύμενος ὑπὲρ τοῦ διωκομένου λαοῦ. Καὶ ἐβουλόμην μὲν συνεχῶς ἐπιστέλλειν σου τῇ τιμιότητι, ἐπειδὴ δὲ τοῦτο οὐκ εὔκολον, διά τε τὴν τοῦ χειμῶνος ὥραν καὶ τὸν τῶν ληστῶν φόβον καὶ τὴν τοῦ χωρίου ἐρημίαν ἐν ᾧ καθήμεθα, ἡνίκα ἂν ἐξῇ, καὶ προσαγορεύομέν σου τὴν εὐλάβειαν καὶ αἰτοῦμεν συνεχῶς ἡμῖν ἐπιστέλλειν καὶ τὰ περὶ τῆς ὑγιείας τῆς σῆς εὐαγγελίζεσθαι· σφόδρα γὰρ ἐπιθυμοῦμεν τὰ περὶ ταύτης μανθάνειν. Μακαρίζομεν δὲ καὶ τοὺς τιμιωτάτους διακόνους Εὐσέβιον καὶ Λαμπρότατον, τοὺς κοινωνήσαντάς σοι τῶν διωγμῶν. Ἴστε γὰρ ἡλίκοι στέφανοι τούτων ὑμῖν ἀπόκεινται καὶ ὅσος ὁ μισθὸς καὶ ὅση ἡ ἀνταπόδοσις.

Ταῦτ' οὖν εἰδότες, μένετε ἑδραῖοι, ἀμετακίνητοι· τῆς τε γὰρ ὑπομονῆς δαψιλῆ τὸν μισθὸν ὁ Θεὸς ὑμῖν ἀποδώσει καὶ τὰ παρόντα ταχέως λύσει δεινά. Γράφετε δὲ ἡμῖν συνεχῶς, τὰ περὶ τῆς ὑγείας τῆς ὑμετέρας ἡμῖν εὐαγγελιζόμενοι, περὶ ἧς σφόδρα περισπούδαστον ἡμῖν μανθάνειν.

ΡΠΑ'

ΕΠΙΣΚΟΠΟΙΣ

Καὶ ἡ καταλαβοῦσα τὰς Ἐκκλησίας τὰς κατὰ τὴν Ἀνατολὴν ταραχὴ σφοδροτάτη καὶ ποικίλη, καὶ ἡ παρὰ τῆς εὐλαβείας ὑμῶν εἰσενεχθεῖσα εἰς τὴν διόρθωσιν ταύτης σπουδὴ πολλὴ καὶ δαψιλής. Εἰ δὲ μηδὲν μηδέπω γέγονε πλέον, τοὺς μὲν ἀνίατα νοσοῦντας καὶ μὴ διορθωθέντας ταλανίζομεν, ὑμᾶς δὲ θαυμάζοντες καὶ μακαρίζον-

180

ΣΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟ ΥΠΑΤΙΟ

Δὲ θὰ παύσω νὰ μακαρίζω τὴν ἐντιμότητα τῆς ὑπομονῆς, τῆς ἀνδρείας καὶ τῆς μεγάλης καρτερίας ποὺ ἔδειξες καὶ δείχνεις στοὺς πειρασμούς. Καὶ σοῦ δήλωσα αὐτὸ καὶ μὲ τὴν προηγούμενη ἐπιστολή μου, ὅτι σὲ περιμένει διπλάσιος καὶ τριπλάσιος μισθὸς γι' αὐτά, καὶ γιὰ ὅσα σὺ ὁ ἴδιος δείχνεις τόση σταθερότητα, ἀλλὰ καὶ ἄλλους ὁδηγεῖς στὸν ἴδιο ζῆλο, δείχνοντας σὲ τόσο βαθειὰ γηρατειὰ τόσο μεγάλη προθυμία γιὰ τὸν διωκόμενο λαό. Καὶ θὰ ἤθελα βέβαια νὰ γράφω συνεχῶς στὴν ἐντιμότητά σου, ὅμως ἐπειδὴ αὐτὸ δὲν εἶναι εὔκολο, ἐξαιτίας τῆς ἐποχῆς τοῦ χειμώνα καὶ τοῦ φόβου τῶν ληστῶν καὶ τῆς ἐρημιᾶς τοῦ χωριοῦ ὅπου διαμένω, ὅταν εἶναι δυνατὸ στέλνω χαιρετισμοὺς στὴν εὐλάβειά σου καὶ ζητῶ νὰ μοῦ γράφεις συνεχῶς καὶ νὰ μοῦ ἀναγγέλλεις τὰ εὐχάριστα τῆς ὑγείας σου, γιατὶ ἐπιθυμῶ πολὺ νὰ μαθαίνω γι' αὐτήν. Μακαρίζω ὅμως καὶ τοὺς ἐντιμότατους διακόνους Εὐσέβιο καὶ Λαμπρότατο, ποὺ συμμερίστηκαν μαζί σου τοὺς διωγμούς. Καὶ γνωρίζετε πόσο μεγάλα στεφάνια ἔχουν ἑτοιμασθεῖ γιὰ σᾶς καὶ πόση εἶναι ἡ ἀμοιβὴ καὶ ἡ ἀνταπόδοση.

Γνωρίζοντας λοιπὸν αὐτά, μένετε ἀσάλευτοι καὶ ἀμετακίνητοι· γιατὶ καὶ γιὰ τὴν ὑπομονὴ θὰ σᾶς δώσει πλουσιοπάροχο μισθὸ ὁ Θεὸς καὶ τὰ τωρινὰ δεινὰ θὰ τὰ διαλύσει. Γράφετέ μου ὅμως συνεχῶς, ἀναφέροντας τὰ εὐχάριστα τῆς ὑγείας σας, γιὰ τὴν ὁποία εἶναι σπουδαῖο γιὰ μένα νὰ μαθαίνω.

181

ΣΤΟΥΣ ΕΠΙΣΚΟΠΟΥΣ

Καὶ ἡ ἀναταραχὴ ποὺ κυρίεψε τὶς Ἐκκλησίες τῆς Ἀνατολῆς εἶναι πολὺ ἰσχυρὴ καὶ ποικιλόμορφη, ἀλλὰ καὶ ἡ προσπάθεια ποὺ καταβλήθηκε ἀπὸ τὴν εὐλάβειά σας γιὰ τὴν κατάπαυση τῆς ἀναταραχῆς αὐτῆς ἦταν μεγάλη καὶ πλουσιοπάροχη. Ἐὰν ὅμως δὲν ἔγινε ἀκόμα τίποτε πουθενά, ἐκείνους βέβαια ποὺ ἀσθενοῦν ἀθεράπευτα

τες οὐ διαλιμπάνομεν, ὅτι, μετὰ τοσοῦτον χρόνον τῶν πραγμάτων ἀδιορθώτων μεινάντων, οὐκ ἀπεκάμετε, οὐδὲ ὕπτιοι γεγόνατε, ἀλλὰ καὶ ἐπίκεισθε, ἔτι ἀκμαζούσῃ τῇ προθυμίᾳ τὴν παρ' ἑαυτῶν εἰσφέροντες συμμαχίαν, εἰς κρῖμα μὲν τῶν οὐκ ἐθελόντων ὑμῶν ἀνασχέσθαι, εἰς στεφάνους δὲ τῆς ὑμετέρας σπουδῆς καὶ βραβεῖα πολλά.

Διὰ ταῦτα ὑμᾶς καὶ ἡμεῖς καὶ πάντες οἱ κατὰ τὴν οἰκουμένην ἀνακηρύττουσι καὶ στεφανοῦσιν, ὅτι, ἐκ τοσούτου καθημένους διαστήματος, οὐ τῆς ὁδοῦ τὸ μῆκος, οὐ τοῦ χρόνου τὸ πλῆθος ῥαθυμοτέρους ἐποίησεν, ἀλλ', ὡς πλησίον ὄντες τῶν γενομένων, καὶ αὐταῖς ὄψεσιν ὁρῶντες τὰς γενομένας παρανομίας, οὕτως ἐρρωμενεστάτῃ προθυμίᾳ τὰ παρ' ἑαυτῶν εἰσφέρειν ἐσπουδάκατε. Εἰ δὲ μήπω τὴν ἄκαιρον φιλονεικίαν καὶ τὸν ἄλογον πόλεμον καταλύειν βούλονται οἱ ταῦτα ἐξ ἀρχῆς τεκόντες τὰ κακά, μηδὲν ὑμᾶς τοῦτο θορυβείτω, μήτε ἀποκάμνειν ποιείτω· ὅσῳ γὰρ ἂν πλείων ὁ πόνος ὑμῖν ἐγγένηται, τοσούτῳ καὶ μείζων ἔσται ὁ στέφανος, τοῦ Θεοῦ τὰς ἀρρήτους ὑμῖν καὶ ἀφάτους ἐκείνας καὶ λόγον ὑπερβαινούσας ὁρίζοντος ἀμοιβάς.

ΡΠΒ'

ΒΕΝΕΡΙΩι ΕΠΙΣΚΟΠΩι ΜΕΔΙΟΛΑΝΩΝ

Τὴν ἀνδρείαν ὑμῶν καὶ τὴν παρρησίαν καὶ τὴν ὑπὲρ τῆς ἀληθείας ἐλευθεροστομίαν καὶ πρότερον μὲν ἅπαντες ᾔδεσαν, ἔδειξε δὲ ἀκριβέστερον ὁ παρὼν καιρὸς τὴν φιλαδελφίαν, τὴν ἀγάπην, τὴν εὐλάβειαν, τὴν πολλὴν συμπάθειαν ὑμῶν, τὴν κηδεμονίαν τὴν ὑπὲρ τῶν Ἐκκλησιῶν. Ἐπεὶ καὶ κυβερνήτην ὁ χειμὼν μάλιστα δείκνυσι τῆς θαλάσσης, καὶ ἰατρὸν ἄριστον τὰ χαλεπὰ τῶν σωμάτων νοσήματα· οὕτω καὶ τὸν ἐν εὐλαβείᾳ ζῆν ἐσπουδακότα καὶ πολλὴν ἔχοντα ἀνδρείαν, ἡ τῶν καιρῶν δυσκολία. Ὃ δὴ καὶ ἐφ' ὑμῶν γέγονε, καὶ τό γε ὑμέτερον μέρος, ἅπαντα διώρθωται καὶ οὐδὲν ἐλλέλειπται. Ἀλλ' ἐπειδὴ οἱ τὰς ταραχὰς καὶ τεκόντες καὶ τίκτοντες εἰς τοῦτο

καὶ δὲ διορθώθηκαν τοὺς ἐλεεινολογοῦμε, ἐσᾶς ὅμως δὲν παραλείπουμε νὰ σᾶς θαυμάζουμε καὶ νὰ σᾶς μακαρίζουμε, διότι, ἂν καὶ μετὰ ἀπὸ τόσο χρονικὸ διάστημα ἡ κατάσταση ἔμεινε ἀδιόρθωτη, δὲν κουραστήκατε οὔτε ἐγκαταλείψατε τὸν ἀγώνα, ἀλλὰ ἐπιμένετε ἀκόμα προσφέροντας τὴ βοήθειά σας μὲ ἀκμαία διάθεση, πρᾶγμα ποὺ γιὰ ἐκείνους ποὺ δὲν θέλουν νὰ συναινέσουν μαζί σας ἀποτελεῖ καταδίκη, γιὰ τὴ δική σας ὅμως προθυμία φέρνει στεφάνια καὶ βραβεῖα πολλά.

Γι' αὐτὸ ἐγὼ ἀλλὰ καὶ ὅλοι τῆς οἰκουμένης σᾶς ἀνακηρύττουν καὶ σᾶς στεφανώνουν, γιατί, ἂν καὶ βρίσκεσθε σὲ τόση ἀπόσταση, οὔτε τὸ μῆκος τοῦ δρόμου, οὔτε τὸ μακρὸ χρονικὸ διάστημα σᾶς ἔκαναν πιὸ ράθυμους, ἀλλὰ σὰν νὰ βρισκόσασταν κοντὰ στὰ γεγονότα καὶ βλέπατε μὲ τὰ ἴδια σας τὰ μάτια τὶς παρανομίες ποὺ συνέβαιναν, σπεύσατε μὲ τόση ἀνδρεία προθυμία νὰ προσφέρετε ὅ,τι μπορούσατε. Ἐὰν ὅμως δὲν θέλουν νὰ σταματήσουν τὴν ἄκαιρη φιλονεικία καὶ τὸν παράλογο πόλεμο ἐκεῖνοι ποὺ ἀπὸ τὴν ἀρχὴ γέννησαν τὰ κακά, αὐτὸ καθόλου νὰ μὴ σᾶς ἀνησυχεῖ οὔτε νὰ σᾶς ἀποθαρρύνει. Γιατὶ ὅσο μεγαλύτερος γίνεται ὁ κόπος σας, τόσο μεγαλύτερο θὰ εἶναι καὶ τὸ στεφάνι, ἀφοῦ ὁ Θεὸς καθορίζει τὶς ἀπερίγραπτες καὶ ἄφατες ἐκεῖνες ἀμοιβὲς ποὺ ξεπερνοῦν κάθε λογική.

182

ΣΤΟΝ ΕΠΙΣΚΟΠΟ ΜΕΔΙΟΛΑΝΩΝ ΒΕΝΕΡΙΟ

Τὴν ἀνδρεία σας καὶ τὸ θάρρος καὶ τὴν εἰλικρίνεια γιὰ τὴν ἀλήθεια καὶ προηγουμένως τὴ γνώριζαν ὅλοι, ὁ τωρινὸς καιρὸς ὅμως ἔδειξε μὲ μεγαλύτερη ἀκρίβεια τὴ στοργή, τὴν ἀγάπη, τὴν εὐλάβεια, τὴ μεγάλη σας συμπάθεια καὶ τὴ μέριμνα γιὰ τὶς Ἐκκλησίες. Γιατὶ καὶ τὸν κυβερνήτη ἡ φουρτούνα τῆς θάλασσας κυρίως τὸν ἀναδεικνύει καὶ τὸν ἄριστο γιατρὸ τὰ βαρειὰ σωματικὰ νοσήματα· ἔτσι καὶ ἐκεῖνον ποὺ φροντίζει νὰ ζεῖ μὲ εὐλάβεια καὶ ἔχει πολλὴ ἀνδρεία τὸν ἀναδεικνύει ἡ δυσκολία τῶν περιστάσεων. Αὐτὸ ἀκριβῶς ἔγινε καὶ μὲ σᾶς, ἀφοῦ, ὅσο ἐξαρτῶνταν ἀπὸ σᾶς, ὅλα διορθώθηκαν καὶ τίποτε δὲν παραλείφθηκε. Ὅμως, ἐπειδὴ αὐτοὶ

ἦλθον παρανοίας, ὡς μὴ μόνον μὴ ἐγκαλύπτεσθαι τοῖς προτέροις, ἀλλὰ καὶ ἐπαγωνίζεσθαι ἐκείνοις, παρακαλῶ κοινῇ πάντας ὑμῶν ἐρρωμενεστάτῃ χρήσασθαι τῇ προθυμίᾳ καὶ μὴ καταλῦσαι τὴν τοσαύτην σπουδήν, ἀλλὰ καὶ προστιθέναι μειζόνως, κἂν μυρίαι δυσκολίαι παρεμπίπτωσιν. Οἱ γὰρ μετὰ πλειόνων ἱδρώτων καὶ πόνων μέγα τι καὶ γενναῖον κατορθοῦντες, τῶν ῥᾳδίως καὶ μετ' εὐκολίας τοῦτο ποιούντων πλείονα λήψονται τὸν μισθόν. «Ἕκαστος» γάρ, φησὶν ὁ μακάριος Παῦλος, «τὸν ἴδιον μισθὸν λήψεται, κατὰ τὸν ἴδιον κόπον».

Μὴ τοίνυν τὸ πολλὰ κεκμηκέναι ποιείτω ὑμᾶς ἀπαγορεύειν, ἀλλ' αὐτὸ δὴ τοῦτο μᾶλλον διεγειρέτω. Ὅσῳ γὰρ ἂν προσθήκην λάβῃ τὰ τῶν πειρασμῶν, τοσούτῳ μᾶλλον αὔξεται τὰ τῶν στεφάνων καὶ πλεονάζει τὰ ὑπὲρ τῶν καλῶν τούτων ὑμῖν ἀγώνων ἀποκείμενα βραβεῖα.

ΡΠΓ'

ΗΣΥΧΙΩι ΕΠΙΣΚΟΠΩι ΣΑΛΩΝΩΝ

Εἰ καὶ πολλῷ διειργόμεθα τῷ τῆς ὁδοῦ μήκει τῆς τιμιότητός σου καὶ πρὸς αὐτάς ἐσμεν τῆς οἰκουμένης τὰς ἐσχατιὰς ἀπῳκισμένοι, ἀλλ' ὅμως τῷ τῆς ἀγάπης πτερῷ χρώμενοι, κούφῳ τε ὄντι καὶ ῥᾳδίας τὰς τοιαύτας ἀποδημίας ἐργαζομένῳ, πλησίον τέ σού ἐσμεν καὶ σύνεσμέν σοι καὶ τὴν ὀφειλομένην τῶν γραμμάτων ἀποδιδόαμεν πρόσρησιν, καί σε παρακαλοῦμεν τὴν προσήκουσαν ὑπὲρ τῶν Ἐκκλησιῶν τῶν κατὰ τὴν Ἀνατολὴν ποιήσασθαι σπουδήν. Οἶσθα γὰρ ἡλίκος ἐστὶν ὁ μισθὸς Ἐκκλησίαις πονουμέναις χεῖρα ὀρέγειν, ταραχὴν τοσαύτην εἰς γαλήνην μεταθεῖναι καὶ πόλεμον οὕτω σφοδρὸν καταλῦσαι. Καὶ ταῦτα οὐχ ὡς δεομένους ὑμᾶς τῆς παρ' ἡμῶν ὑπομνήσεως παρακαλοῦμεν (καὶ γὰρ καὶ πρὸ τῶν ἡμετέρων γραμμάτων τὰ παρ' ὑμῶν αὐτοὶ πεποιήκατε), ἀλλ' ἐπειδὴ οὐδέπω τὰ δεινὰ λέλυται, ἀλλὰ καὶ ἀκμάζει, ἀξιοῦμεν ὑμᾶς μὴ ἀναπεσεῖν, μηδὲ περικακῆσαι, ἀλλ' ἕως μένει τὰ ἕλκη τὸ σῶμα τῆς Ἐκκλησίας συντρί-

1. *Α' Κορ.* 3,8.

ποὺ προκάλεσαν καὶ προκαλοῦν τὶς ταραχὲς ἔφθασαν σὲ τέτοιο σημεῖο παραφροσύνης, ὥστε, ὄχι μόνο νὰ μὴ κρύβουν τὸ πρόσωπό τους ἀπὸ ντροπὴ γιὰ τὰ προηγούμενα, ἀλλὰ καὶ νὰ προσπαθοῦν νὰ τὰ ξεπεράσουν ἐκεῖνα, σᾶς παρακαλῶ ὅλους μαζὶ νὰ καταβάλετε τὴν πιὸ μεγάλη προσπάθεια, καὶ ὄχι μόνο νὰ μὴ σταματήσετε τὴν μέχρι τώρα προθυμία σας, ἀλλὰ νὰ προσθέσετε καὶ ἄλλη μεγαλύτερη, ἔστω καὶ ἂν παρεμβάλλονται μύριες δυσκολίες. Γιατὶ αὐτοὶ ποὺ κατορθώνουν κάτι μεγάλο καὶ γενναῖο μὲ πολλοὺς ἱδρῶτες καὶ κόπους, θὰ πάρουν μεγαλύτερο μισθὸ ἀπὸ ἐκείνους ποὺ κάνουν τὸ ἴδιο ἔργο μὲ ἄνεση καὶ εὐκολία. Γιατὶ λέει ὁ μακάριος Παῦλος, «ὁ καθένας θὰ πάρει τὸ δικό του μισθό, ἀνάλογα μὲ τὸν κόπο του»[1].

῍Ας μὴ σᾶς κάμνει λοιπὸν νὰ ἀποκάμνετε τὸ ὅτι κουραστήκατε πολύ, ἀλλὰ αὐτὸ ἀκριβῶς τὸ πρᾶγμα νὰ σᾶς διεγείρει περισσότερο. Γιατὶ ὅσο περισσότερο συμβεῖ ν' αὐξηθοῦν οἱ δοκιμασίες, τόσο περισσότερο θὰ αὐξηθοῦν καὶ τὰ στεφάνια καὶ θὰ γίνουν περισσότερα τὰ βραβεῖα ποὺ σᾶς περιμένουν γιὰ τοὺς καλοὺς αὐτοὺς ἀγῶνες.

183

ΣΤΟΝ ΕΠΙΣΚΟΠΟ ΣΑΛΩΝΩΝ ΗΣΥΧΙΟ

῍Αν καὶ μὲ χωρίζει ἀπὸ τὴν ἐντιμότητά σου ἡ μεγάλη ἀπόσταση τοῦ δρόμου καὶ εἶμαι ἐξόριστος στὶς ἐσχατιὲς τῆς οἰκουμένης, ὅμως χρησιμοποιώντας τὰ φτερὰ τῆς ἀγάπης, ποὺ εἶναι ἐλαφρὰ καὶ κάνουν εὔκολες αὐτὲς τὶς ἀποδημίες, βρίσκομαι κοντά σου καὶ εἶμαι μαζί σου καὶ σοῦ ἀπονέμω τὸν ὀφειλόμενο χαιρετισμὸ μὲ τὰ γράμματα καὶ σὲ παρακαλῶ νὰ δείξεις τὸ ἐνδιαφέρον ποὺ πρέπει γιὰ τὶς Ἐκκλησίες τῆς Ἀνατολῆς. Γιατὶ γνωρίζεις πόσος εἶναι ὁ μισθὸς ὅταν ἁπλώνεις τὸ χέρι στὶς Ἐκκλησίες ποὺ δοκιμάζονται, γιὰ νὰ μεταβάλεις τὴν τόση ἀναταραχὴ σὲ γαλήνη καὶ νὰ καταπαύσεις τὸν τόσο ἰσχυρὸ πόλεμο. Καὶ τὸ κάνω αὐτὸ ὄχι ἐπειδὴ ἔχεις ἀνάγκη τῆς δικῆς μου ὑπομνήσεως, διότι καὶ πρὶν ἀπὸ τὰ δικά μου γράμματα σὺ ἔκανες τὸ χρέος σου, ἀλλὰ ἐπειδὴ τὰ δεινὰ ὄχι μόνο δὲν ἔπαυσαν ἀλλὰ καὶ αὐξήθηκαν, ζητῶ νὰ μὴ ἀποθαρρύνεσαι οὔτε νὰ λιποψυχήσεις, ἀλλά, ὅσον καιρὸ ἐξακολουθοῦν οἱ πληγὲς νὰ κα-

βοντα, καὶ τὰ παρ' ὑμῶν φάρμακα ἐπιτιθέναι· καὶ γὰρ ὅσῳ μετὰ πλειόνων πόνων ἀνύεται τὰ προκείμενα, τοσούτῳ πλείων ὑμῖν κείσεται καὶ ὁ μισθός.

ΡΠΔ'

ΓΑΥΔΕΝΤΙΩι ΕΠΙΣΚΟΠΩι ΒΡΙΞΗΣ

Οὐδὲν ἡμᾶς ἔλαθε τῶν σῶν, ἀλλ' ἔγνωμεν σαφῶς ὡς παρόντες τὴν σπουδήν σου, τὴν ἀγρυπνίαν, τὴν φροντίδα, τοὺς καμάτους, τοὺς πόνους οὓς ὑπὲρ τῆς ἀληθείας ἐπεδείξω, καί σοι χάριτας πολλὰς ὁμολογοῦμεν καί, ἐν τοσαύτῃ καθήμενοι ἐρημίᾳ, μεγίστην ἔχομεν παράκλησιν, τῆς ἀγάπης σου τὸ θερμὸν καὶ γνήσιον, ἧς πεῖραν ἐνταῦθα λαβόντες, ἔγνωμεν αὐτὴν ἀκμάζουσαν καὶ ἐκεῖσε, καὶ οὐδεν οὔτε τῷ πλήθει τοῦ χρόνου, οὔτε τῷ μήκει τῆς ὁδοῦ καταμαρανθεῖσαν. Διὰ τοῦτό σοι χάριτας ἴσμεν πολλὰς καὶ σὲ παρακαλοῦμεν μένειν τὴν αὐτὴν ἐπιδεικνύμενον σπουδήν. Οἶδας γὰρ ὑπὲρ ὅσων Ἐκκλησιῶν ὑμῖν ὁ ἀγὼν πρόκειται νῦν καὶ ἡλίκον ἔσται τοῦ κατορθώματος τὸ μέγεθος.

Ταῦτ' οὖν ἐννοῶν, δέσποτά μου τιμιώτατε καὶ εὐλαβέστατε, ἐπιμεῖναι τῇ αὐτῇ σπουδῇ παρακλήθητι. Οὕτω γαρ ὀλίγα κάμνοντες, ἀθάνατα ἑαυτοῖς προαποθήσεσθε ἐν τοῖς οὐρανοῖς τῶν καλῶν τούτων ἀγώνων τὰ βραβεῖα.

ΡΠΕ'

ΠΕΝΤΑΔΙΑι ΔΙΑΚΟΝΩι

Μακρὰν ἐσίγησας σιγήν, καίτοι πολλῶν ὄντων τῶν ἐκεῖθεν ἀφικνουμένων πρὸς ἡμᾶς. Τί ποτ' οὖν ἂν εἴη τὸ αἴτιον; Τῶν πραγμάτων ὁ θόρυβος; Ἄπαγε· τοῦτο οὐκ ἂν εἴποιμι· οἶδα γάρ σου τὴν μεγάλην καὶ ὑψηλὴν ψυχήν, τὴν ἐν πολλοῖς κλυδωνίοις δυναμένην ἐξουρίας πλεῖν καὶ ἐν μέσοις κύμασι γαλήνης ἀπολαύειν λευκῆς. Καὶ τοῦτο δι' αὐτῶν τῶν πραγμάτων ἔδειξας καὶ πρὸς αὐτὰς τὰς ἐσχατιὰς τῆς οἰκουμένης ἦλθεν ἡ φήμη τὰ σὰ φέρουσα κατορθώματα,

ταπονοῦν τὸ σῶμα τῆς Ἐκκλησίας, νὰ ἐπιθέτεις καὶ τὰ δικά σου φάρμακα· γιατὶ μὲ ὅσο περισσότερο κόπο καταβάλλονται τὰ παρόντα δεινά, τόσο μεγαλύτερη θὰ σὲ ἀναμένει καὶ ἡ ἀμοιβή.

184

ΣΤΟΝ ΕΠΙΣΚΟΠΟ ΒΡΙΞΗΣ ΓΑΥΔΕΝΤΙΟ

Τίποτε ἀπὸ τὰ δικά σου δὲ μοῦ διέφυγε, ἀλλὰ πληροφορήθηκα μὲ ἀκρίβεια σὰν νὰ ἤμουν παρὼν τὴν προθυμία σου, τὴν ἐπαγρύπνηση, τὴ φροντίδα, τοὺς κόπους καὶ τοὺς μόχθους ποὺ ἐπέδειξες γιὰ τὴν ἀλήθεια καὶ σοῦ εἶμαι πολὺ εὐγνώμων, καὶ διαμένοντας σὲ τόση ἐρημιὰ ἔχω παρηγοριά μου μεγάλη τὴ θέρμη τῆς ἀγάπης σου καὶ τὴ γνησιότητα, τὴν ὁποία, ἔχοντας διαπιστώσει ἐδῶ, ἔμαθα πὼς καὶ ἐκεῖ διατηρεῖται ἀκμαία καὶ δὲ μαράθηκε οὔτε ἀπὸ τὸν πολὺ χρόνο οὔτε τὸ μῆκος τοῦ δρόμου. Γι' αὐτὸ σ' εὐχαριστῶ πολὺ καὶ σὲ παρακαλῶ νὰ ἐξακολουθήσεις νὰ δείχνεις τὸ ἴδιο ἐνδιαφέρον. Γιατὶ γνωρίζεις γιὰ πόσες Ἐκκλησίες γίνεται τώρα ὁ ἀγώνας σου καὶ πόσο θὰ εἶναι τὸ μέγεθος τοῦ ἄθλου.

Κατανοώντας λοιπὸν αὐτά, ἐντιμότατε καὶ εὐλαβέστατε δεσπότη μου, παρακαλῶ νὰ ἐπιμείνεις μὲ τὸν ἴδιο ζῆλο. Γιατὶ ἔτσι μὲ λίγους κόπους θὰ ἐξασφαλίσεις γιὰ τὸν ἑαυτό σου ἀθάνατα βραβεῖα στοὺς οὐρανοὺς γιὰ τοὺς καλοὺς αὐτοὺς ἀγῶνες.

185

ΣΤΗ ΔΙΑΚΟΝΙΣΣΑ ΠΕΝΤΑΔΙΑ

Μακρὰ σιγὴ ἐτήρησες, ἂν καὶ ἦταν πολλοὶ ἐκεῖνοι ποὺ ἦρθαν ἀπὸ ἐκεῖ πρὸς ἐμᾶς. Ποιά ἄραγε νὰ εἶναι ἡ αἰτία; Ἡ ἀναταραχὴ τῆς καταστάσεως· ὄχι· δὲν θὰ τὸ ἔλεγα αὐτό· γιατὶ γνωρίζω τὴ μεγάλη καὶ γενναία ψυχή σου, ποὺ καὶ μέσα σὲ μεγάλες θαλασσοταραχὲς μπορεῖ νὰ πλέει μὲ οὔριο ἄνεμο καὶ μέσα στὰ κύματα νὰ ἀπολαμβάνει ἀπόλυτη γαλήνη. Αὐτὸ ἄλλωστε τὸ ἔδειξες ἐμπράκτως καὶ ἔφθασε ἀκόμα καὶ στὶς ἐσχατιὲς τῆς οἰκουμένης ἡ φήμη ποὺ μετα-

καὶ πάντες σε ἀνακηρύττουσιν, ὅτι καὶ ἐν ἑνὶ χωρίῳ ἱδρυμένη καὶ τοὺς πόρρωθεν ὄντας διὰ τῆς εὐλαβείας τῆς σῆς διεγείρεις καὶ προθυμοτέρους ποιεῖς. Τίς οὖν ἡ αἰτία τῆς σιγῆς; Ἐγὼ μὲν εἰπεῖν οὐκ ἔχω. Παρακαλῶ δέ σου τὴν ἐμμέλειαν διὰ τοῦ τὰ γράμματα ἐγχειρίζοντός σου τῇ εὐλαβείᾳ, δι' αὐτοῦ δηλῶσαι ἡμῖν τὰ περὶ τῆς ὑγιείας τῆς σῆς καὶ τῆς εὐθυμίας καὶ τῆς ἀσφαλείας καὶ σοῦ καὶ τοῦ οἴκου σου παντός, ἵνα, καὶ ἐκ τοσούτου καθήμενοι διαστήματος καὶ ἐν οὕτω χαλεπωτάτῃ ἐρημίᾳ διατρίβοντες, πολλὴν ἀπὸ τῶν τοιούτων γραμμάτων καρπωσώμεθα τὴν παράκλησιν.

ΡΠϚʹ

ΑΛΥΠΙΩι

Αὐτὸς μὲν ἔδεισας μὴ τῷ πρότερον ἐπιπηδῆσαι τοῖς πρὸς ἡμᾶς γράμμασι προπετείας μέμψει περιπέσῃς (αὐτοῖς γάρ σου χρήσομαι τοῖς ῥήμασιν), ἐγὼ δέ σε τοσοῦτον ἀπέχω τούτου γράψασθαι, ὅτι καὶ ῥᾳθυμίαν ἐγκαλῶ τῆς βραδυτῆτος ἕνεκεν καὶ μειζόνως ἀνεκήρυξα πρότερον ἐπεσταλκότα. Καὶ τοῦτο λέγω, αὐτῇ πάλιν σου τῇ ψήφῳ εἰς ἀπόδειξιν τούτου κεχρημένος. Ἔφης γάρ, τοῦτο μάλιστα φιλοστοργίας εἶναι, τὸ καὶ σιωπῶντας προσειπεῖν. Ἐπεὶ οὖν τό τε δέος σοι τῆς προπετείας ἀνῄρηται, ὅπερ οὐ δεόντως ἐδεδοίκεις, τοῦτό τε μείζονος ἀποδέδεικται σημεῖον ἀγάπης, πέμπε λοιπὸν ἡμῖν νιφάδας γραμμάτων. Οἶσθα γὰρ ὅπως καὶ διετέθημεν καὶ διακείμεθα περὶ τὴν σὴν ἐμμέλειαν. Κἂν γὰρ εἰς ἐρημότατον τοῦτο χωρίον ἀπενεχθῶμεν, κἂν εἰς αὐτὰ τῆς οἰκουμένης τὰ πέρατα, τῆς εἰλικρινοῦς ἀγάπης καὶ δόλον οὐκ ἐχούσης οὐδέποτε ἐπιλαθέσθαι δυνάμεθα, ἀλλὰ καθ' ἑκάστην σε τὴν ἡμέραν φανταζόμενοι διατελοῦμεν, τὰς ἀρετάς σου τῆς ψυχῆς διὰ τῆς μνήμης ἀναπλάττοντες. Καὶ ἐβουλόμεθα μὲν συνεχέστερον ἐπιστέλλειν· ἐπειδὴ δὲ τοῦτο ἐργῶδες ἡμῖν ἐστι, τοσοῦτον ὑμῶν ἀπῳκισμένοις, ὑμῖν δὲ ῥᾴδιον, παρακαλοῦμεν συνεχῶς ἡμῖν ἐπιστέλλειν τὰ περὶ τῆς ὑγείας τῆς σῆς καὶ παντὸς ὑμῶν τοῦ οἴκου. Οὕτω γάρ, καὶ ἐν ἀλλοτρίᾳ διατρίβοντες, πολλὴν καρπωσόμεθα τὴν παράκλησιν.

φέρει τὰ κατορθώματά σου καὶ ὅλοι σὲ ἀνακηρύσσουν, διότι, ἂν καὶ διαμένεις σ' ἕνα χωριό, ξεσηκώνεις μὲ τὴν εὐλάβειά σου καὶ αὐτοὺς ποὺ βρίσκονται μακριὰ καὶ τοὺς κάνεις πιὸ πρόθυμους. Ποιά λοιπὸν εἶναι ἡ αἰτία τῆς σιγῆς; Ἐγὼ βέβαια δὲν μπορῶ νὰ πῶ ποιά εἶναι. Παρακαλῶ ὅμως τὴ χάρη σου, μὲ αὐτὸν ποὺ φέρνει τὰ γράμματα στὴν εὐλάβειά σου, μὲ αὐτὸν νὰ μοῦ γνωρίσεις τὰ τῆς ὑγείας σου, τῆς ψυχικῆς γαλήνης καὶ τῆς ἀσφάλειας τῆς δικῆς σου καὶ ὅλου τοῦ σπιτιοῦ σου, ὥστε, βρισκόμενος σὲ τόσο μακρινὴ ἀπόσταση καὶ ζώντας σὲ τόσο φοβερὴ ἐρημιά, νὰ καρπωθῶ μεγάλη ἀνακούφιση ἀπὸ τὰ γράμματα αὐτά.

186

ΣΤΟΝ ΑΛΥΠΙΟ

Ἐσὺ βέβαια φοβήθηκες μήπως μὲ τὸ νὰ προλάβεις πρῶτος μὲ τὰ πρὸς ἐμένα γράμματα περιπέσεις στὴ μομφὴ τῆς αὐθάδειας, καὶ χρησιμοιῶ τὰ ἴδια σου τὰ λόγια, ἐγὼ ὅμως ἀπέχω τόσο πολὺ ἀπὸ τοῦ νὰ σοῦ τὸ γράψω αὐτό, ὥστε καὶ νὰ σὲ κατηγορῶ γιὰ νωθρότητα ἐξαιτίας τῆς καθυστερήσεως καὶ σὲ ἀνακήρυξα περισσότερο ποὺ μοῦ ἔγραψες πρῶτος. Καὶ αὐτὸ τὸ λέω χρησιμοποιώντας πάλι γιὰ ἀπόδειξη αὐτοῦ τὴ δική σου γνώμη. Γιατὶ εἶπες ὅτι αὐτὸ πρὸ πάντων εἶναι δεῖγμα φιλοστοργίας, τὸ νὰ ἀποστέλλομε σὲ κάποιον χαιρετισμὸ καὶ ὅταν ἀκόμα σιωπᾶ. Ἐπειδὴ λοιπὸν ὁ φόβος σου γιὰ προπέτεια, ποὺ κακῶς φοβόσουνα, ἐξαλείφθηκε, καὶ ἀποδείχθηκε περίτρανα ὅτι αὐτὸ ἀποτελεῖ δεῖγμα ἀγάπης, στέλνε μου λοιπὸν πλῆθος γραμμάτων. Γιατὶ γνωρίζεις πῶς φέρθηκα καὶ φέρομαι ἀπέναντι στὴ χάρη σου. Καὶ ἂν ἀκόμα μεταφερθῶ στὸ πιὸ ἐρημικὸ χωριό, ἀκόμα καὶ στὰ πέρατα τῆς οἰκουμένης, δὲν μπορῶ ποτὲ νὰ λησμονήσω τὴν εἰλικρινῆ καὶ ἄδολη ἀγάπη σου, ἀλλὰ κάθε μέρα σὲ σκέπτομαι, ἀναπλάθοντας μὲ τὴ μνήμη μου τὶς ἀρετὲς τῆς ψυχῆς σου. Καὶ ἤθελα βέβαια νὰ σοῦ γράφω συνεχῶς, ἐπειδὴ ὅμως εἶναι δύσκολο γιὰ μένα ποὺ εἶμαι ἐξόριστος τόσο μακριὰ ἀπὸ σᾶς, ἐνῶ γιὰ σένα εἶναι εὔκολο, παρακαλῶ νὰ μοῦ γράφεις συνεχῶς γιὰ τὴν ὑγεία τὴ δική σου καὶ ὁλόκληρου τοῦ σπιτιοῦ σου. Γιατὶ ἔτσι, ἂν καὶ ζῶ σὲ ξένη χώρα, θὰ καρπώνομαι μεγάλη ἀνακούφιση.

ΡΠΖ'

ΠΡΟΚΟΠΙΩι

Ὀλίγα μέν σοι συνεγενόμεθα αὐτόθι, δέσποτά μου θαυμασιώτατε, πολλὴν δέ σου τὴν πεῖραν τῆς γνησίας εἰλήφαμεν ἀγάπης καὶ τῆς ἀπράγμονος ψυχῆς καὶ τῆς γνησίας καὶ θερμῆς διαθέσεως. Διὸ καὶ πρὸς αὐτὰ τῆς οἰκουμένης ἀπῳκισθέντες τὰ τέρματα καὶ πρὸς αὐτὴν τὴν ἐσχάτην ἐρημίαν ἀπενεχθέντες, διὰ τὸ πανταχοῦ σε περιφέρειν, ὅπουπερ ἂν ἀπίωμεν καὶ ἔχειν ἐγκεκολαμμένον τῷ συνειδότι καὶ γράφομεν ἐκ τοσούτου διαστήματος καὶ τὴν ὀφειλομένην ἀποδιδόαμεν πρόσρησιν, καί σου παρακαλοῦμεν τὴν ἐμμέλειαν, εἰ μὴ βαρὺ καὶ ἐπαχθές, καὶ αὐτὸν ἡμῖν ταύτην παρέχειν τὴν χάριν, καὶ τὰ περὶ τῆς ὑγείας εὐαγγελίζεσθαι ἡμᾶς τῆς σῆς. Μανθάνομεν γὰρ αὐτὰ καὶ μὴ γράφοντος, τοὺς ἐκεῖθεν ἀφικνουμένους ἐρωτῶντες, διὰ τὸ σφόδρα περισπούδαστον εἶναι ἡμῖν εἰδέναι τὰ περὶ τῆς ρώσεως τῆς σῆς καὶ τῆς εὐδοκιμήσεως· βουλόμεθα δὲ καὶ παρὰ τῆς γλώττης τῆς σῆς καὶ παρὰ τῆς χειρὸς τῆς σῆς ταῦτα δηλοῦσθαι, ὥστε διπλῆν ἡμᾶς καρποῦσθαι τὴν ἡδονήν, ἀπό τε τοῦ γράφειν, ἀπό τε τοῦ γράμματα δέχεσθαι παρὰ τῆς εὐγενείας τῆς σῆς.

Δίδου δε ταύτην ἡμῖν τὴν χάριν, ἡδίστην τε οὖσαν καὶ εὔλογον, καὶ πολλὴν ἡμῖν παρέχουσαν τὴν εὐφροσύνην.

ΡΠΗ'

ΜΑΡΚΕΛΛΙΝΩι

Εἰς μὲν αὐτὸ τὸ πάντων ἐρημότατον χωρίον ἀπήχθημεν, τὴν Κουκουσόν· πλὴν ὅταν τὴν ἀγάπην ὑμῶν τῶν φιλούντων ἡμᾶς ἐννοήσωμεν, μεγίστην καρπούμεθα παράκλησιν, ἐν ἐρημίᾳ πλουτοῦντες. Οὐδὲ γὰρ ὁ τυχὼν θησαυρός, ἀνδρῶν ἐπιτυγχάνειν γνησίως φιλεῖν εἰδότων. Διὰ δὴ τοῦτο, κἂν μὴ τῷ σώματι παρῶμεν, ὑμῖν τῇ ψυχῇ συνδεδέμεθα, τῇ τῆς ἀγάπης ἁλύσει σφιγγόμενοι. Ὅθεν καὶ ἐπιστέλλομεν ἐκ τοσούτου διαστήματος καὶ τὴν ὀφειλομένην ἀποδιδόαμεν πρόσρησιν. Ὅτι γὰρ εἰς τοὺς πρώτους σε τῶν ἐραστῶν

187

ΣΤΟΝ ΠΡΟΚΟΠΙΟ

Λίγο σὲ συναναστράφηκα ἐκεῖ, θαυμασιώτατε δεσπότη μου, ὅμως ἀπέκτησα πολλὴ πείρα τῆς γνήσιας ἀγάπης σου, τῆς φιλήσυχης ψυχῆς σου καὶ τῆς γνήσιας καὶ θερμῆς διαθέσεώς σου. Γι' αὐτό, ἂν καὶ ἐξορίσθηκα στὰ πέρατα τῆς οἰκουμένης καὶ ὁδηγήθηκα στὴ χειρότερη ἐρημιά, ἐπειδὴ σὲ περιφέρω παντοῦ ὅπου καὶ ἂν πηγαίνω καὶ σὲ ἔχω χαραγμένο στὴ συνείδησή μου, σοῦ γράφω ἀπὸ τόση ἀπόσταση καὶ σοῦ ἀπευθύνω τὸν ὀφειλόμενο χαιρετισμό, καὶ παρακαλῶ τὴ χάρη σου, ἐὰν δὲν εἶναι βαρὺ καὶ δυσβάστακτο, καὶ σὺ νὰ μοῦ κάνεις αὐτὴ τὴ χάρη καὶ νὰ μοῦ γράφεις τὰ εὐχάριστα τῆς ὑγείας σου. Βέβαια αὐτὰ τὰ μαθαίνω καὶ χωρὶς νὰ μοῦ γράφεις ρωτώντας αὐτοὺς ποὺ ἔρχονται ἀπὸ ἐκεῖ, ἐπειδὴ εἶναι πολὺ σπουδαῖο γιὰ μένα νὰ γνωρίζω γιὰ τὴν ὑγεία καὶ τὴν πρόοδό σου· ἀλλὰ θὰ ἤθελα καὶ ἀπὸ τὴ γλώσσα τὴ δική σου καὶ ἀπὸ τὸ χέρι τὸ δικό σου νὰ μοῦ γίνονται αὐτὰ γνωστά, ὥστε νὰ δοκιμάζω διπλῆ εὐχαρίστηση καὶ ἀπὸ τὸ γράψιμο καὶ ἀπὸ τὸ ὅτι δέχομαι γράμματα ἀπὸ τὴν εὐγένειά σου.

Δίνε μου λοιπὸν αὐτὴ τὴ χαρὰ ποὺ εἶναι πολὺ εὐχάριστη καὶ δικαιολογημένη καὶ μοῦ δίνει μεγάλη εὐφροσύνη.

188

ΣΤΟΝ ΜΑΡΚΕΛΛΙΝΟ

Ὁδηγήθηκα βέβαια σ' αὐτὸ τὸ πιὸ ἔρημο χωριό, τὴν Κουκουσό, ὅμως ὅταν σκέφτομαι τὴν ἀγάπη προσώπων, ὅπως ἐσένα ποὺ μὲ ἀγαπᾶς, νοιώθω μεγάλη παρηγοριά, καὶ γίνομαι πλούσιος στὴν ἐρημιά. Γιατὶ δὲν εἶναι τυχαῖος θησαυρὸς νὰ βρεῖς ἄνδρες ποὺ γνωρίζουν νὰ ἀγαποῦν γνήσια. Γι' αὐτὸ λοιπόν, καὶ ἂν ἀκόμα δὲν εἶμαι σωματικὰ παρών, εἶμαι ἑνωμένος ψυχικά, δεμένος σφιχτὰ μὲ τὴν ἁλυσίδα τῆς ἀγάπης. Γι' αὐτὸ καὶ σοῦ γράφω ἀπὸ τόση ἀπόσταση καὶ σοῦ ἀποδίδω τὸν ὀφειλόμενο χαιρετισμό. Γιατί, τὸ ὅτι σὲ

ἐγράψαμεν τῶν ἡμετέρων, οὐδὲ αὐτὸς ἀγνοεῖς, δέσποτά μου θαυμασιώτατε.

Δίδου δὴ καὶ αὐτὸς ταύτην ἡμῖν τὴν χάριν καὶ συνεχῶς ἡμῖν ἐπίστελλε, τὰ περὶ τῆς ὑγείας τῆς σῆς εὐαγγελιζόμενος, ἵνα, καὶ τῷ γράφειν καὶ τῷ δέχεσθαι τοιαύτας ἐπιστολάς, πολλὴν καρπωσώμεθα τὴν παραμυθίαν καὶ εὐφροσύνην καὶ μεγίστης, καὶ ἐν ἐρημίᾳ διατρίβοντες, ἀπολαύσωμεν παρακλήσεως.

ΡΠΘ'

ΑΝΤΙΟΧΩι

Πότε γάρ σου ἐπιλαθέσθαι δυνάμεθα τῆς γλυκείας καὶ θερμῆς διαθέσεως, τῆς γνησίας καὶ εἰλικρινοῦς ἀγάπης καὶ ἐλευθέρας γνώμης καὶ ὑψηλῆς, τῆς πεπαρρησιασμένης ψυχῆς; Κἂν γὰρ πρὸς αὐτὰς ἀπέλθωμεν τὰς ἐσχατιὰς τῆς οἰκουμένης, πανταχοῦ σε περιφέροντες ἄπιμεν, τὸν θερμὸν ἡμῶν ἐραστὴν καὶ σφόδρα ἡμῖν τῷ τῆς ἀγάπης νόμῳ συνδεδεμένον. Διὸ καὶ πρὸς αὐτὴν τὴν ἐρημίαν τῆς καθ' ἡμᾶς οἰκουμένης ἀπῳκισμένοι, τὴν Κουκουσὸν λέγω, καὶ οὐ ῥᾳδίως ἐπιτυχεῖν τῶν τὰ γράμματα διακομιζόντων δυνάμενοι, πολλὴν ἐποιησάμεθα σπουδὴν ἐπιζητῆσαί τε καὶ εὑρεῖν τὸν ταύτην ἡμῶν τὴν ἐπιστολὴν διακομίζοντα, ὥστε σου προσειπεῖν τὴν θαυμασιότητα καὶ τὴν ὀφειλομένην πρόσρησιν ἀποδοῦναι τῇ μεγαλοπρεπείᾳ τῇ σῇ.

Ὅτι δὲ καὶ αὐτός, ἐξ ὧν ἤδη πεποίηκας, οὐ δεήσῃ τῆς παρ' ἡμῶν ὑπομνήσεως εἰς τὸ συνεχῶς ἡμῖν ἐπιστέλλειν καὶ τὰ περὶ τῆς ὑγείας τῆς σῆς εὐαγγελίζεσθαι, οὐδὲν οἶμαι δεῖν ἀμφιβάλλειν. Καὶ γὰρ οὐ τὴν τυχοῦσαν καρπωσόμεθα παράκλησιν, ὅταν παρ' ὑμῶν τῶν σφόδρα ἡμᾶς ἀγαπώντων δεχώμεθα γράμματα, περὶ τῆς ῥώσεως τῆς ὑμετέρας δηλοῦντα καὶ τὴν ἀγάπην διὰ τῶν ἐπιστολῶν συνεχῶς ἀνανεοῦντα καὶ τὴν παρουσίαν τῆς ὑμετέρας ἀγάπης ποιοῦντα φαντάζεσθαι. Ἀρκεῖ γὰρ πυκνότης ἐπιστολῶν, ὅταν παρὰ φίλων γνησίων φέρηται, καὶ τῆς παρουσίας σοφίσασθαι τὴν ἡδονήν.

ἔχω γράψει μεταξὺ τῶν πρώτων φίλων μου, οὔτε σὺ τὸ ἀγνοεῖς, θαυμασιώτατε δεσπότη μου.

Δίνε μου λοιπὸν καὶ σὺ αὐτὴ τὴ χαρὰ καὶ γράφε μου συνεχῶς, πληροφορώντας μου γιὰ τὰ καλὰ τῆς ὑγείας σου, ὥστε, καὶ ὅταν γράφω καὶ ὅταν δέχομαι τέτοιες ἐπιστολές, νὰ δοκιμάζω μεγάλη ἀνακούφιση καὶ εὐφροσύνη καί, ζώντας στὴν ἐρημιά, νὰ παίρνω πολὺ κουράγιο.

189

ΣΤΟΝ ΑΝΤΙΟΧΟ

Πότε μπορῶ νὰ λησμονήσω τὴ γλυκειὰ καὶ θερμή σου διάθεση, τὴ γνήσια καὶ εἰλικρινῆ σου ἀγάπη, τὴν ἐλεύθερη καὶ ἀνώτερη σκέψη σου καὶ θαρραλέα ψυχή σου; Γιατί, καὶ ἂν ἀκόμα ὁδηγηθῶ στὰ πέρατα τῆς οἰκουμένης, θὰ πηγαίνω περιφέροντας παντοῦ ἐσένα τὸν θερμὸ φίλο μου, ποὺ εἶσαι γερὰ δεμένος μαζί μου μὲ τὸ νόμο τῆς ἀγάπης. Γι' αὐτό, ἂν καὶ εἶμαι ἐξόριστος στὴν ἐρημιὰ τῆς οἰκουμένης μας, ἐννοῶ τὴν Κουκουσό, καὶ δὲν μπορῶ νὰ βρῶ εὔκολα αὐτοὺς ποὺ θὰ μεταφέρουν τὰ γράμματα, κατέβαλα μεγάλη προσπάθεια νὰ ἀναζητήσω καὶ νὰ βρῶ αὐτὸν ποὺ φέρνει τὴν ἐπιστολὴ αὐτή, γιὰ νὰ γράψω στὴ θαυμασιότητά σου καὶ νὰ ἀποδώσω στὴ μεγαλοπρέπειά σου τὸν ὀφειλόμενο χαιρετισμό.

Ὅτι ὅμως καὶ σύ, ἀπὸ ὅσα ἤδη ἔχεις κάνει, δὲν θὰ χρειασθεῖς τὴ δική μου ὑπόμνηση νὰ μοῦ γράφεις συνεχῶς καὶ νὰ μοῦ γνωρίζεις τὰ εὐχάριστα τῆς ὑγείας σου, δὲν πρέπει νομίζω νὰ ἀμφιβάλλω. Γιατὶ δὲν καρπώνομαι μικρὴ παρηγοριὰ ὅταν ἀπὸ σένα, ποὺ μὲ ἀγαπᾶς πολύ, παίρνω γράμματα ποὺ μὲ πληροφοροῦν γιὰ τὴν ὑγεία σου καὶ ἀνανεώνουν μὲ τὶς ἐπιστολὲς συνεχῶς τὴν ἀγάπη μου καὶ μὲ κάνουν νὰ σκέφτομαι τὴν παρουσία τῆς ἀγάπης σου. Γιατὶ ἀρκοῦν πυκνὲς ἐπιστολές, ὅταν ἔρχονται ἀπὸ γνήσιους φίλους, νὰ προκαλέσουν καὶ τὴν εὐχαρίστηση τῆς παρουσίας τους.

Ρϟ'

ΒΡΙΣΩΝΙ

Τί τοῦτο; Αὐτόθι μὲν ὄντων ἡμῶν μυρία καὶ ποιεῖν καὶ λέγειν ἐσπούδακας καὶ τῇ πόλει πάσῃ, μᾶλλον δὲ τῇ οἰκουμένῃ, κατάδηλος γέγονας ἐπὶ τῷ φίλτρῳ, ᾧ περὶ ἡμᾶς ἐπιδείκνυσαι, μὴ στέγων αὐτὸ σιγῇ κατέχων, ἀλλὰ διὰ τῶν ἔργων, διὰ τῶν ῥημάτων πανταχοῦ ἐπιδεικνύμενος, ἐπιστεῖλαι δὲ ἡμῖν οὐδὲ ἅπαξ κατεδέξω, καὶ ταῦτα σφόρα διψῶσι τῶν ἐπιστολῶν τῶν σῶν καὶ τῶν γραμμάτων ἐπιθυμοῦσιν; Οὐκ οἶσθα ὅσην ἐμέλλομεν καρποῦσθαι παράκλησιν τῆς οὕτω γνησίας ψυχῆς, τῆς οὕτω θερμῆς φιλίας ἔγγονα δεχόμενοι γράμματα; Καὶ ταῦτα οὐκ ἐγκαλῶν λέγω (οἶδα γὰρ ὅτι καὶ γράφων καὶ σιγῶν ἀκμάζουσαν διατηρεῖς τὴν περὶ ἡμᾶς διάθεσιν), ἀλλὰ σφόδρα ἐπιθυμῶν σου τῶν ἐπιστολῶν. Καὶ μὴ γράφοντος μέν σου, οὐ παυόμεθα τοὺς ἐκεῖθεν ἀφικνουμένους ἐρωτῶντες περὶ τῆς ῥώσεώς σου καὶ τῆς εὐθυμίας, καὶ σφόδρα χαίρομεν ἀκούοντες ἅπερ ἐπιθυμοῦμεν· ἀλλὰ βουλόμεθα καὶ παρὰ τῆς γλώττης τῆς σῆς καὶ παρα τῆς δεξιᾶς τῆς σῆς ταῦτα μανθάνειν.

Εἰ τοίνυν μὴ βαρὺ μηδὲ ἐπαχθες ζητοῦμεν, νῦν γοῦν ταύτην ἡμῖν παράσχου τὴν χάριν, μεγίστην οὖσαν καὶ ἡδίστην καὶ πολλὴν ἡμῖν φέρουσαν τὴν ἡδονήν.

ΡϟΑ'

ΑΜΠΡΟΥΚΛΗι ΔΙΑΚΟΝΩι

Ἐδεξάμην δευτέραν, ἣν ἔφης προτέραν ἐπιστολὴν ἐπεσταλκέναι, δέσποινά μου τιμιωτάτη καὶ κοσμιωτάτη. Καὶ τὰ αὐτὰ πάλιν λέγω, μὴ κάλει τόλμαν τὸ προτέραν τοῖς πρὸς ἡμᾶς ἐπιπηδῆσαι γράμμασι, μηδὲ ἁμάρτημα νόμιζε τὸ μέγιστον ἐγκώμιον. Ἀγάπης

1. Βρίσων τὴν ἐποχὴ τοῦ Χρυσοστόμου λεγόταν ὁ ἐπίσκοπος Φιλίππων (Βλ. Φιλίππων καὶ Νεαπόλεως Χρυσοστόμου, *Ἐκκλησία Φιλίππων* στὴν Μεγ. Ἑλλ. Ἐγ-

190

ΣΤΟΝ ΒΡΙΣΩΝΑ[1]

Γιατί αὐτό; Ὅταν ἤμουν ἐκεῖ φρόντιζες νὰ κάνεις καὶ νὰ λὲς μύρια ὅσα, καὶ σ' ὁλόκληρη τὴν πόλη, ἢ μᾶλλον τὴν οἰκουμένη, εἶχες γίνει πασίγνωστος γιὰ τὴν ἀγάπη ποὺ δείχνεις γιὰ μένα, μὴ ἀντέχοντας νὰ τὸ κρατᾶς μυστικό, ἀλλὰ τὸ ἔδειχνες παντοῦ μὲ ἔργα καὶ μὲ λόγια, ὅμως δὲν καταδέχθηκες νὰ μοῦ γράψεις οὔτε μιὰ φορά, καὶ αὐτὸ τὴ στιγμὴ ποὺ διψῶ πολὺ τὶς ἐπιστολές σου καὶ ἐπιθυμῶ τὰ γράμματά σου; Δὲν γνωρίζεις πόση παρηγοριὰ πρόκειται νὰ πάρω δεχόμενος γράμματα ἀπότοκα τῆς τόσο γνήσιας ψυχῆς καὶ τῆς τόσο θερμῆς φιλίας σου; Καὶ αὐτὰ δὲν τὰ λέω κατηγορώντας σε (γιατὶ ξέρω ὅτι εἴτε γράφεις εἴτε σιωπᾶς διατηρεῖς ἀκμαία τὴ διάθεσή σου γιὰ μένα), ἀλλὰ ἐπειδὴ ἐπιθυμῶ πολὺ τὰ γράμματά σου. Βέβαια καὶ ὅταν δὲν γράφεις δὲν παύω νὰ ἐρωτῶ αὐτοὺς ποὺ ἔρχονται ἀπὸ ἐκεῖ γιὰ τὴν ὑγεία καὶ τὴν ψυχική σου διάθεση καὶ χαίρομαι πολὺ ἀκούοντας αὐτὰ ποὺ ἐπιθυμῶ. Θέλω ὅμως καὶ ἀπὸ τὴ δική σου γλώσσα καὶ ἀπὸ τὸ δικό σου χέρι νὰ τὰ μαθαίνω αὐτά.

Ἐὰν λοιπὸν δὲ ζητῶ κάτι τὸ βαρὺ καὶ δυσβάστακτο, κάνε μου τώρα αὐτὴ τὴ χάρη, ποὺ εἶναι πολὺ μεγάλη καὶ εὐχάριστη καὶ μοῦ δίνει μεγάλη εὐχαρίστηση.

191

ΣΤΗ ΔΙΑΚΟΝΙΣΣΑ ΑΜΠΡΟΥΚΛΑ

Πῆρα τὴ δεύτερη, στὴ συνέχεια τῆς προηγούμενης ποὺ λὲς ὅτι ἔστειλες, ἐπιστολή, ἐντιμότατη καὶ σεμνότατη δέσποινά μου. Καὶ ἐπαναλαμβάνω πάλι τὰ ἴδια, μὴ χαρακτηρίζεις θράσος τὸ ὅτι προηγήθηκες στὰ γράμματά σου πρὸς ἐμένα, οὔτε νὰ θεωρεῖς ἁμάρτημα τὸ ὑπερβολικὸ ἐγκώμιο. Γιατὶ αὐτὸ τὸ ἐκλαμβάνω ὡς δεῖγμα τῆς

κυκλοπαίδεια, τόμ. ΚΓ' (ἔκδ. Β') σελ. 942. Ἐπειδὴ ὅμως ὁ Βρίσων ἐκεῖνος πῆρε μέρος τὸ 403 στὴ σύνοδο ποὺ καταδίκασε τὸν Χρυσόστομο, δὲν πρέπει νὰ εἶναι αὐτὸς στὸν ὁποῖο ἀπευθύνεται ἡ ἐπιστολή.

γὰρ ζεούσης καὶ θερμῆς τοῦτο δεῖγμα ποιούμεθα καὶ τῆς γνησίας καὶ εἰλικρινοῦς σου διαθέσεως τῆς φλογὸς θερμοτέρας.

Ταῦτ' οὖν εἰδυῖα ἐπιδαψίλευε ταύτην ἡμῖν τὴν χάριν συνεχῶς, περὶ τῆς ὑγείας ἡμῖν δηλοῦσα τῆς σῆς, καὶ πέμπε νιφάδας ἡμῖν γραμμάτων, τοῦτο ἀπαγγελλούσας. Ἐὰν γὰρ θαρρῶμεν περὶ τῶν ἀγαπώντων ἡμᾶς, ὅτι ἐν ἐπιθυμίᾳ καὶ ἐν ὑγείᾳ καὶ ἐν ἀσφαλείᾳ καθεστήκατε, οὐ μικρὰν δεξόμεθα τῆς ἐν ἀλλοτρίᾳ διατριβῆς παράκλησιν, ἀλλὰ καὶ μεγίστην καρπωσόμεθα παραμυθίαν, καίτοι γε ἐσχάτην ἐρημίαν οἰκοῦντες.

Λογισαμένη τοίνυν ὅσην ἡμῖν ἐργάσῃ τὴν ἑορτήν, μὴ φθονήσῃς ἡμῖν τῆς καλλίστης ταύτης εὐφροσύνης, ἀλλ' ὡς ἂν ἐγχωρῇ, καὶ οἷόν τε ᾖ, εὐαγγελίζου διηνεκῶς ἡμῖν τὰ περὶ τῆς ῥώσεως τῆς σῆς.

ΡϞΒ'

ΟΝΗΣΙΚΡΑΤΙΑ[1]

Σφόδρα ἠλγήσαμεν καὶ ἡμεῖς ἀκούσαντες περὶ τῆς μακαρίας θυγατρός σου. Ἀλλ' ὅμως εἰδότες τὸ φιλόσοφόν σου τῆς διανοίας, καὶ τὸ ὑψηλὸν τῆς γνώμης, πάνυ θαρροῦμεν ὡς ἀνωτέρα στήσῃ τῶν τοιούτων κυμάτων. Μὴ λυπεῖσθαι μὲν γὰρ ἀμήχανον, παρακαλοῦμεν δὲ συμμέτρως τοῦτο ποιεῖν, εἰδυῖαν τὸ ἐπίκηρον τῶν ἀνθρωπίνων πραγμάτων καὶ ὡς κοινὰ ταῦτα πᾶσι τὰ πάθη καὶ ὡς φύσεως νόμος κοινὸς καὶ τοῦ πάντων ἡμῶν Δεσπότου Θεοῦ ἀπόφασις. Οὐ γὰρ δὴ θάνατος τοῦτο, ἀλλ' ἀποδημία καὶ μετάστασις ἀπὸ τῶν χειρόνων πρὸς τὰ βελτίω.

Ταῦτ' οὖν ἅπαντα λογιζομένη, φέρε γενναίως τὸ συμβὰν καὶ εὐχαρίστει τῷ φιλανθρώπῳ Θεῷ. Εἰ γὰρ καὶ χαλεπωτέρα ἡ πληγὴ γέγονε, πρὸς τὸ νεαρὰν οὖσαν τὴν προτέραν καταλαβεῖν, ἀλλὰ καὶ λαμπρότερός σου ὁ στέφανος τῆς ὑπομονῆς καὶ μείζω τὰ βραβεῖα, μετ' εὐχαριστίας καὶ δοξολογίας φερούσῃ τὸ πάθος.

---

1. Συλλυπητήρια ἐπιστολὴ γιὰ τὸ θάνατο τῆς θυγατέρας της. Ὁ Χρυσόστομος κατανοεῖ καὶ συμμερίζεται τὸν πόνο της καὶ δὲν τολμᾶ νὰ τῆς ζητήσει νὰ μὴ λυπᾶται, γιατὶ τὸ βρίσκει ἀκατόρθωτο. Προσπαθεῖ ὅμως νὰ μετριάσει τὸν πόνο της, θυ-

κοχλάζουσας καὶ θερμῆς ἀγάπης σου καὶ τῆς γνήσιας καὶ εἰλικρινοῦς διαθέσεως, ποὺ εἶναι πιὸ θερμὴ καὶ ἀπὸ φλόγα.

Γνωρίζοντας λοιπὸν αὐτὰ δίνε μου μὲ ἀφθονία καὶ συνεχῶς τὴ χαρὰ αὐτή, πληροφορώντας μου γιὰ τὴν ὑγεία σου καὶ στέλνε μου πλῆθος γραμμάτων ποὺ νὰ μοῦ τὸ ἀναγγέλλουν αὐτό. Γιατὶ ὅταν σιγουρεύομαι γιὰ σᾶς ποὺ μὲ ἀγαπᾶτε, ὅτι βρίσκεσθε σὲ διάθεση καλὴ καὶ ὑγεία καὶ ἀσφάλεια, δὲν εἶναι μικρὴ ἡ παρηγοριὰ ποὺ παίρνω γιὰ τὴ ζωή μου στὴν ξένη χώρα, ἀλλὰ δοκιμάζω πολὺ μεγάλη ἀνακούφιση, ἂν καὶ κατοικῶ σὲ πολὺ μεγάλη ἐρημιά.

Σκεπτόμενη λοιπὸν πόση εὐχαρίστηση θὰ μοῦ προκαλέσεις, μὴ μὲ φθονήσεις γιὰ τὴν τόσο ὡραία εὐφροσύνη, ἀλλὰ ὅσο μπορεῖς καὶ ὅταν μπορεῖς νὰ μοῦ γνωρίζεις διαρκῶς τὰ εὐχάριστα τῆς ὑγείας σου.

192

ΣΤΗΝ ΟΝΗΣΙΚΡΑΤΙΑ

Πολὺ πόνεσα καὶ ἐγὼ ὅταν ἄκουσα γιὰ τὴ μακαρίτισσα τὴ θυγατέρα σου. Ἀλλ' ὅμως, γνωρίζοντας τὴ φιλοσοφικὴ καρτερικότητά σου καὶ τὴν ἀνωτερότητα τοῦ νοῦ σου, εἶμαι βέβαιος πὼς θὰ φανεῖς ἀνώτερη ἀπὸ τὶς συμφορὲς αὐτές. Νὰ μὴ λυπᾶσαι βέβαια εἶναι ἀκατόρθωτο, παρακαλῶ ὅμως νὰ τὸ κάνεις αὐτὸ μὲ μέτρο, γνωρίζοντας πόσο φθαρτὰ εἶναι τὰ ἀνθρώπινα πράγματα καὶ ὅτι εἶναι κοινὰ σὲ ὅλους τὰ παθήματα αὐτά, καὶ κοινὸς νόμος τῆς φύσεως καὶ ἀπόφαση τοῦ Δεσπότη Θεοῦ. Γιατὶ δὲν εἶναι θάνατος αὐτό, ἀλλὰ ταξίδι καὶ μετάθεση ἀπὸ τὰ χειρότερα πρὸς τὰ καλύτερα[1].

Ἀναλογιζόμενη λοιπὸν ὅλα αὐτά, βάσταξε μὲ γενναιότητα αὐτὸ ποὺ συνέβηκε καὶ εὐχαρίστα τὸν φιλάνθρωπο Θεό. Γιατί, ἂν καὶ τὸ πλῆγμα ὑπῆρξε βαρύτερο ἀπὸ τὸ ὅτι ἂν καὶ νεώτερη πρόλαβε τὴν προηγουμένη, ὡστόσο καὶ τὸ στεφάνι τῆς ὑπομονῆς σου θὰ εἶναι λαμπρότερο καὶ τὰ βραβεῖα μεγαλύτερα, ἐὰν βαστάξεις τὸ πένθος μὲ εὐχαριστία καὶ δοξολογία πρὸς τὸ Θεό.

μίζοντάς της ὅτι τὰ ἀνθρώπινα πράγματα εἶναι φθαρτὰ καὶ ὅτι ὁ θάνατος εἶναι κοινὴ μοῖρα ὅλων τῶν ἀνθρώπων καὶ ἀπόφαση τοῦ Θεοῦ. Ἐξάλλου ὁ θάνατος δὲν εἶναι παρὰ «ἀποδημία καὶ μετάστασις ἀπὸ τῶν χειρόνων πρὸς τὰ βελτίω».

Ἵν' οὖν καὶ ἡμεῖς μὴ σφόδρα ἀλγῶμεν, ἀλλ' εἰδῶμεν σαφῶς ὅτι γέγονέ σοί τι πλέον ἀπὸ τῶν γραμμάτων τῶν ἡμετέρων, μὴ κατοκνήσῃς ἡμῖν γράψαι τοῦτο αὐτό, δηλοῦσα ὅτι σοι τῆς ἀθυμίας διεσκεδάσθη τὸ νέφος καὶ τὸ πολὺ τῆς ὀδύνης τοῦ ἕλκους ὑποτέτμηται. Εἰ γὰρ ταῦτα μάθοιμεν, οὐ παυσόμεθα νιφάδας ἐπιστολῶν πέμπειν σοι· καὶ γὰρ οὐχ ὡς ἔτυχεν ἀντεχόμεθά σου τῆς εὐγενείας, γνησίας ἀεὶ καὶ εἰλικρινοῦς καὶ τιμῆς καὶ αἰδοῦς καὶ ἀγάπης ἀπολαύσαντες παρὰ τῆς σῆς κοσμιότητος, ὧν συνεχῶς μεμνημένοι, ἀκμάζουσαν τὴν περὶ σὲ διάθεσιν τηροῦμεν, κἂν πρὸς αὐτὰς ἀφικώμεθα τῆς οἰκουμένης τὰς ἐσχατιάς.

ΡϟΓ'

ΠΑΙΑΝΙΩ[1]

Σφόδρα με ἀνεπτέρωσας καὶ σκιρτᾶν ἐποίησας, ὅτι, τὰ λυπηρὰ ἀπαγγείλας, ἐπέθηκας τὸ ῥῆμα, ὃ πᾶσι τοῖς συμβαίνουσιν ἐπιλέγειν χρή, εἰπών· Δόξα δὴ τῷ Θεῷ πάντων ἕνεκα. Τοῦτο τὸ ῥῆμα καιρία τῷ διαβόλῳ πληγή, τοῦτο μεγίστη τῷ λέγοντι ἐν παντὶ κινδύνῳ ἀσφαλείας καὶ ἡδονῆς ὑπόθεσις. Ἅμα τε γάρ τις ἐφθέγξατο τοῦτο, καὶ σκεδάννυται εὐθέως τῆς ἀθυμίας τὸ νέφος. Μὴ δὴ παύσῃ τοῦτό τε λέγων καὶ τοὺς ἄλλους παιδεύων. Οὕτω καὶ ὁ χειμὼν ὁ καταλαβών, κἂν τραχύτερος γένηται, εἰς γαλήνην μεταστήσεται· οὕτω καὶ οἱ χειμαζόμενοι πλείονα καρπώσονται τὴν ἀμοιβὴν μετὰ τοῦ καὶ τῶν δεινῶν ἀπαλλαγῆναι. Τοῦτο τὸν Ἰὼβ ἐστεφάνωσε, τοῦτο τὸ ῥῆμα τὸν διάβολον ἐτρέψατο καὶ ἐγκαλυψάμενον ἀναχωρῆσαι πεποίηκεν, τοῦτο θορύβου παντὸς ἀναίρεσις. Μένε δὴ τοῦτο ἐπᾴδων τοῖς γινομένοις ἅπασι.

Τοῦ τόπου δὲ ἕνεκεν, μηκέτι λοιπὸν μηδεὶς ἐνοχλείτω. Εἰ γὰρ καὶ ἔρημον τὸ χωρίον ἡ Κουκουσός, ἀλλ' ὅμως καὶ ἡσυχίας ἀπολαύομεν ἐνταῦθα, καὶ οὐ τὸ τυχὸν ἐκ τῆς ἀσθενείας τῆς κατὰ τὴν

---

1. Πόσο πίστευε σ' ὅλα αὐτὰ τὸ ἔδειξε προφέροντάς τα τὴν ὥρα τοῦ θανάτου

Γιὰ νὰ μὴ πονῶ ὅμως καὶ ἐγὼ πολὺ καὶ νὰ γνωρίζω σίγουρα ὅτι σοῦ ἔγινε κάποια καλυτέρευση ἀπὸ τὰ δικά μου γράμματα, μὴ διστάσεις νὰ μοῦ τὸ γράψεις αὐτό, ἀναφέροντάς μου ὅτι διαλύθηκε τὸ σύννεφο τῆς λύπης καὶ ἡ πολλὴ ὀδύνη σου μετριάσθηκε. Ἂν λοιπὸν τὸ μάθω αὐτό, δὲ θὰ παύσω νὰ σοῦ στέλνω πλῆθος ἐπιστολῶν· γιατὶ πράγματι δὲν εἶναι τυχαῖο τὸ ἐνδιαφέρον μου γιὰ τὴν εὐγένειά σου, ἐπειδὴ πάντοτε ἀπόλαυσα ἀπὸ τὴ σεμνότητά σου αὐθόρμητη καὶ εἰλικρινῆ τιμὴ καὶ σεβασμὸ καὶ ἀγάπη. Ἔχοντας λοιπὸν αὐτὰ συνεχῶς στὴ μνήμη μου, διατηρῶ ἀκμαῖα τὰ αἰσθήματά μου πρὸς ἐσένα, ἔστω καὶ ἂν βρίσκομαι σ' αὐτὰ τὰ ἴδια τὰ ἔσχατα τῆς οἰκουμένης.

193

ΣΤΟΝ ΠΑΙΑΝΙΟ

Μοῦ ἀναπτέρωσες πολὺ τὸ κουράγιο καὶ μὲ ἔκανες νὰ σκιρτῶ ἀπὸ χαρά, διότι, ἀφοῦ μοῦ ἀνήγγειλες τὰ δυσάρεστα, πρόσθεσες τὴ φράση, ποὺ πρέπει νὰ τὴ λέμε σ' ὅλα ὅσα συμβαίνουν, λέγοντας· δόξα λοιπὸν τῷ Θεῷ γιὰ ὅλα[1]. Αὐτὴ ἡ φράση εἶναι θανατηφόρο πλῆγμα γιὰ τὸ διάβολο· εἶναι πολὺ μεγάλη γι' αὐτὸν ποὺ τὴ λέει σὲ κάθε κίνδυνο, προϋπόθεση ἀσφάλειας καὶ εὐχαρίστησης. Γιατὶ μόλις τὴν ἀπαγγείλει κανείς, ἀμέσως διασκορπίζεται τὸ σύννεφο τῆς λύπης. Μὴ παύσεις λοιπὸν νὰ τὴ λὲς καὶ νὰ ἀσκεῖς καὶ τοὺς ἄλλους σ' αὐτό. Ἔτσι καὶ ἡ φουρτούνα ποὺ μᾶς βρῆκε, καὶ ἂν ἀκόμα γίνει μεγαλύτερη, θὰ μεταβληθεῖ σὲ γαλήνη· ἔτσι καὶ ὅσοι δοκιμάζονται θὰ πάρουν μεγαλύτερη ἀμοιβὴ παράλληλα πρὸς τὴν ἀπαλλαγή τους ἀπὸ τὰ δεινά. Αὐτὴ ἡ φράση ἀνάδειξε τὸν Ἰὼβ νικητή, αὐτὴ ἡ φράση ἔτρεψε σὲ φυγὴ τὸ διάβολο, καὶ ἀφοῦ γέμισε ἀπὸ ντροπὴ τὸν ἔκανε νὰ ἀναχωρήσει, αὐτὴ εἶναι ἐξάλειψη κάθε ταραχῆς.

Ἂς μὴ ἐνοχλεῖται λοιπὸν κανεὶς πιὰ ἐξαιτίας τοῦ τόπου. Γιατί, ἂν καὶ ἡ Κουκουσὸς εἶναι ἔρημο χωριό, ὡστόσο καὶ ἡσυχία ἔχω ἐδῶ, καὶ τὴν ἀρρώστια, ποὺ μὲ βρῆκε στὸ δρόμο, μὲ τὸ νὰ μένω

του, ποὺ ἦρθε σὰν συνέπεια τῶν μακρῶν κακουχιῶν ποὺ πέρασε καὶ ὅσο ζοῦσε ἐξόριστος στὴν Κουκουσό, ἀλλὰ κυρίως στὸ δρόμο πρὸς τὴν Πιτυοῦντα.

ὁδὸν γενομένης ἡμῖν, διὰ τῆς οἴκοι καθέδρας τῆς διηνεκοῦς, διορθῶσαι ἰσχύσαμεν. Ἂν δὲ μέλλητε πάλιν ἡμᾶς ἀναγκάζειν τόπους ἐκ τόπων ἀμείβειν, τὰ ἔσχατα πεισόμεθα, καὶ μάλιστα τοῦ χειμῶνος ἐπὶ θύραις ὄντος. Μηδενὶ τοίνυν φορτικὸς μηδείς, μηδὲ ἐπαχθὴς γενέσθω ταύτης ἕνεκεν τῆς ὑποθέσεως. Ἀλλὰ γράφε ἡμῖν συνεχῶς τὰ περὶ τῆς ὑγείας τῆς σῆς καὶ τῆς διατριβῆς τῆς αὐτόθι καὶ τῆς εὐδοκιμήσεως καὶ τῆς εὐθυμίας. Οὐ γὰρ τὴν τυχοῦσαν, καὶ ἐν ἐρημίᾳ τοιαύτῃ διατρίβοντες, καρπωσόμεθα παράκλησιν, τοιαῦτα παρὰ τῆς σῆς τιμιότητος δεχόμενοι γράμματα.

ΡϞΔ'

ΓΕΜΕΛΛΩι

Ἔρημον μὲν οἰκοῦμεν χωρίον τὴν Κουκουσὸν καὶ πάσης τῆς καθ' ἡμᾶς οἰκουμένης ἐρημότατον. Πλὴν κἂν πρὸς αὐτὰ τῆς οἰκουμένης τὰ πέρατα ἀπενεχθῶμεν, ἐπιλαθέσθαι σου τῆς ἀγάπης οὐ δυνάμεθα· ἀλλὰ καὶ ἐν ἀλλοτρίᾳ καὶ ἐν ἐρημίᾳ διατρίβοντες καὶ ἔτι λείψανα ἀρρωστίας περιφέροντες καὶ φόβῳ λῃστῶν πολιορκούμενοι (οὐ γὰρ ἀφίστανται τὰς ὁδοὺς ἀποτειχίζοντες καὶ πάντα αἱμάτων πληροῦντες οἱ Ἴσαυροι), διηνεκῶς σε ἐπὶ διανοίας περιφέρομεν, τὴν ἀνδρείαν σου, τὴν παρρησίαν, τὴν γλυκεῖαν καὶ γνησίαν διάθεσιν παρ' αὐτοῖς ἀναπλάττοντες, καὶ τούτων τῶν λογισμῶν ἐντρυφῶντες τῇ μνήμῃ.

Γράφε δὲ αὐτὸς ἡμῖν συνεχῶς, δέσποτα θαυμασιώτατε, τὰ περὶ τῆς ὑγείας τῆς σῆς, καὶ πῶς σοι τὰ θερμὰ ἐχρήσατο καὶ ἐν τίσιν ὁρμᾷ τὰ σὰ νῦν, ἵνα, καὶ πόρρωθεν ὄντες, μηδὲν ἔλαττον ἔχωμεν τῶν ἀεί σοι συγγινομένων, εἰς τὸ σαφῶς εἰδέναι τὰ σά. Οἶσθα γὰρ ὅπως ἡμῖν περισπούδαστον περὶ τῆς ῥώσεως τῆς σῆς μανθάνειν, διὰ τὸ σφόδρα σου ἐρᾶν καὶ συνδεδέσθαι μετὰ ἀκριβείας τῇ μεγαλοπρεπείᾳ τῇ σῇ.

---

2. Μὲ διορατικότητα προφήτη ἐδῶ ὁ Χρυσόστομος προβλέπει τὴν ἐπιδείνωση τῆς ὑγείας του σὲ περίπτωση ποὺ θὰ ἀναγκαζόταν νὰ μεταφερθεῖ σὲ ἄλλο τόπο,

διαρκῶς μέσα στὸ σπίτι μπόρεσα ὄχι λίγο νὰ τὴ βελτιώσω. Ἂν ὅμως φροντίζετε νὰ μὲ ἀναγκάσετε νὰ ἀλλάξω τὸν ἕνα τόπο μετὰ τὸν ἄλλο, θὰ πάθω χειρότερα, τὴ στιγμὴ μάλιστα ποὺ ὁ χειμώνας βρίσκεται στὰ πρόθυρα[2]. Σὲ κανέναν λοιπὸν ἂς μὴ γίνεται κανεὶς φορτικός, οὔτε ὀχληρὸς γι' αὐτὴ τὴν ὑπόθεση. Ὅμως γράφε μου συνεχῶς γιὰ τὴ ὑγεία σου καὶ γιὰ τὴν ἐκεῖ ζωὴ καὶ προκοπὴ καὶ διάθεσή σου. Γιατὶ δὲν θὰ αἰσθανθῶ λίγη παρηγοριά, ἔστω καὶ ἂν ζῶ σὲ μιὰ τέτοια ἐρημιά, παίρνοντας τέτοια γράμματα ἀπὸ τὴν ἐντιμότητά σου.

194

ΣΤΟΝ ΓΕΜΕΛΛΟ

Κατοικῶ στὸ ἔρημο χωριὸ τὴν Κουκουσό, ποὺ εἶναι τὸ πιὸ ἔρημο χωριὸ τῆς οἰκουμένης. Ὅμως, καὶ ἂν ἀκόμα μεταφερθῶ σ' αὐτὰ τὰ πέρατα τῆς οἰκουμένης, δὲν μπορῶ νὰ λησμονήσω τὴν ἀγάπη σου, ἀλλὰ ἂν καὶ ζῶ καὶ σὲ ξένη χώρα καὶ σὲ ἐρημιὰ καὶ περιφέρω ἀκόμα τὰ κατάλοιπα τῆς ἀρρώστιας μου καὶ πολιορκούμαστε ἀπὸ τὸ φόβο τῶν ληστῶν (γιατὶ οἱ Ἴσαυροι δὲν παύουν νὰ ἀποκλείουν τοὺς δρόμους καὶ νὰ αἱματοκυλοῦν τὰ πάντα), σὲ περιφέρω διαρκῶς στὴ σκέψη μου, ἐπαναφέροντας στὴ μνήμη μου τὴν ἀνδρεία σου, τὴν παρρησία, τὴ γλυκειὰ καὶ γνήσια διάθεσή σου καὶ δοκιμάζοντας εὐχαρίστηση μὲ τὴν ἀνάμνηση αὐτῶν τῶν λογισμῶν.

Γράφε μου λοιπὸν καὶ σὺ συνεχῶς, θαυμασιώτατε δεσπότη μου, τὰ τῆς ὑγείας σου, πόσο σὲ ὠφέλησαν τὰ θερμὰ λουτρὰ καὶ πρὸς τὰ ποῦ τείνουν τώρα τὰ δικά σου, ὥστε, καὶ βρισκόμενος μακριά, νὰ μὴ ὑστερῶ σὲ τίποτε ἀπὸ ἐκείνους ποὺ βρίσκονται πάντοτε μαζί σου, στὸ νὰ γνωρίζω μὲ κάθε ἀκρίβεια τὰ δικά σου. Γιατὶ γνωρίζεις πόσο σπουδαῖο εἶναι γιὰ μένα νὰ μαθαίνω γιὰ τὴν ὑγεία σου, ἐπειδὴ σὲ ἀγαπῶ πολὺ καὶ εἶμαι στενὰ συνδεδεμένος μὲ τὴ μεγαλοπρέπειά σου.

πρᾶγμα ὅμως ποὺ δυστυχῶς δὲν ἀπέφυγε καὶ πού, ὅπως σημειώνει ἐδῶ, τὸν ἅρπαξε ἀπὸ τὴν ἐφήμερη αὐτὴ ζωή, πρὸς τὴν ἀγήρω μακαριότητα.

ΡϞΕ'

ΚΛΑΥΔΙΑΝΩι

Τί τοῦτο; Ὁ θερμὸς ἡμῶν ἐραστής, ὁ μανικός, τοσαύτης παρ' ἡμῶν ἀπολαύσας ἀγάπης, ὁ διηνεκῶς ἡμῖν συνδεδεμένος, οὐδὲ γραμμάτων ἡμᾶς ἐν οὕτω χρόνῳ μακρῷ ἠξίωσας, ἀλλ' ἠνέσχου σιγῆσαι σιγὴν οὕτω μακράν; Τί ποτε ἄρα τὸ αἴτιον; Ἆρα μετὰ τὴν ἀποδημίαν ἐξέβαλες ἡμᾶς τῆς διανοίας τῆς σῆς καὶ ῥᾳθυμότερος περὶ τὴν ἡμετέραν γέγονας ἀγάπην; Οὐκ ἔγωγε οἶμαι· μὴ γάρ ποτε τοῦτο γένηται, ἀπὸ φιλικῆς οὕτω ψυχῆς καὶ θερμῆς τοσαύτην γενέσθαι μεταβολήν. Ἀλλ' ἄρα μὴ ἀρρωστία σε κατέσχεν; Ἀλλ' οὐκ ἠδύνατο αὕτη γενέσθαι κώλυμα τῷ γράφειν.

Ἐπεὶ οὖν ἀγνοοῦμεν τὴν αἰτίαν, μετὰ τοῦ λῦσαι τὴν σιγὴν καὶ τὴν αἰτίαν εἰπὲ τῆς σιγῆς, καὶ πέμπε ταχέως ἡμῖν ἐπιστολὴν τὰ περὶ τῆς ὑγείας τῆς σῆς εὐαγγελιζομένην ἡμᾶς. Οὕτω γὰρ τὰ μέγιστα ἡμῖν χαριῇ καὶ τῆς ἐρημίας πολλὴν παρέξεις παράκλησιν, ἂν τοιαῦτα δεξώμεθα γράμματα. Ἀλλὰ μὴ ῥᾳθυμήσῃς· εἰ γὰρ καὶ μετὰ τὴν ἐπιστολὴν ταύτην μένεις σιγῶν, οὐκ ἔτι σοι συγγνώμην δώσομεν, ἀλλὰ γραψόμεθά σε τῆς ἐσχάτης ἀγνωμοσύνης. Οἶδα δὲ ὅτι πάσης σοι τιμωρίας τοῦτο πικρότερον.

ΡϞϚ'

ΑΕΤΙΩι

Ἡμεῖς σου τῆς ἀγάπης οὐδέποτε ἐπιλαθέσθαι δυνάμεθα, τῆς θερμῆς καὶ γνησίας καὶ πεπυρωμένης, τῆς εἰλικρινοῦς καὶ ἀδόλου, ἀλλὰ διηνεκῶς ἐπὶ διανοίας σε περιφέρομεν καὶ ἔχομεν ἐγκεκολαμμένον ἡμῶν τῷ συνειδότι. Καὶ ἐβουλόμεθα μὲν καὶ ὁρᾷν σε συνεχῶς, ἐπεὶ δὲ τοῦτο τέως οὐχ οἷόν τε, διὰ τῶν γραμμάτων τὴν ἐπιθυμίαν τὴν ἑαυτῶν πληροῦμεν, τὴν ὀφειλομένην πρόσρησιν ἀποδιδόντες σου τῇ εὐλαβείᾳ καί σε παρακαλοῦμεν καὶ ἑαυτὸν συνεχῶς ἡμῖν

195

ΣΤΟΝ ΚΛΑΥΔΙΑΝΟ

Γιατί αὐτό; Σὺ ὁ ἔνθερμὸς θαυμαστής μου, ὁ παράφορος, ποὺ τόση ἀγάπη ἀπόλαυσες ἀπὸ μένα, σὺ ποὺ ἦσουν δεμένος διαρκῶς μὲ μένα, δὲν ἀξιώθηκες νὰ μοῦ γράψεις μέσα σὲ τόσο μακρὸ χρονικὸ διάστημα, ἀλλὰ ἄντεξες νὰ σιγήσεις τόσο πολὺ καιρό; Ποιό ἄραγε εἶναι τὸ αἴτιο; Μήπως μετὰ τὴν ἀναχώρησή μου μὲ ἔβγαλες ἀπὸ τὴ σκέψη σου καὶ ἔγινες πιὸ νωθρὸς πρὸς τὴν ἀγάπη μου; Ἐγὼ τοὐλάχιστον δὲν τὸ νομίζω. Γιατὶ δὲν εἶναι δυνατὸν ποτὲ νὰ γίνει αὐτό, ἀπὸ μιὰ τόσο φιλικὴ καὶ θερμὴ ψυχὴ νὰ προέλθει τόση μεταβολή! Μήπως πάλι σὲ βρῆκε ἀρρώστια; Ἀλλὰ αὐτὴ δὲν μποροῦσε νὰ γίνει ἐμπόδιο στὸ νὰ γράφεις.

Ἐπειδὴ λοιπὸν ἀγνοῶ τὴν αἰτία, ἀφοῦ λύσεις τὴ σιωπή σου, νὰ μοῦ πεῖς καὶ τὴν αἰτία τῆς σιωπῆς καὶ στεῖλε μου γρήγορα ἐπιστολὴ ποὺ νὰ μοῦ γνωστοποιεῖ τὰ καλὰ τῆς ὑγείας σου. Γιατὶ ἔτσι θὰ μὲ χαροποιήσεις πάρα πολὺ καὶ θὰ μοῦ δώσεις πολλὴ παρηγοριὰ γιὰ τὴν ἐρημιά, ἐὰν δεχθῶ τέτοια γράμματα. Ἀλλὰ μὴ δείξεις ραθυμία· γιατί, ἐὰν καὶ μετὰ ἀπὸ αὐτὴ τὴν ἐπιστολὴ ἐξακολουθήσεις νὰ σιωπᾶς, δὲν θὰ σὲ συγχωρήσω πιά, ἀλλὰ θὰ σοῦ καταλογίσω τὴν πιὸ χειρότερη ἀγνωμοσύνη. Καὶ γνωρίζω ὅτι αὐτὸ θὰ σοῦ εἶναι πιὸ πικρὸ ἀπὸ κάθε τιμωρία.

196

ΣΤΟΝ ΑΕΤΙΟ

Ἐγὼ δὲν μπορῶ ποτὲ νὰ λησμονήσω τὴν ἀγάπη σου τὴ θερμὴ καὶ γνήσια καὶ πυρακτωμένη καὶ εἰλικρινῆ καὶ ἄδολη, ἀλλὰ σὲ περιφέρω διαρκῶς στὴ σκέψη μου καὶ σὲ ἔχω χαραγμένο στὴ συνείδησή μου. Καὶ θὰ ἤθελα καὶ νὰ σὲ ἔβλεπα συνεχῶς, ἐπειδὴ ὅμως αὐτὸ πρὸς τὸ παρὸν δὲν εἶναι δυνατό, ἐκπληρώνω τὴν ἐπιθυμία μου μὲ τὰ γράμματα, ἀποδίδοντας τὸν ὀφειλόμενο χαιρετισμὸ στὴν εὐλάβειά σου, καὶ σὲ παρακαλῶ καὶ σὺ νὰ μοῦ γράφεις συνεχῶς. Για-

ἐπιστέλλειν. Εἰ γὰρ καὶ ἐν ἐρημίᾳ διατρίβομεν πολλῇ καὶ ὑπὸ φόβου λῃστῶν πολιορκούμεθα καὶ ἐν ἀρρωστίᾳ τυγχάνομεν, ἀλλ', ἐὰν δεξώμεθα γράμματα παρὰ τῆς εὐγενείας τῆς σῆς, εὐαγγελιζόμενα ἡμῖν περὶ τῆς ὑγείας σου, πολλήν, καὶ ἐν ἀλλοτρίᾳ ὄντες, καρπωσόμεθα τὴν παράκλησιν.

Εἰδὼς οὖν ἡλίκα ἡμῖν χαριῇ καὶ ὅσην ἡμῖν παρέξεις τὴν εὐφροσύνην, μὴ φθονήσῃς ἡμῖν τῆς τοσαύτης ἡδονῆς, ἀλλὰ σπούδαζε ἡμῖν συνεχέστερον ἐπιστέλλειν· πολλὴν γὰρ ἐντεῦθεν καρπωσόμεθα τὴν ἡδονήν.

ΡϞΖ'

ΣΤΟΥΔΙΩι ΕΠΑΡΧΩι ΠΟΛΕΩΣ

Οἶδα μέν, ὅτι συνετὸς ὢν καὶ φιλοσοφεῖν εἰδὼς καὶ πρὸ τῶν γραμμάτων τῶν ἡμετέρων πρᾴως οἴσεις τοῦ μακαρίου ἀδελφοῦ τῆς μεγαλοπρεπείας τῆς σῆς τὴν ἀποδημίαν· οὐ γὰρ ἂν αὐτὴν καλέσαιμι θάνατον. Ἐπειδὴ δὲ καὶ ἡμᾶς ἀναγκαῖον τὰ παρ' ἑαυτῶν εἰσενεγκεῖν, παρακαλῶ σου τὴν θυμασιότητα, δέσποτα μεγαλοπρεπέστατε, καὶ ἐν τῷ καιρῷ τούτῳ δεῖξαι σαυτόν, οὐχ ὥστε μὴ ἀλγεῖν (τοῦτο γὰρ ἀμήχανον, ἄνθρωπον ὄντα καὶ σαρκὶ συμπεπλαγμένον καὶ τοιοῦτον ἐπιζητοῦντα ἀδελφόν), ἀλλ' ὥστε μέτρον ἐπιθεῖναι τῇ λύπῃ. Οἶσθα γὰρ τῶν ἀνθρωπίνων τὸ ἐπίκηρον καὶ ὅτι ποταμίων ῥευμάτων μιμεῖται φύσιν τὰ πράγματα καὶ ὡς ἐκείνους μόνους χρὴ μακαρίζειν, τοὺς μετὰ χρηστῆς ἐλπίδος καταλύοντας τὸν παρόντα βίον. Οὐ γὰρ ἐπὶ θάνατον ἔρχονται, ἀλλ' ἀπὸ τῶν ἀγώνων ἐπὶ τὰ βραβεῖα, ἀπὸ τῶν παλαισμάτων ἐπὶ τοὺς στεφάνους, ἀπὸ τῆς τεταραγμένης θαλάσσης ἐπὶ λιμένα ἀκύμαντον.

Ταῦτ' οὖν ἐννοῶν παρακάλει σαυτόν, ἐπεὶ καὶ ἡμεῖς οὐχ ὡς ἔτυχεν ἀλγοῦντες, μεγίστην τῆς ἀλγηδόνος ἔχομεν παραμυθίαν, τὴν ἀρετὴν τοῦ ἀνδρός, ἣν καὶ αὐτῷ σοὶ μεγίστην οἶμαι φέρειν παράκλη-

---

1. Καὶ ἄλλη παραμυθητικὴ ἐπιστολὴ τοῦ Χρυσοστόμου. Ὅπως καὶ στὶς προηγούμενες (βλ. *Ἐπιστολὴ* 71 καὶ 192), ὁ ἱερὸς πατὴρ συμπονεῖ καὶ ἀντιμετωπίζει μὲ κατανόηση τὴ θλίψη τοῦ φίλου του, προσπαθεῖ ὅμως νὰ τοῦ μετριάσει τὸν πόνο γιὰ τὸ χαμὸ τοῦ ἀδελφοῦ του, θυμίζοντάς του τὴ φθαρτότητα τῶν ἐγκοσμίων καὶ τὴν

τί, ἂν καὶ ζοῦμε σὲ μεγάλη ἐρημιὰ καὶ πολιορκούμαστε ἀπὸ τὸν φόβο τῶν ληστῶν καὶ εἶμαι καὶ ἄρρωστος, ὅμως, ἐὰν πάρω γράμματα ἀπὸ τὴν εὐγένειά σου, ποὺ νὰ μὲ πληροφοροῦν γιὰ τὰ καλὰ τῆς ὑγείας σου, θὰ πάρω πολὺ κουράγιο ἔστω καὶ ἂν βρίσκομαι σὲ ξένη χώρα.

Γνωρίζοντας λοιπὸν πόσα θὰ μοῦ χαρίσεις καὶ πόση χαρὰ θὰ μοῦ δώσεις, μὴ μὲ φθονήσεις γιὰ τὴν τόση εὐχαρίστηση, ἀλλὰ προσπάθησε νὰ μοῦ γράφεις συχνότερα, γιατὶ θὰ δοκιμάζω ἀπὸ αὐτὸ μεγάλη εὐχαρίστηση.

197

ΣΤΟΝ ΕΠΑΡΧΟ ΤΗΣ ΠΟΛΕΩΣ ΣΤΟΥΔΙΟ

Γνώριζα ὅτι, ἐπειδὴ εἶσαι συνετὸς καὶ ξέρεις νὰ φιλοσοφεῖς, πὼς καὶ πρὶν ἀπὸ τὰ γράμματα τὰ δικά μου θὰ ὑπομείνεις μὲ πραότητα τὴν ἀποδημία τοῦ μακαρίτη ἀδελφοῦ τῆς μεγαλοπρέπειάς σου, γιατὶ δὲν θὰ μποροῦσα νὰ τὴν ὀνομάσω θάνατο. Ἐπειδὴ ὅμως εἶναι ἀνάγκη καὶ ἐγὼ νὰ προσφέρω τὰ δικά μου, παρακαλῶ τὴ θαυμασιότητά σου, μεγαλοπρεπέστατε δεσπότη μου, νὰ δείξεις καὶ τὴ στιγμὴ αὐτὴ τὸν ἑαυτό σου, ὄχι ὅτι δὲν λυπᾶται (γιατὶ αὐτὸ εἶναι ἀκατόρθωτο, ἀφοῦ εἶσαι ἄνθρωπος καὶ συνδεδεμένος μὲ σάρκα καὶ ἐπιζητεῖς τέτοιον ἀδελφό), ἀλλὰ νὰ βάλεις μέτρο στὴ λύπη. Γιατὶ γνωρίζεις τὴ φθαρτότητα τῶν ἀνθρώπινων πραγμάτων καὶ ὅτι τὰ πράγματα αὐτὰ μιμοῦνται τὴ φύση τῶν ρευμάτων τῶν ποταμῶν καὶ ὅτι μόνο ἐκείνους πρέπει νὰ μακαρίζουμε, ποὺ τελειώνουν τὴν ἐδῶ ζωή τους μὲ ἀγαθὲς ἐλπίδες. Καθόσον δὲν πηγαίνουν πρὸς τὸν θάνατο, ἀλλὰ ἀπὸ τοὺς ἀγῶνες πρὸς τὰ βραβεῖα, ἀπὸ τοὺς ἀγῶνες τῆς πάλης πρὸς τὰ στεφάνια, ἀπὸ τὴν ταραγμένη θάλασσα πρὸς ἀκύμαντο λιμάνι[1].

Σκεπτόμενος λοιπὸν αὐτὰ παρηγόρα τὸν ἑαυτό σου, γιατὶ κι' ἐγώ, ἂν καὶ δὲν πονῶ λίγο, ἔχω μέγιστη παρηγοριὰ στὸν φοβερὸ πόνο μου τὴν ἀρετὴ τοῦ ἄνδρα, ποὺ νομίζω καὶ σὲ σένα τὸν ἴδιο θὰ

ἀρετὴ τοῦ ἀποθανόντος. Γιατὶ τοὺς ἐνάρετους ὄχι μόνο δὲν πρέπει νὰ τοὺς θρηνοῦμε, ἀλλὰ νὰ τοὺς μακαρίζουμε, ἀφοῦ φεύγουν ἀπὸ τὸν κόσμο ἔχοντας ἐξασφαλισμένους θησαυροὺς στοὺς οὐρανούς.

σιν. Εἰ μὲν γὰρ πονηρός τις ἦν ὁ ἀπελθὼν καὶ κακίας γέμων, ἔδει θρηνεῖν καὶ ὀλοφύρεσθαι τούτου χάριν, ἐπειδὴ δὲ τοιοῦτος καὶ οὕτω βεβιωκώς, ὡς ἅπασα οἶδεν ἡ πόλις, μετ' ἐπιεικείας, μετὰ χρηστότητος, τὸ δίκαιον ἀεὶ τιμήσας, παρρησίᾳ τῇ προσηκούσῃ χρησάμενος, ἐλευθερίᾳ, ἀνδρείᾳ, οὐδὲν τὰ παρόντα ἡγησάμενος, ἀλλ' ἀλλότριος τῆς βιωτικῆς γενόμενος φροντίδος, ἀγάλλεσθαι χρή, ἐκείνῳ τε συνήδεσθαι, τῇ τε θαυμασιότητι τῇ σῇ, ὅτι τιοῦτον προέπεμψας ἀδελφόν, ἐν ἀσύλῳ λοιπὸν θησαυρῷ, ἅπερ ἔχων ἀπῆλθεν, ἔχοντα τὰ ἀγαθά.

Μὴ τοίνυν ἀνάξιόν τι σαυτοῦ λογίσῃ, δέσποτά μου θαυμασιώτατε, κατακλώμενος τῷ πένθει, ἀλλὰ δεῖξον σαυτὸν καὶ ἐν τῷ παρόντι καιρῷ καὶ δηλῶσαι ἡμῖν παρακλήθητι, ὅτι γέγονέ σοί τι πλέον καὶ ἀπὸ τῶν γραμμάτων τῶν ἡμετέρων, ἵνα καὶ ἡμεῖς, ἐκ τοσούτου καθήμενοι διαστήματος, καλλωπιζώμεθα, ἀπὸ ψιλῆς ἐπιστολῆς πολὺ τῆς ἀθυμίας ταύτης ὑποτέμνεσθαι δυνηθέντες.

ΡϞΗ'

ΗΣΥΧΙΩι

Τί τοῦτο; Οὕτως ἡμῶν σφοδρῶς ἐρῶν (οὐδὲ γὰρ ἔλαθες ἡμᾶς, ἐπείπερ οὐ δυνατὸν ἐραστήν ποτε σφοδρὸν λαθεῖν τὸν ἐρώμενον), γραμμάτων ἡμᾶς οὐκ ἠξίωσας, ἀλλ' ἠνέσχου σιγῇ κατέχειν τὸν ἔρωτα; Τί ποτε ἄρα τὸ αἴτιον; Ἐγὼ μὲν εἰπεῖν οὐκ ἔχω, σὸν δὲ ἂν εἴη μετὰ τὸ λῦσαι τὴν σιγὴν καὶ τὴν αἰτίαν εἰπεῖν τῆς σιγῆς. Διὰ γὰρ τοῦτο καὶ πρότερον τοῖς πρὸς τὴν σὴν εὐγένειαν ἐπεπηδήσαμεν γράμμασιν, ἵνα μηδεὶς εἰς τοῦτό σοι καταφυγεῖν ἐξῇ.

Γράφε δὲ συνεχῶς ἡμῖν, δέσποτα αἰδεσιμώτατε καὶ εὐγενέστατε, καὶ πλήρου τὴν ἐπιθυμίαν ἡμῶν. Καὶ γὰρ ἅπαξ χειρωθέντες ἀπὸ φήμης μόνης καὶ συνδεθέντες σου τῇ εὐγενείᾳ, οὐδὲ ἂν αὐτοὶ σιγᾷν δυνηθείημεν λοιπόν, οὔτε τοῦ σιγῶντος ἀνέχεσθαι, ἀλλὰ μυρία σοι

φέρει μεγάλη παρηγοριά. Γιατί, ἂν βέβαια ἦταν κάποιος πονηρὸς αὐτὸς ποὺ ἔφυγε καὶ γεμάτος κακία, ἔπρεπε νὰ κλαῖς καὶ νὰ κραυγάζεις γι' αὐτό, ἐπειδὴ ὅμως ἦταν τέτοιος καὶ ἔζησε, ὅπως γνωρίζει ὅλη ἡ πόλη, μὲ τόση καλωσύνη, ἀγαθότητα, τιμώντας πάντοτε τὸ δίκαιο, χρησιμοποιώντας τὸ θάρρος ποὺ ἔπρεπε, τὴν ἐλευθερία τῆς γνώμης καὶ τὴν ἀνδρεία, περιφρονώντας τὰ παρόντα καὶ ξένος πρὸς τὶς βιωτικὲς μέριμνες, πρέπει νὰ ἀγάλλεται καὶ νὰ εὐχαριστιέται μαζὶ μὲ ἐκεῖνον καὶ ἡ θαυμασιότητά σου, διότι προέπεμψες τέτοιο ἀδελφό, ποὺ ἔφυγε ἔχοντας τοποθετημένα σὲ ἀπαραβίαστο θησαυροφυλάκιο ὅσα ἀγαθὰ εἶχε.

Μὴ λοιπὸν σκεφθεῖς τίποτε ἀνάξιο τοῦ ἑαυτοῦ σου, θαυμασιώτατε δέσπότη μου, συντριμμένος ἀπὸ τὸ πένθος, ἀλλὰ δεῖξε τὸν ἑαυτό σου καὶ στὴν περίπτωση αὐτή, καὶ δήλωσέ μου, σὲ παρακαλῶ, ὅτι αἰσθάνθηκες κάπως καλύτερα μὲ τὰ γράμματά μου, ὥστε καὶ ἐγώ, ἀπὸ τόσο μακριὰ ποὺ βρίσκομαι, νὰ καυχιέμαι, ὅτι μὲ μιὰ ἁπλῆ ἐπιστολὴ μπόρεσα νὰ ἐλαττώσω τὴ μεγάλη σου λύπη.

198

ΣΤΟΝ ΗΣΥΧΙΟ

Γιατί αὐτό; Ἐσὺ ποὺ τόσο πολὺ μὲ ἀγαπᾶς (γιατὶ δὲν μοῦ διέφυγες, ἀφοῦ δὲν εἶναι ποτὲ δυνατὸν νὰ κρυφθεῖ ὁ ἐραστὴς ἀπὸ αὐτὸν ποὺ ἀγαπᾶ), γιατί δὲν μὲ θεώρησες ἄξιο γραμμάτων σου καὶ ἀνέχεσαι νὰ κρατᾶς τὴν ἀγάπη σου κρυφή; Ποιά ἄραγε εἶναι ἡ αἰτία; Ἐγὼ πάντως δὲν ξέρω τί νὰ πῶ. Εἶναι δικό σου χρέος, ἀφοῦ πρῶτα λύσεις τὴ σιωπή, νὰ μοῦ πεῖς καὶ τὴν αἰτία τῆς σιωπῆς σου. Γι' αὐτὸ ἐξάλλου καὶ ἔσπευσα πρῶτος μὲ τὰ γράμματά μου πρὸς τὴν εὐγένειά σου, γιὰ νὰ μὴ μπορεῖς οὔτε σ' αὐτὴ τὴ δικαιολογία νὰ προσφύγεις.

Γράφε μου λοιπὸν συνεχῶς, αἰδεσιμώτατε καὶ εὐγενέστατε δεσπότη μου, καὶ ἐκπλήρωνε τὴν ἐπιθυμία μου. Γιατί, ἀπὸ τὴ στιγμὴ ποὺ μὲ μόνη τὴν ἁπλῆ φήμη αἰχμαλωτίσθηκα καὶ συνδέθηκα μὲ τὴν εὐγένειά σου, οὔτε ἐγὼ μπορῶ νὰ σιγήσω πιά, οὔτε καὶ ἐσένα ποὺ σιγᾶς νὰ σὲ ἀνέχομαι, ἀλλὰ θὰ σοῦ προξενήσω μύριες ἐνοχλήσεις,

παρέξομεν πράγματα, εἰ μὴ συνεχεῖς καὶ πυκνὰς ἡμῖν πέμπεις τὰς ἐπιστολάς, τῇ πυκνότητι τῶν γραμμάτων τὴν ἐκ τῆς παρουσίας σοφιζόμενος ἡδονήν.

Ρϟθʹ

ΔΑΝΙΗΛΩι ΠΡΕΣΒΥΤΕΡΩι

Εὐλογητὸς ὁ Θεὸς ὁ πολλῷ μείζονα τῶν θλίψεων παρέχων τὴν παράκλησιν καὶ ὑμῖν τοσαύτην διδοὺς τὴν ὑπομονήν, ὡς καὶ μετὰ πολλῆς εὐφροσύνης φέρειν τὰ συμπίπτοντα λυπηρά. Τοῦτο μάλιστα διπλασιάζεται ὑμῖν τὸν μισθόν, τὸ καὶ φέρειν καὶ μετὰ χαρᾶς φέρειν· τοῦτο καὶ ἡμῖν πολλὴν παρέχει τὴν παράκλησιν, ὅταν ἀκούωμεν τὴν ἀνδρείαν ὑμῶν, τὴν παρρησίαν, τὸ ἀπερίτρεπτον τῆς γνώμης, τὴν εὐτονίαν, τὴν ὑπομονήν, τὴν καρτερίαν, τὸν ζῆλον τὸν πυρὸς θερμότερον.

Διὰ ταῦτα καὶ ἐν ἐρημίᾳ καθήμενοι καὶ φόβῳ λῃστῶν πολιορκούμενοι καὶ τῇ τοῦ χειμῶνος ὥρᾳ λοιπὸν κατατεινόμενοι, οὐδενὸς τούτων αἰσθανόμεθα, διὰ τὸ μέγεθος τῆς ὑμετέρας εὐδοκιμήσεως, ἀλλὰ καὶ σκιρτῶμεν καὶ χαίρομεν καὶ μέγα φρονοῦμεν ἐπὶ τῇ τοσαύτῃ ὑμῶν καρτερίᾳ.

Ἵν᾽ οὖν διηνεκῶς χαίρωμεν ταῦτα ἀκούοντες, διηνεκῶς ἡμῖν καὶ συνεχέστατα ἐπιστέλλετε, αὐτά τε ταῦτα καὶ τὰ περὶ τῆς ὑγείας ὑμῶν εὐαγγελιζόμενοι. Μεγίστην γὰρ ἡμῖν παρέξετε εὐφροσύνην ἐντεῦθεν καὶ ἡδονήν.

Σʹ

ΚΑΛΛΙΣΤΡΑΤΩι ΕΠΙΣΚΟΠΩι ΙΣΑΥΡΙΑΣ

Ἐγὼ μέν σου τὴν εὐλάβειαν καὶ ἐνταῦθα παραγενομένην ἐπεθύμουν ἰδεῖν, ὥστε ἐντρυφῆσαί σου τῇ συνουσίᾳ καὶ ἀπολαῦσαί σου τῆς γνησίας καὶ θερμῆς ἀγάπης· ἐπειδὴ δὲ τοῦτο τέως οὐκ ἔνι, διά τε

ἐὰν δὲν μοῦ στέλνεις συνεχεῖς καὶ πυκνὲς ἐπιστολές, ἀναπληρώνοντας τὴν εὐχαρίστηση τῆς παρουσίας σου μὲ τὴν πυκνότητα τῶν γραμμάτων.

199

ΣΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟ ΔΑΝΙΗΛΟ

Ἂς εἶναι δοξασμένος ὁ Θεός, ποὺ δίνει πολὺ μεγαλύτερη ἀπὸ τὶς θλίψεις παρηγοριά, καὶ σὲ σᾶς δίνει τόση ὑπομονή, ὥστε νὰ ὑπομένετε μὲ πολὺ χαρὰ τὰ θλιβερὰ γεγονότα ποὺ συμβαίνουν[1]. Αὐτὸ προπάντων διπλασιάζει τὸ μισθό σας, τὸ ὅτι ὑπομένετε αὐτά, καὶ τὰ ὑπομένετε μὲ χαρά. Αὐτὸ καὶ σὲ μένα δίνει πολλὴ παρηγοριά, ὅταν ἀκούω τὴν ἀνδρεία σας, τὸ θάρρος, τὴν ἀμετάτρεπτη γνώμη σας, τὴ δύναμη, τὴν ὑπομονή, τὴν καρτερικότητα, τὸν θερμότερο ἀπὸ τὴ φωτιὰ ζῆλο σας.

Γι' αὐτό, ἂν καὶ ζοῦμε στὴν ἐρημιὰ καὶ πολιορκούμαστε ἀπὸ τὸ φόβο τῶν ληστῶν καὶ ὑποφέρουμε ἀπὸ τὴν ἐποχὴ τοῦ χειμώνα, τίποτε ἀπὸ αὐτὰ δὲν αἰσθάνομαι ἐξαιτίας τῆς δικῆς σας προόδου, ἀλλὰ καὶ σκιρτῶ καὶ χαίρομαι καὶ νοιώθω ὑπερηφάνεια γιὰ τὴν τόσο μεγάλη καρτερικότητά σας.

Γιὰ νὰ χαίρομαι λοιπὸν πάντοτε ἀκούοντας αὐτά, νὰ μοῦ γράφεις διαρκῶς καὶ πολὺ συχνά, γνωρίζοντάς μου καὶ αὐτὰ τὰ ἴδια, ἀλλὰ καὶ τὰ εὐχάριστα τῆς ὑγείας σας. Γιατὶ μὲ τὸν τρόπο αὐτὸ θὰ μοῦ δώσεις μεγάλη εὐφροσύνη.

200

ΣΤΟΝ ΕΠΙΣΚΟΠΟ ΤΗΣ ΙΣΑΥΡΙΑΣ ΚΑΛΛΙΣΤΡΑΤΟ

Ἐγὼ βέβαια θὰ ἐπιθυμοῦσα νὰ δῶ τὴν εὐλάβειά σου νὰ ἔρχεται καὶ ἐδῶ, γιὰ νὰ χαρῶ τὴ συντροφιά σου καὶ νὰ ἀπολαύσω τὴ γνήσια καὶ θερμὴ ἀγάπη σου. Ἐπειδὴ ὅμως αὐτὸ γιὰ τὴν ὥρα δὲν εἶναι δυ-

1. Βλ. *Ἐφ.* 3,20.

τὴν τοῦ ἔτους ὥραν καὶ τὸ τῆς ὁδοῦ μῆκος, τὴν διὰ γραμμάτων ὀφειλομένην σοι πρόσρησιν ἀποδίδωμι καὶ χάριν ἔχω σου τῇ εὐλαβείᾳ, ὅτι καὶ πρότερος τοῖς πρὸς ἡμᾶς ἐπεπήδησας γράμμασι. Θερμῆς γὰρ τοῦτο καὶ γνησίας φιλίας· καὶ οὐ μόνον οὐκ ἀπεικότως ἔπραξας, ἀλλὰ καὶ σφόδρα σοι προσηκόντως. Χαρίζου δὴ ταύτην συνεχῶς ἡμῖν τὴν χάριν καὶ πυκνότερον ἡμῖν δήλου τὰ περὶ τῆς ὑγείας τῆς σῆς. Ἂν δὲ καὶ δυνατὸν γένηται τῇ εὐλαβείᾳ τῇ σῇ σκυλῆναι ἕως ἡμῶν, τὰ μέγιστα ἡμῖν χαριῇ καὶ πολλῆς ἡμᾶς ἐμπλήσεις εὐφροσύνης.

Ἐννοήσας τοίνυν ὡς καὶ ἡμεῖς ἐπιθυμοῦμεν ἰδεῖν σου τὴν εὐλάβειαν καὶ ὡς τὸ πρᾶγμα οὐ σφόδρα ἐργῶδες, εἰ γένοιτο καιρὸς ἐπιτήδειος πρὸς ὁδοιπορίαν, μὴ ἀποστερήσῃς ἡμᾶς τῆς συντυχίας τῆς σῆς. Ἕως δ' ἂν τοῦτο γένηται, τῇ πυκνότητι τῶν γραμμάτων τὴν ἐκ τῆς παρουσίας ἡδονὴν σοφίζεσθαι παρακλήθητι.

ΣΑ'

ΕΡΚΟΥΛΙΩι

Μὴ κάμνε ζητῶν ἀπολογίαν τῆς μακρᾶς σιγῆς, δέσποτά μου θαυμασιώτατε καὶ μεγαλοπρεπέστατε καὶ ἐπὶ τὴν σπάνιν τῶν γραμματηφόρων κατεφεύγων. Ἡμεῖς γάρ, καὶ γράφοντός σου καὶ σιγῶντος, ἀκίνητόν σου τὴν περὶ τῆς ἀγάπης σου ψῆφον ἔχομεν ἣν διὰ τῶν ἔργων ἐπεδείξω οὕτω σαφῶς, ὡς πᾶσαν εἰδέναι τὴν πόλιν τὸν θερμὸν ἡμῶν καὶ μανικὸν ἐραστήν. Πλὴν ἀλλὰ καὶ οὕτω διακείμενοι, σφόδρα ἐπιθυμοῦμεν συνεχῶς δέχεσθαι γράμματα παρὰ τῆς σῆς θαυμασιότητος, τὰ περὶ τῆς ὑγείας δηλοῦντα τῆς σῆς. Ὥσπερ γὰρ αὐτὸς μεγίστην ἔφης παραψυχὴν εἶναι τοῦ χωρισμοῦ, τὸ περὶ τῆς ὑγείας τῆς ἡμετέρας μανθάνειν (καὶ οἶσθα ἡλίκον τοῦτο ἀνδρὶ φιλεῖν ἐπισταμένῳ, ἐπειδὴ καὶ φιλεῖν οἶσθα καλῶς), οὕτω καὶ ἡμῖν περισπούδαστον τοῦτο.

Χαρίζου δὴ ταύτην ἡμῖν τὴν χάριν, ἵνα, καὶ ἐν ἐρημίᾳ τοσαύτῃ καθήμενοι, πολλὴν ἐντεῦθεν καρπωσώμεθα τὴν παράκλησιν.

νατὸ ἐξαιτίας καὶ τῆς ἐποχῆς τοῦ ἔτους καὶ τῆς ἀπόστασης τοῦ δρόμου, σοῦ ἀποδίδω τὸν ὀφειλόμενο χαιρετισμὸ μὲ γράμματα καὶ εὐχαριστῶ τὴν εὐλάβειά σου διότι προηγήθηκες στὰ γράμματά σου πρὸς ἐμένα. Γιατὶ αὐτὸ εἶναι δεῖγμα θερμῆς καὶ γνήσιας φιλίας. Καὶ ὄχι μόνο δὲν τὸ ἔκανες ἀντικανονικά, ἀλλὰ τὸ ἔκανες καὶ πολὺ καθὼς ἔπρεπε. Χάριζέ μου λοιπὸν συνεχῶς αὐτὴ τὴ χάρη καὶ γράφε μου πυκνότερα γιὰ τὴν ὑγεία σου. Ἂν πάλι καταστεῖ δυνατὸν στὴν εὐλάβειά σου νὰ ὑποβληθεῖ στὸν κόπο νὰ ἔρθει μέχρις ἐδῶ σὲ μᾶς, θὰ μοῦ χαρίσεις μεγάλη χαρὰ καὶ θὰ μὲ γεμίσεις μὲ μεγάλη εὐφροσύνη.

Κατανοώντας λοιπὸν πόσο ἐπιθυμῶ καὶ ἐγὼ νὰ δῶ τὴν εὐλάβειά σου καὶ ὅτι τὸ πρᾶγμα δὲν εἶναι καὶ τόσο πολὺ δύσκολο, ἐὰν γίνει ὁ καιρὸς κατάλληλος γιὰ ὁδοιπορία, μὴ μοῦ στερήσεις τὴ συνάντησή σου αὐτή. Μέχρις ποὺ νὰ γίνει ὅμως αὐτό, παρακαλῶ νὰ ἀντικαταστήσεις τὴν εὐχαρίστηση τῆς παρουσίας σου μὲ τὰ πυκνά σου γράμματα.

201

ΣΤΟΝ ΕΡΚΟΥΛΙΟ

Μὴ κουράζεσαι ἀναζητώντας δικαιολογία γιὰ τὴ μακρὰ σιωπή σου, θαυμασιώτατε καὶ μεγαλοπρεπέστατε δεσπότη μου, καὶ καταφεύγοντας στὴν ἔλλειψη γραμματοκομιστῶν. Γιατὶ εἴτε γράφεις εἴτε σιωπᾶς, διατηρῶ ἀμετακίνητη τὴ γνώμη μου γιὰ τὴν ἀγάπη σου, τὴν ὁποία ἔδειξες τόσο καθαρὰ μὲ τὰ ἔργα σου, ὥστε ὁλόκληρη ἡ πόλη νὰ γνωρίζει τὸ θερμὸ καὶ παράφορο ἐραστή μου. Πλὴν ὅμως, ἂν καὶ βρίσκομαι σ' αὐτὴ τὴν κατάσταση, ἐπιθυμῶ πολὺ νὰ παίρνω γράμματα ἀπὸ τὴ θαυμασιότητά σου, ποὺ νὰ μοῦ γράφουν γιὰ τὴν ὑγεία σου. Γιατί, ὅπως ὁ ἴδιος εἶπες, ὅτι εἶναι μεγάλη ἀνακούφιση γιὰ τὸ χωρισμό μας, τὸ νὰ μαθαίνεις γιὰ τὴν ὑγεία μου (καὶ γνωρίζεις πόσο σπουδαῖο εἶναι αὐτὸ γιὰ ἕνα ἄνδρα ποὺ ξέρει νὰ ἀγαπᾶ, ἐπειδὴ γνωρίζεις καὶ νὰ ἀγαπᾶς καλά), ἔτσι καὶ γιὰ μένα αὐτὸ εἶναι πολὺ σπουδαῖο.

Χάριζέ μου λοιπὸν αὐτὴ τὴ χάρη, ὥστε, καὶ στὴν τόση ἐρημιὰ ποὺ βρίσκομαι, νὰ παίρνω μεγάλη παρηγοριὰ ἀπὸ αὐτό.

ΣΒ'

ΚΥΡΙΑΚΩι ΕΠΙΣΚΟΠΩι

Ταῦτα ἀνεκτά; ταῦτα φορητά; οἴει κἂν σκιὰν ἀπολογίας ἔχειν; Ἐν τῇ τοσαύτῃ ἀθυμίᾳ, ἐν οὕτω χρόνῳ μακρῷ, ἐν τοσούτῳ θορύβῳ καὶ ταραχῇ καὶ συντριβῇ καὶ ταλαιπωρίᾳ καθεστώτων ἡμῶν, οὐδὲ ἅπαξ ἡμῖν ἐπιστεῖλαι κατεδέξω, ἀλλ' ἡμεῖς μὲν καὶ ἅπαξ καὶ δὶς καὶ πολλάκις ἐπεστάλκαμεν, σὺ δὲ σιγᾷς χρόνον οὕτω μακρὸν καὶ νομίζεις τὸ τυχὸν ἡμαρτηκέναι ἁμάρτημα, οὕτως ἀγνώμων περὶ ἡμᾶς γεγενημένος; Ἐμὲ εἰς πολλὴν ἀπορίαν κατέστησας. Οὐδὲ γὰρ δύναμαι τῆς σῆς τὴν αἰτίαν εὑρεῖν, ὅταν ἐννοήσω σου τὴν θερμὴν ἀγάπην καὶ γνησίαν, ἣν ἀεὶ περὶ ἡμᾶς ἐπεδείξω. Οὐδὲ γὰρ ῥᾳθυμίαν λογίσασθαι ἔχω· οἶδα γάρ σου τὴν ἄγρυπνον ψυχήν· οὔτε δειλίαν· οἶδα γάρ σου τὴν ἀνδρείαν· οὐκ ὄκνον· οἶδα γάρ σου τὸ διεγηγερμένον καὶ ἐντρεχές· ἀλλ' οὐδὲ ἀρρωστίαν· καίτοι γε οὐδὲ αὕτη ἱκανὴ ἦν σε κωλῦσαι· πλὴν ἀλλὰ μανθάνω παρὰ τῶν ἐκεῖθεν ἐρχομένων, ὅγι ὑγιαίνεις καὶ ἔρρωσαι.

Τί οὖν ἐστι τὸ αἴτιον, εἰπεῖν οὐκ ἔχω, ἀλλ' ἓν μόνον, ἀλγῶ καὶ ὀδυνῶμαι. Πάντα τοίνυν ποίησον, ὥστε ἀπαλλάξαι ἡμᾶς καὶ τῆς λύπης καὶ τοῦ διαπορεῖν. Ἐπεί, εἰ καὶ μετὰ τὰ γράμματα ταῦτα μὴ μετὰ πολλοῦ τοῦ τάχους ἡμῖν βουληθείης ἐπιστεῖλαι, οὕτως ἡμᾶς ἔχεις λυπῆσαι, ὡς πολλοῦ δεηθῆναι πόνου εἰς τὸ θεραπεῦσαι ἡμῶν τὴν ἀθυμίαν.

ΣΓ'

ΣΑΛΟΥΣΤΙΩι ΠΡΕΣΒΥΤΕΡΩι

Οὐχ ὡς ἔτυχεν ἤλγησα ἀκούσας ὅτι καὶ σὺ καὶ Θεόφιλος ὁ πρεσβύτερος ἀνεπέσετε. Ἔγνων γὰρ ὅτι ὁ μὲν ὑμῶν πέντε ὁμιλίας εἶπεν ἕως Ὀκτωβρίου μηνός, ὁ δὲ οὐδεμίαν, καὶ τῆς ἐρημίας μοι τῆς

1. Βλ. καὶ Ἐπιστολὴ 210, ὅπου ἀναφέρει ὅτι ὁ πρεσβύτερος Σαλούστιος εἶναι ἐκεῖνος ποὺ ἐπραγματοποίησε τὶς πέντε ὁμιλίες.

202

ΣΤΟΝ ΕΠΙΣΚΟΠΟ ΚΥΡΙΑΚΟ

Εἶναι αὐτὰ τὰ πράγματα ἀνεκτά; εἶναι ὑποφερτά; Νομίζεις ὅτι ἔχουν καὶ ἴχνος ἔστω δικαιολογίας; Ἐνῶ βρίσκομαι σὲ τόση στενοχώρια ἐπὶ τόσο πολὺ χρονικὸ διάστημα, σὲ τόση ἀναστάτωση καὶ ἀναταραχὴ καὶ τόσο ὑπερβολικὴ θλίψη καὶ ταλαιπωρία, δὲν καταδέχθηκες οὔτε μιὰ φορὰ νὰ μοῦ γράψεις. Καὶ ἐγὼ βέβαια σοῦ ἔγραψα καὶ μιὰ καὶ δυὸ καὶ πολλὲς φορές, ἐνῶ ἐσὺ σιωπᾶς ἐπὶ τόσο πολὺ χρονικὸ διάστημα, καὶ νομίζεις ὅτι ἔκανες ἕνα ἁπλὸ σφάλμα, δείχνοντας τόση ἀγνωμοσύνη ἀπέναντί μου; Ἐμένα πάντως μὲ ἔφερες σὲ πολλὴ ἀμηχανία. Γιατὶ δὲν μπορῶ νὰ βρῶ τὴν αἰτία τῆς σιωπῆς, ὅταν σκέπτομαι τὴ θερμὴ καὶ γνήσια ἀγάπη σου, τὴν ὁποία πάνοτε ἔδειχνες γιὰ μένα. Οὔτε πάλι μπορῶ νὰ σοῦ καταλογίσω νωθρότητα, γιατὶ γνωρίζω τὴν ἄγρυπνη ψυχή σου, οὔτε δειλία, γιατὶ γνωρίζω τὴν ἀνδρεία σου, οὔτε τεμπελιά, γιατὶ γνωρίζω τὴν ζωηρότητα καὶ τὴν ἀεικινησία σου, ἀλλὰ οὔτε καὶ ἀρρώστια· ἂν καὶ βέβαια οὔτε καὶ αὐτὴ ἦταν ἱκανὴ νὰ σὲ ἐμποδίσει, μαθαίνω ὅμως ἀπὸ αὐτοὺς ποὺ ἔρχονται ἀπ' ἐκεῖ, ὅτι εἶσαι ὑγιὴς καὶ δυναμωμένος.

Ποιά εἶναι λοιπὸν ἡ αἰτία δὲν μπορῶ νὰ πῶ, παρὰ μόνο ἕνα, ὅτι πονῶ καὶ ὑποφέρω. Κάνε λοιπὸν τὰ πάντα, ὥστε νὰ μὲ ἀπαλλάξεις ἀπὸ τὴ λύπη καὶ τὴν ἀμφιβολία. Γιατί, ἂν καὶ μετὰ ἀπὸ αὐτὰ τὰ γράμματα δὲν θελήσεις νὰ μοῦ γράψεις μὲ μεγάλη ταχύτητα, θὰ μὲ ἔχεις λυπήσει τόσο πολύ, ὥστε νὰ χρειαστεῖ πολὺς κόπος γιὰ νὰ μοῦ θεραπεύσεις τὴ στενοχώρια.

203

ΣΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟ ΣΑΛΟΥΣΤΙΟ

Δὲν πόνεσα λίγο ὅταν ἄκουσα ὅτι καὶ σὺ καὶ ὁ πρεσβύτερος Θεόφιλος χάσατε τὸ θάρρος σας. Γιατὶ ἔμαθα ὅτι ὁ ἕνας ἀπὸ σᾶς πραγματοποίησε μέχρι τὸν μήνα Ὀκτώβριο πέντε ὁμιλίες[1], ἐνῶ ὁ

ἐνταῦθα τοῦτο γέγονε χαλεπώτερον. Βουλήθητε τοίνυν, εἰ μὲν ψεῦδος τοῦτο, δηλῶσαί μοι, εἰ δὲ ἀληθές, διορθώσασθαι, καὶ ἀλλήλους διεγείρατε· ἐπεὶ σφόδρα με ἔχετε λυπῆσαι, καίτοι μεθ' ὑπερβολῆς σφόδρα ἀγαπῶντα ὑμᾶς. Καὶ τὸ δὴ χαλεπώτερον, ὅτι καὶ παρὰ τοῦ Θεοῦ πολὺ καθ' ἑαυτῶν ἐπισπάσεσθε τὸ κρῖμα, ἀργίᾳ τοσαύτῃ συζῶντες καὶ ὄκνῳ καὶ τὰ παρ' ἑαυτῶν οὐκ εἰσφέροντες. Ποίαν γὰρ σχοίητε συγγνώμην ἑτέρων διωκομένων, ἐξοριζομένων, ἐλαυνομένων, ὑμεῖς δὲ μηδὲ τὴν ἀπὸ τῆς παρουσίας ὑμῶν ἢ τῆς διδασκαλίας εἰσφέροντες τῷ χειμαζομένῳ λαῷ σπουδήν;

ΣΔ'

ΠΑΙΑΝΙΩι

Ὅταν ἐννοήσῃς, δέσποτά μου θαυμασιώτατε καὶ μέλιτος ἡμῖν γλυκύτερε, ὅτι βαρὺ καὶ ἐπαχθὲς τὸ κεχωρίσθαι ἡμῶν, λογιζόμενος οἷον πρᾶγμα μεταχειρίζῃ καὶ ὅτι πόλιν ὁλόκληρον κατορθοῖς, μᾶλλον δὲ οἰκουμένην ὁλόκληρον διὰ τῆς πόλεως ἐκείνης, σκίρτα καὶ εὐφραίνου. Μετὰ γὰρ τῆς ὠφελείας πολλὴν ἔξεστί σοι καρποῦσθαι καὶ τὴν ἡδονήν. Εἰ γὰρ χρήματά τινες συλλέγοντες, τά τε ἀπολλύμενα καὶ ἀπολλύντα αὐτούς, τοσαύτης ἐμφοροῦνται τῆς εὐφροσύνης, καὶ οἰκιῶν καὶ γυναικὸς καὶ τέκνων καὶ πάντων τῶν προσηκόντων ἐπὶ πολὺν χωριζόμενοι χρόνον, τίς ἂν παραστήσειε λόγος τὴν ἡδονὴν τοῦ πλούτου, τὸν τοσοῦτον θησαυρόν, ὃν καθ' ἑκάστην συνάγεις ἡμέραν καὶ φαινόμενος αὐτόθι μόνον; Οὐ γὰρ δὴ κολακεύων σε ταῦτα λέγω, καὶ ἴσασιν οἱ καὶ ἀκούοντες ἀπόντος σου ταῦτα παρ' ἡμῶν ἐνταῦθα, ἀλλ' ἡδόμενος σφόδρα καὶ χαίρων καὶ πτερούμενος ὑπὸ τῆς εὐφροσύνης. Ἀρκεῖς γὰρ καὶ φαινόμενος πολλοὺς ὀρθῶσαι τῶν αὐτόθι, στηρίξαι, ἀλεῖψαι, συγκροτῆσαι. Οἶδα ἐγὼ τὸν ἀριστέα τὸν ἐμόν, οἶδά σου τὰς ἀνδραγαθίας τὰς αὐτόθι, τὸν ζῆλον, τὴν ἀγρυπνίαν, τοὺς δρόμους, τὸν πόνον τῆς ψυχῆς, τὴν παρρησίαν, τὴν ἐλευ-

ἄλλος καμμιά, καὶ αὐτὸ μοῦ κόστισε περισσότερο ἀπὸ τὴ φοβερὴ ἐδῶ ἐρημιά μου. Θελῆστε λοιπόν, ἐὰν αὐτὸ εἶναι ψέμα, νὰ μοῦ τὸ δηλώσετε, ἐὰν πάλι εἶναι ἀληθινό, νὰ τὸ διορθώσετε, καὶ παροτρύνετε ὁ ἕνας τὸν ἄλλον· γιατὶ πολὺ μὲ ἔχετε λυπήσει, ἂν καὶ σᾶς ἀγαπῶ ὑπερβολικά. Καὶ τὸ ἀκόμα χειρότερο εἶναι ὅτι καὶ ἀπὸ τὸ Θεὸ θὰ ἐπισύρετε τὸ κρίμα ἐναντίον σας, ζώντας μὲ τόση φυγοπονία καὶ ὀκνηρία καὶ μὴ συνεισφέροντας ὅ,τι μπορεῖτε. Γιατί ποιά συγχώρεση θὰ ἔχετε, ὅταν, ἐνῶ ἄλλοι διώκονται, ἐξορίζονται, ἀπομακρύνονται, ἐσεῖς δὲν προσφέρατε στὸ δοκιμαζόμενο λαὸ οὔτε τὴν ἐνίσχυση μὲ τὴν παρουσία ἢ τὴ διδασκαλία σας;

204

ΣΤΟΝ ΠΑΙΑΝΙΟ

Ὅταν σκεφθεῖς, θαυμασιώτατε καὶ γλυκύτερε ἀπὸ τὸ μέλι δεσπότη μου, ὅτι εἶναι βαρὺ καὶ δυσβάστακτο τὸ ὅτι χωρισθήκαμε, ἀναλογιζόμενος τί πρᾶγμα εἶναι αὐτὸ μὲ τὸ ὁποῖο καταγίνεσαι, καὶ ὅτι ἀνορθώνεις ὁλόκληρη πόλη, ἢ μᾶλλον ὁλόκληρη τὴν οἰκουμένη μὲ τὴν πόλη ἐκείνη, νὰ σκιρτᾶς καὶ νὰ εὐφραίνεσαι. Καθόσον μαζὶ μὲ τὴν ὠφέλεια σοῦ ἐπιτρέπεται νὰ καρποῦσαι καὶ τὴν εὐχαρίστηση. Γιατί, ἐὰν αὐτοὶ ποὺ συγκεντρώνουν χρήματα, ποὺ καὶ χάνονται καὶ καταστρέφουν αὐτοὺς τοὺς ἴδιους, κατέχονται ἀπὸ τόση εὐφροσύνη, μολονότι γιὰ πολὺ χρονικὸ διάστημα χωρίζονται ἀπὸ τὰ σπίτια καὶ τὴ γυναίκα καὶ τὰ παιδιά τους καὶ ἀπὸ ὅλους τοὺς δικούς τους, ποιός λόγος μπορεῖ νὰ περιγράψει τὴν εὐχαρίστηση τοῦ πλούτου, τὸν τόσο μεγάλο θησαυρὸ ποὺ συγκεντρώνεις κάθε μέρα καὶ μόνο μὲ τὴν ἐμφάνισή σου ἐκεῖ; Γιατὶ δὲν τὰ λέω αὐτὰ κολακεύοντάς σε, καὶ τὸ ξέρουν αὐτὸ αὐτοὶ ποὺ μὲ ἀκοῦνε ἐδῶ νὰ τὸ λέω ἐνῶ εἶσαι ἀπών, ἀλλὰ τὰ λέω ἐπειδὴ εὐχαριστιέμαι πολὺ καὶ χαίρομαι καὶ πετάω ἀπὸ τὴν εὐφροσύνη. Πραγματικὰ ἀρκεῖ καὶ μόνη ἡ ἐμφάνισή σου γιὰ νὰ ἀνορθώσει πολλοὺς ἐκεῖ, νὰ τοὺς στηρίξει, νὰ τοὺς προετοιμάσει, νὰ τοὺς ὀργανώσει. Γνωρίζω ἐγὼ τὸν ἀριστέα μου, γνωρίζω τὶς ἀγαθοεργίες σου ἐκεῖ, τὸ ζῆλο, τὴν ἐπαγρύπνηση, τὶς ὁδοιπορίες, τὸν πόνο τῆς ψυχῆς, τὴν παρρησία καὶ τὴν ἐλευθερία

θερίαν μεθ' ἧς καὶ ἐπισκόπων κατεξανίστασο, τοῦ καιροῦ τούτου ἀπαιτοῦντος, μετὰ τοῦ προσήκοντος μέντοι μέτρου.

Καὶ ἐθαύμαζόν σε ἐπ' ἐκείνοις, πολλῷ δὲ πλέον νῦν, ὅτι, καὶ μηδενός σοι παραστάντος αὐτόθι, ἀλλὰ τῶν μὲν φευγόντων, τῶν δὲ ἐλαυνομένων, τῶν δὲ κρυπτομένων, μόνος ἕστηκας ἐπὶ τῆς παρατάξεως, τὸ μέτωπον αὐτῆς κατακοσμῶν καὶ οὐδένα ἀφιεὶς γενέσθαι λειποτάκτην, ἀλλὰ καὶ τοὺς μετὰ τῶν ἐναντίων τεταγμένους τῇ ἐμμελείᾳ σου καθ' ἑκάστην ἡμέραν μεθιστᾷς. Οὐ διὰ ταῦτα δὲ θαυμάζω μόνον, ἀλλ' ὅτι καὶ ἐν ἑνὶ ἱδρυμένος χωρίῳ, τὴν οἰκουμένην ἅπασαν μεριμνᾷς, τὰ ἐν Παλαιστίνῃ, τὰ ἐν Φοινίκῃ, τὰ ἐν Κιλικίᾳ, ὧν καὶ μάλιστα φροντίζειν ὀφείλεις. Παλαιστινοὶ μὲν γὰρ καὶ Φοίνικες, καθὼς ἔγνων σαφῶς, οὐκ ἐδέξαντο τὸν παρὰ τῶν ἐναντίων ἀποσταλέντα ἐκεῖσε, οὐδὲ ἀποκρίσεως αὐτὸν ἠξίωσαν, ὁ δὲ Αἰγῶν, ὡς ἔγνων, καὶ ὁ Ταρσοῦ μετ' ἐκείνων τάττονται, καὶ ὁ Κασταβάλων ἐνταῦθα ἐδήλωσέ τινι τῶν ἡμετέρων φίλων, ὅτι ἀναγκάζουσιν αὐτοὺς οἱ ἀπὸ Κωνσταντινουπόλεως τῇ παρανομίᾳ αὐτῶν συνθέσθαι, καὶ τέως ἀντέχουσι.

Πολλῆς τοίνυν σοι δεῖ τῆς μερίμνης, πολλῆς τῆς ἀγρυπνίας, ὥστε καὶ τοῦτο διορθῶσαι τὸ μέρος, τῷ δεσπότῃ μου γράψαντι τῷ ἀνεψιῷ σου, τῷ κυρίῳ τῷ ἐπισκόπῳ Θεοδώρῳ. Τὰ κατὰ Φαρέτριον λυπηρὰ μὲν καὶ σφόδρα ἀνιαρά· πλὴν ἀλλ' ἐπειδὴ οἱ πρεσβύτεροι αὐτοῦ οὔτε συνέτυχον τοῖς ἐναντίοις, ὡς φῄς, οὔτε αἱροῦνται αὐτοῖς κοινωνῆσαι, ἀλλ', ὡς λέγουσιν, ἔτι μεθ' ἡμῶν ἑστήκασι, μηδὲν τούτων κοινωνήσῃς πρὸς αὐτούς· ἐπεὶ ἃ ἐποίησεν εἰς ἡμᾶς ὁ Φαρέτριος οὐδεμίαν ἔχει συγγνώμην. Ὁ μέντοι κλῆρος αὐτοῦ πᾶς καὶ ἤλγει καὶ ὠδύρετο καὶ ἐθρήνει καὶ μεθ' ἡμῶν ὅλως ἦν τῇ γνώμῃ. Ἀλλ' ἵνα μὴ τούτους ποιήσωμεν ἀποπηδῆσαι καὶ τραχυτέρους ἐργασώμεθα, μαθὼν ἅπαντα τὰ ἀπὸ τῶν ἐπαρχικῶν, παρὰ σαυτῷ κάτεχε καὶ μετὰ πολλῆς ἡμερότητος αὐτοῖς προσφέρου· οἶδα

---

1. Παραθαλάσσια πολίχνη τῆς Κιλικίας, ἀκριβῶς ἀπέναντι ἀπὸ τὴ βορειοανατολικὴ ἄκρη τῆς Κύπρου.

2. Ἡ γνωστὴ πατρίδα τοῦ ἀποστόλου Παύλου.

3. Κατὰ πᾶσα πιθανότητα πρόκειται γιὰ κωμόπολη ποὺ κι' αὐτὴ βρισκόταν στὴν Κιλικία, κάπου κοντὰ στὶς δύο προηγούμενες.

μὲ τὴν ὁποία ἀγωνιζόσουν καὶ ἐναντίον ἐπισκόπων ἀκόμα, ὅταν τὸ ἀπαιτοῦσαν οἱ περιστάσεις, μὲ τὸ ἀνάλογο φυσικὰ μέτρο.

Καὶ σὲ θαύμαζα γιὰ ἐκεῖνα, πολὺ περισσότερο ὅμως σὲ θαυμάζω τώρα, πού, ἂν καὶ κανεὶς δὲν σὲ συμπαραστάθηκε ἐκεῖ, ἀλλὰ ἄλλοι ἔφευγαν, ἄλλοι διώκονταν καὶ ἄλλοι κρύβονταν, ἐσὺ ἔμεινες μόνος στὴ γραμμὴ τῆς μάχης, στολίζοντας τὸ μέτωπό της καὶ μὴ ἀφήνοντας κανέναν νὰ γίνει λιποτάκτης, ἀλλὰ καὶ αὐτοὺς ἀκόμα ποὺ εἶναι παρατεταγμένοι μὲ τοὺς ἀντιπάλους μὲ τὴ χάρη σου κάθε μέρα τοὺς ἀποσπᾶς. Καὶ δὲ σὲ θαυμάζω γι' αὐτὰ μόνο, ἀλλὰ καὶ γιὰ τὸ ὅτι, ἐνῶ εἶσαι ἐγκατεστημένος σ' ἕνα χωριό, φροντίζεις γιὰ ὁλόκληρη τὴν οἰκουμένη, γιὰ ὅσα συμβαίνουν στὴν Παλαιστίνη, στὴ Φοινίκη καὶ στὴν Κιλικία, γιὰ τὴν ὁποία καὶ ὀφείλεις νὰ φροντίζεις περισσότερο. Γιατὶ οἱ Παλαιστινοὶ καὶ οἱ Φοίνικες, ὅπως ἔμαθα μὲ βεβαιότητα, δὲ δέχτηκαν αὐτὸν ποὺ ἔστειλαν οἱ ἀντίπαλοι ἐκεῖ, καὶ ἀπαξίωσαν νὰ ἀπαντήσουν. Ἐνῶ οἱ ἐπίσκοποι τῶν Αἰγῶν[1] καὶ τῆς Ταρσοῦ[2], ὅπως πληροφορήθηκα, τάσσονται μὲ τὸ μέρος ἐκείνων, ὁ δὲ ἐπίσκοπος Κασταβάλων[3] εἶπε ἐδῶ σὲ κάποιον ἀπὸ τοὺς φίλους μας, ὅτι τοὺς ἀναγκάζουν ἀπὸ τὴν Κωνσταντινούπολη νὰ συμπαραταχθοῦν μὲ τὴν παρανομία τους, καὶ ὅτι ἀκόμα ἀντέχουν.

Πρέπει λοιπὸν νὰ δείξεις μεγάλη φροντίδα καὶ πολλὴ ἐπαγρύπνηση, ὥστε νὰ διορθώσεις καὶ τὸ μέρος αὐτό, δεσπότη μου, γράφοντας στὸν ἀνεψιό σου, τὸν ἐπίσκοπο κύριο Θεόδωρο[4]. Τὰ σχετικὰ μὲ τὸν Φαρέτριο εἶναι βέβαια λυπηρὰ καὶ δυσάρεστα, ἀλλ' ἐπειδὴ οἱ πρεσβύτεροί του οὔτε συνάντησαν τοὺς ἀντίθετους, ὅπως λές, οὔτε ἔχουν διάθεση νὰ κοινωνήσουν μαζί τους, καί, ὅπως ἰσχυρίζονται, εἶναι ἀκόμα μαζί μας, οὔτε μ' αὐτοὺς νὰ ἔχεις καμμιὰ ἐπικοινωνία· γιατὶ αὐτὰ ποὺ μοῦ ἔκανε ὁ Φαρέτριος δὲν ἐπιδέχονται καμμιὰ συγχώρηση. Ὅμως ὅλος ὁ κλῆρος του καὶ πονοῦσε καὶ ἔκλαιε καὶ θρηνοῦσε καὶ μὲ τὴ γνώμη του ἦταν μαζί μου. Γιὰ νὰ μὴ τοὺς κάνουμε λοιπὸν καὶ αὐτοὺς νὰ ἀποσκιρτήσουν καὶ τοὺς καταστήσουμε πιὸ δύσκαμπτους, ὅλα αὐτὰ ποὺ ἔμαθες ἀπὸ τοὺς ἐπαρχιακοὺς κράτησέ τα γιὰ τὸν ἑαυτό σου, καὶ νὰ τοὺς φέρεσαι μὲ πολλὴ ἠπιότητα· γιατὶ γνωρίζω τὴν ἐμπειρία σου στὸ πῶς νὰ ἀντιμετωπί-

4. Ὁ ἐπίσκοπος Θεόδωρος, γιὰ τὸν ὁποῖο γράφει ἐδῶ ὁ ἱ. Χρυσόστομος, ἦταν ἀπὸ τοὺς ἄξιους συνεργάτες του, ὅπως φαίνεται ἀπὸ τὴν 112η ἐπιστολὴ ποὺ ἀπευθύνεται στὸν ἴδιο, γι' αὐτὸ συνιστᾶ στὸν Παιάνιο ν' ἀπευθυνθεῖ σ' αὐτόν.

γάρ σου τὸ οἰκονομικόν· καὶ λέγε, ὅτι Καὶ ἡμεῖς ἠκούσαμεν, ὅτι σφόδρα ἤλγησεν ἐπὶ τοῖς γινομένοις καὶ ὅτι ἕτοιμος ἦν πάντα παθεῖν ὑπὲρ τοῦ διορθῶσαι πάντα τὰ κακῶς τολμηθέντα.

Τὸ σῶμα ἡμῖν ἐν ὑγείᾳ πολλῇ καὶ τὰ λείψανα τῆς ἀρρωστίας ἀπεθέμεθα· ὅταν δὲ ἐννοήσωμεν, ὅτι σοὶ καὶ τοῦτο φροντίς ἐστιν, οὐ μικρὰ καὶ τοῦτο ὑγείας ἡμῖν ὑπόθεσις γίνεται, ὅτι οὕτω σφοδρὸν ἔχομεν ἐραστήν. Ὁ Θεός σοι τῆς τοιαύτης σπουδῆς, τῆς ἀγάπης, τοῦ ζήλου, τῆς ἀγρυπνίας δῷ τὸν μισθόν, κἀν τῷ παρόντι βίῳ κἀν τῷ μέλλοντι αἰῶνι, καὶ τειχίσειε καὶ φρουρήσειε καὶ ἀσφαλίσαιτο καὶ καταξιώσειε τῶν ἀπορρήτων ἐκείνων ἀγαθῶν. Δοίη δὲ καὶ ἡμῖν ταχέως ἰδεῖν σου τὸ ποθεινὸν πρόσωπον, ἀπολαῦσαί σου τῆς γλυκείας ψυχῆς καὶ τὴν καλλίστην ταύτην ἑορτὴν ἀγαγεῖν. Οἶσθα γὰρ ὅτι καὶ ἑορτὴ ἡμῖν καὶ πανήγυρις τὸ καταξιωθῆναι τῆς ἡδίστης καὶ πολλῶν ἀγαθῶν γεμούσης συνουσίας σου, καὶ ταύτης ἀπολαῦσαι πάλιν.

ΣΕ'

ΑΝΑΤΟΛΙΩι ΕΠΑΡΧΙΚΩι

Ὀψὲ μὲν ἐπιστέλλω καὶ βραχέα, μᾶλλον δὲ βραδέως, πρὸς τὴν σὴν εὐγένειαν· πλὴν ἀλλ' οὐ ῥᾳθυμία τὴ σιγὴν εἰργάσατο, ἀλλ' ἀρρωστία μακρά· ὡς τῇ γε ἀγάπῃ διηνεκῶς συνδεδέμεθα, τὸ γνήσιόν σου τῆς ἀγάπης εἰδότες, τὸ ἐλευθέριον τῆς γνώμης, τὸ ἄπλαστον καὶ εἰλικρινές. Καὶ οὐκ ἐπαυσόμεθα πρὸς ἅπαντας ἀνακηρύττοντες τὴν διάθεσιν, ἧς συνεχῶς ἀπηλαύσαμεν παρὰ τῆς σῆς εὐγενείας, οὐχὶ παρόντες μόνον, ἀλλὰ καὶ ἀπόντες· οὐ γὰρ μετὰ τὴν ἀποδημίαν ἔλαθεν ἡμᾶς ὅσα καὶ ποιεῖν καὶ λέγειν ὑπὲρ ἡμῶν ἐσπούδακας. Ὁ Θεός σοι δῴη τὸν μισθὸν τῆς τοιαύτης σπουδῆς, καὶ ἐνταῦθα καὶ ἐν τῷ μέλλοντι αἰῶνι.

Ἵνα δὲ καὶ πλείονος ἀπολαύωμεν ἡδονῆς, μὴ γράφοντες μόνον, ἀλλὰ καὶ γράμματα δεχόμενοι παρὰ τῆς ἐμμελείας τῆς σῆς, ἐπιστεῖλαι ἡμῖν παρακλήθητι, περὶ τῆς ὑγείας τῆς σῆς εὐαγγελιζόμενος, ἵνα, καὶ ἐν τῇ ἐρημίᾳ ταύτῃ καθεζόμενοι, πολλὴν καρπωσώμεθα τὴν πα-

ζεις τοὺς ἀνθρώπους· καὶ λέγε τους ὅτι καὶ ἐγὼ ἄκουσα ὅτι πόνεσαν πολὺ γιὰ ὅσα ἔγιναν καὶ ὅτι ἦταν ἕτοιμοι νὰ ὑποστοῦν τὰ πάντα γιὰ νὰ διορθώσουν ὅλα ὅσα κακῶς ἔχουν διαπραχθεῖ.

Τὸ σῶμα μου βρίσκεται σὲ πολλὴ ὑγεία καὶ τὰ κατάλοιπα τῆς ἀρρώστιας μου τὰ ἐξάλειψα. Καὶ ὅταν σκέφτομαι ὅτι καὶ γι' αὐτὸ φροντίζεις, δὲν συντελεῖ καὶ λίγο στὴν ὑγεία μου καὶ αὐτό, τὸ ὅτι ἔχω κάποιον ποὺ μὲ ἀγαπᾶ τόσο πολύ. Εἴθε ὁ Θεὸς νὰ σοῦ δώσει τὸν μισθὸ γιὰ τὴ διάθεσή σου αὐτή, τὴν ἀγάπη, τὸν ζῆλο καὶ τὴν ἐπαγρύπνηση, καὶ στὴν παρούσα ζωὴ καὶ στὸν μέλλοντα αἰώνα, νὰ σὲ περιτειχίσει, νὰ σὲ περιφρουρήσει, νὰ σὲ προφυλάξει καὶ νὰ σὲ κάνει ἄξιο ἐκείνων τῶν ἀπερίγραπτων ἀγαθῶν. Καὶ ἂς δώσει καὶ σὲ μένα νὰ δῶ γρήγορα τὸ ποθητό σου πρόσωπο, νὰ ἀπολαύσω τὴ γλυκειά σου ψυχὴ καὶ νὰ γιορτάσω τὴν τόσο ὡραία γιορτή. Γιατὶ γνωρίζεις ὅτι εἶναι γιὰ μένα γιορτὴ καὶ πανήγυρη τὸ νὰ ἀξιωθῶ νὰ ἀπολαύσω καὶ πάλι τὴ τόσο γλυκειὰ καὶ γεμάτη ἀπὸ πολλὰ ἀγαθὰ συντροφιά σου.

205

ΣΤΟΝ ΕΠΑΡΧΙΚΟ ΑΝΑΤΟΛΙΟ

Γράφω μὲ πολλὴ καθυστέρηση καὶ λίγα, ἢ μᾶλλον μὲ βραδύτητα, πρὸς τὴν εὐγένειά σου· τὴ σιγὴ ὅμως δὲν μοῦ τὴν ἐπέβαλε ἡ ὀκνηρία, ἀλλὰ μακρὰ ἀσθένεια, γιατὶ μὲ τὴν ἀγάπη ἤμουν διαρκῶς συνδεδεμένος μαζί σου, γνωρίζοντας τὴ γνησιότητα τῆς ἀγάπης, τὴν ἐλευθερία τῆς γνώμης, τὴν ἀνυποκρισία καὶ εἰλικρίνειά σου. Καὶ δὲν ἔπαυσα νὰ διακηρύσσω πρὸς ὅλους τὴν προθυμία ποὺ διαπίστωσα ἀπὸ τὴν εὐγένειά σου πάντοτε, ὄχι μόνο ὅταν ἤμουν παρών, ἀλλὰ καὶ ἀπών. Γιατὶ δὲν μοῦ διέφυγαν ὅσα φρόντισες νὰ λὲς καὶ νὰ κάνεις μετὰ τὴν ἀναχώρησή μου. Εἴθε ὁ Θεὸς νὰ σοῦ δώσει τὴν ἀνταμοιβὴ γι' αὐτό σου τὸ ἐνδιαφέρον, καὶ ἐδῶ καὶ στὸν μέλλοντα αἰώνα.

Γιὰ νὰ δοκιμάζω ὅμως περισσότερη χαρά, ὄχι μόνο ὅταν γράφω, ἀλλὰ καὶ ὅταν παίρνω γράμματα ἀπὸ τὴ χάρη σου, παρακαλῶ νὰ μοῦ γράψεις, ἀναγγέλλοντάς μου τὰ εὐχάριστα τῆς ὑγείας σου,

ράκλησιν. Ἂν γὰρ δεξώμεθα ἐπιστολὴν τῆς ἀγάπης σου, τὰ περὶ τῆς ρώσεως ἡμῖν ἀπαγγέλλουσαν τῆς σῆς καὶ τῶν σοὶ προσηκόντων ἁπάντων, πολλήν, καὶ ἐν ἀλλοτρίᾳ διατρίβοντες γῇ, δεξόμεθα παράκλησιν.

ΣS'

ΘΕΟΔΟΥΛΩι ΔΙΑΚΟΝΩι

Εἰ καὶ χαλεπὸς ὁ χειμὼν καὶ πρὸς ὕψος ἐγήγερται μέγα καὶ οἱ βουλόμενοι λυμαίνεσθαι ταῖς Ἐκκλησίαις ταῖς εἰς Γοτθίαν πολλὴν ποιοῦνται σπουδήν, πανταχοῦ περιτρέχοντες, ἀλλ' ὑμεῖς μὴ διαλίπητε τὰ παρ' ἑαυτῶν εἰσφέροντες. Κἂν γὰρ μηδὲν ἀνύσητε πλέον, ὅπερ οὐχ ἡγοῦμαι, ἀλλ' ὅμως τῆς γνώμης καὶ τῆς προθέσεως ἀπηρτισμένον ἔχετε παρὰ τοῦ φιλανθρώπου Θεοῦ τὸν μισθόν.

Μὴ τοίνυν κάμῃς, ἀγαπητέ, σπουδάζων, μεριμνῶν, φροντίζων καὶ διὰ σαυτοῦ καὶ δι' ἑτέρων, ὧν ἂν οἷόν τε ᾖ, ὥστε μὴ γενέσθαι ταραχὰς αὐτόθι καὶ θορύβους. Πρὸ δὲ πάντων εὔχεσθε καὶ μὴ διαλίπητε ἐκτενῶς δεόμενοι τοῦ φιλανθρώπου Θεοῦ καὶ μετὰ τῆς προσηκούσης σπουδῆς, ἵνα λύσῃ τὰ κατέχοντα νῦν κακὰ καὶ πολλὴν παράσχῃ καὶ βαθεῖαν τῇ Ἐκκλησίᾳ εἰρήνην. Τέως μέντοι, ὅπερ καὶ ἔμπροσθεν ἐπέσταλκα, πάντα ποιήσατε, ὥστε ἀναβολήν τινα γενέσθαι τῷ πράγματι, καὶ γράφε ἡμῖν συνεχῶς, ἕως ἂν ᾖς αὐτόθι.

ΣΖ'

ΤΟΙΣ ΜΟΝΑΖΟΥΣΙ ΓΟΤΘΟΙΣ ΤΟΙΣ ΕΝ ΤΟΙΣ ΠΡΟΜΩΤΟΥ

Ἔγνων καὶ πρὸ γραμμάτων τῶν ὑμετέρων ὅσην ὑπομένετε

---

1. Ἡ Γοτθία πρέπει νὰ ἦταν περιοχὴ κοντὰ στὶς ἐκβολὲς τοῦ Δούναβη, ὅπου εἶχαν τότε ἐγκατασταθεῖ οἱ πρῶτοι Γότθοι.

1. Πρόκειται γιὰ Γότθους ποὺ εἶχαν ἐγκατασταθεῖ στὴν Κωνσταντινούπολη, οἱ ὁποῖοι στὴν πλειοψηφία τους ἦταν πρώην ἀρειανοί, καὶ στοὺς ὁποίους ὁ ἱ. Χρυσό-

γιὰ νὰ παίρνω πολλὴ παρηγοριὰ καὶ ἐδῶ στὴν ἐρημιὰ ποὺ ζῶ. Γιατί, ἂν δεχθῶ ἐπιστολὴ τῆς ἀγάπης σου, ποὺ νὰ μὲ πληροφορεῖ γιὰ τὴν ὑγεία τὴ δική σου καὶ ὅλων τῶν δικῶν σου, πολὺ θὰ ἀνακουφισθῶ, ἔστω καὶ ἂν ζῶ σὲ χώρα ξένη.

206

ΣΤΟ ΔΙΑΚΟΝΟ ΘΕΟΔΟΥΛΟ

Ἂν καὶ ὁ χειμώνας εἶναι φοβερὸς καὶ πολὺ ἐξαγριωμένος, καὶ αὐτοὶ ποὺ θέλουν νὰ καταστρέψουν τὶς Ἐκκλησίες στὴ Γοτθία[1] καταβάλλουν πολλὴ προσπάθεια, τρέχοντας παντοῦ, σεῖς ὅμως μὴ παραλείπετε νὰ προσφέρετε ὅ,τι μπορεῖτε. Γιατί, καὶ ἂν ἀκόμα δὲν ὠφελήσετε σὲ τίποτε πιά, πρᾶγμα ποὺ δὲν τὸ πιστεύω, ὅμως γιὰ τὴ γνώμη καὶ τὴν πρόθεσή σας θὰ ἔχετε ἑτοιμασμένο τὸ μισθό σας ἀπὸ τὸν φιλάνθρωπο Θεό.

Μὴν ἀποκάμεις λοιπόν, ἀγαπητέ, νὰ προσπαθεῖς, νὰ μεριμνᾶς, νὰ φροντίζεις καὶ ὁ ἴδιος καὶ μαζὶ μὲ ἄλλους, ὅσο εἶναι δυνατόν, ὥστε νὰ μὴ προκαλοῦνται ἐκεῖ ταραχὲς καὶ θόρυβοι. Προπαντὸς ὅμως νὰ προσεύχεσθε καὶ νὰ μὴ παραλείπετε νὰ παρακαλεῖτε ἀκατάπαυστα τὸν φιλάνθρωπο Θεὸ καὶ μὲ τὴ πρέπουσα διάθεση, νὰ διαλύσει τὰ κακὰ ποὺ ἐπικρατοῦν τώρα, καὶ νὰ δώσει πολλὴ καὶ βαθειὰ εἰρήνη στὴν Ἐκκλησία. Μέχρι νὰ γίνει αὐτὸ ὅμως, ὅπως ἔγραψα καὶ προηγουμένως, κάνετε τὰ πάντα, ὥστε νὰ ἀνασταλεῖ κάπως τὸ κακὸ καὶ γράφε μου συνεχῶς, ὅσο καιρὸ θὰ βρίσκεσαι ἐκεῖ.

207

ΣΤΟΥΣ ΓΟΤΘΟΥΣ ΜΟΝΑΧΟΥΣ, ΤΗΣ ΠΕΡΙΟΧΗΣ ΤΟΥ ΠΡΟΜΩΤΟΥ[1]

Ἔμαθα καὶ πρὶν ἀπὸ τὰ γράμματά σας πόση θλίψη ὑποφέρετε,

στομος εἶχε παραχωρήσει τὸ προνόμιο νὰ ἔχουν δικό τους ναό, ὁμόγλωσσους κληρικούς, νὰ γίνεται τὸ κήρυγμα στὴ γλώσσα τους κλπ. (βλ. Θεοδωρήτου, *Ἐκκλ. Ἱστ.* 5,29, καὶ Φωτίου, *Μυριόβιβλον* 203).

θλῖψιν, ὅσας ἐπιβουλάς, ὅσους πειρασμούς, ὅσας ἐπηρείας, καὶ διὰ τοῦτο μάλιστα ὑμᾶς μακαρίζω, τοὺς στεφάνους τοὺς ἐκ τούτων ἐννοῶν, τὰ βραβεῖα, τὰ ἔπαθλα. Ὥσπερ γὰρ οἱ ἐπιβουλεύοντες ὑμῖν καὶ ταράττοντες ὑμᾶς κρῖμα καθ' ἑαυτῶν χαλεπὸν ἐπιφέρουσι καὶ τὸ τῆς γεέννης κατὰ τῆς ἑαυτῶν κεφαλῆς ἐπισωρεύουσι πῦρ, οὕτως ὑμεῖς οἱ ταῦτα πάσχοντες πολλῆς ἀπολαύσεσθε τῆς ἀμοιβῆς, πολλῆς τῆς ἀντιδόσεως. Μὴ δὴ θορυβεῖσθε, μηδὲ διαταράττεσθε ἐντεῦθεν, ἀλλὰ χαίρετε καὶ σκιρτᾶτε, ἀποστολικὸν φρόνημα διατηροῦντες τὸ λέγον, «νῦν χαίρω ἐν τοῖς παθήμασί μου», καὶ πάλιν, «οὐ μόνον δέ, ἀλλὰ καὶ καυχώμεθα ἐν ταῖς θλίψεσιν, εἰδότες ὅτι ἡ θλῖψις ὑπομονὴν κατεργάζεται, ἡ δὲ ὑπομονὴ δοκιμήν». Δοκιμώτεροι τοίνυν γενόμενοι καὶ εὐπορώτεροι τὴν εὐπορίαν τὴν ἐν οὐρανοῖς, κἂν χαλεπώτερα τούτων πάσχητε, μειζόνως ἀγάλλεσθε. «Οὐ γὰρ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλύπτεσθαι εἰς ἡμᾶς».

Οὐδὲ γὰρ ἔλαθεν ἡμᾶς ἡ ὑπομονὴ ὑμῶν, ἡ ἀνδρεία, ἡ καρτερία, ἡ γνησία καὶ θερμὴ διάθεσις, τὸ ἀκλινὲς ὑμῶν τῆς γνώμης, τὸ ἀπερίτρεπτον, τὸ ἀκίνητον. Διὸ καὶ ἡμεῖς ὑμῖν πολλὰς ὁμολογοῦμεν χάριτας καὶ συνδεδέμεθα ὑμῶν ταῖς ψυχαῖς διηνεκῶς καὶ τῆς ὁδοῦ τὸ μῆκος οὐδὲ ῥᾳθυμοτέρους ἡμᾶς περὶ τὴν ἀγάπην τὴν ὑμετέραν ἐργάζεται. Χάριν δὲ ὑμῖν ἔχω καὶ τῆς σπουδῆς ἣν ἐπεδείξασθε ὑπὲρ τοῦ μηδένα θόρυβον γενέσθαι ἐν τῇ Ἐκκλησίᾳ τῇ τῶν Γότθων, ἀλλ' εἰς ἀναβολὴν τὸ πρᾶγμα ἐμπεσεῖν. Καὶ οὐ μόνον οὐκ ἐγκαλῶ, ὅτι οὐδένα ἐπέμψατε, ἀλλὰ καὶ ἐπαινῶ καὶ θαυμάζω. Ἐκεῖνο γὰρ πολὺ τούτου προτιμότερον, τὸ πάντας ὑμᾶς εἰς τὴν ὑπόθεσιν ταύτην ἀσχολεῖσθαι.

Μὴ δὴ διαλίπητε τὰ παρ' ὑμῶν αὐτῶν εἰσφέροντες καὶ δι' ὑμῶν αὐτῶν καὶ δι' ἑτέρων, ὧν ἂν οἷόν τε ᾖ, ὥστε ὑπέρθεσιν τῷ πράγματι γενέσθαι. Ἄν τε γὰρ ἀνύσητέ τι, ἄν τε μή, τὸν μισθὸν ἀπηρτισμένον ἔχετε τῆς γνώμης καὶ τῆς προθυμίας.

πόσες σκευωρίες, πόσους πειρασμούς, πόσες δοκιμασίες· καὶ γι' αὐτὸ σᾶς μακαρίζω κυρίως, σκεπτόμενος τὰ στεφάνια τῆς νίκης, τὰ βραβεῖα καὶ τὰ ἔπαθλα ἀπὸ ὅλα αὐτά. Γιατί, ὅπως αὐτοὶ ποὺ σᾶς ἐπιβουλεύονται καὶ σᾶς ἀναστατώνουν ἐπισύρουν μεγάλο κρίμα ἐναντίον τοῦ ἑαυτοῦ τους καὶ συσσωρεύουν τὴ φωτιὰ τῆς κολάσεως στὸ κεφάλι τους, ἔτσι σεῖς ποὺ ὑφίστασθε αὐτὰ θὰ ἔχετε μεγάλη ἀμοιβὴ καὶ μεγάλη ἀνταπόδοση. Μὴ θορυβεῖσθε λοιπὸν καὶ μὴ ταράζεσθε ἀπὸ αὐτά, ἀλλὰ νὰ χαίρεσθε καὶ νὰ σκιρτᾶτε, διατηρώντας τὴν ἀποστολικὴ πεποίθηση ποὺ λέει· «χαίρομαι τώρα γιὰ ὅσα ὑποφέρω»[2]· καὶ πάλι· «δὲν καυχιόμαστε μόνο γιὰ τὴν ἐλπίδα, ἀλλὰ καὶ γιὰ τὶς θλίψεις, ἐπειδὴ ξέρουμε ὅτι ἡ θλίψη καλλιεργεῖ τὴν ὑπομονὴ καὶ ἡ ὑπομονὴ τὴ σταθερότητα»[3]. Ἀφοῦ λοιπὸν γίνατε πιὸ σταθεροὶ καὶ πιὸ πλούσιοι σὲ πλοῦτο οὐράνιο, καὶ ἂν πάθετε χειρότερα ἀπὸ αὐτά, νὰ χαίρεσθε περισσότερο. Γιατὶ «ὅσα ὑποφέρουμε τώρα δὲν ἰσοσταθμίζουν τὴ δόξα ποὺ μᾶς ἐπιφυλάσσει ὁ Θεὸς στὸ μέλλον»[4].

Δὲν μοῦ διέφυγε πάντως ἡ ὑπομονή σας, ἡ ἀνδρεία, ἡ καρτερία, ἡ γνήσια καὶ θερμὴ διάθεση, ἡ σταθερὴ γνώμη σας, ἡ ἀμετάτρεπτη καὶ ἀμετακίνητη. Γι' αὐτὸ καὶ ἐγὼ σᾶς ὀφείλω πολλὲς εὐχαριστίες καὶ εἶμαι διαρκῶς δεμένος ψυχικὰ μαζί σας, καὶ ἡ ἀπόσταση ποὺ μᾶς χωρίζει δὲν μὲ κάνει πιὸ νωθρὸ γιὰ τὴν ἀγάπη σας. Σᾶς ὀφείλω ἀκόμη χάρη καὶ γιὰ τὴν προθυμία ποὺ δείξατε, ὥστε νὰ μὴ δημιουργηθεῖ καμμιὰ ταραχὴ στὴν Ἐκκλησία τῶν Γότθων, ἀλλὰ νὰ περιπέσει ἡ κατάσταση σὲ ἀναβολή. Καὶ ὄχι μόνο δὲν σᾶς κατηγορῶ ποὺ δὲ στείλατε κανέναν, ἀλλὰ καὶ σᾶς ἐπαινῶ καὶ σᾶς θαυμάζω. Γιατὶ ἀπὸ αὐτὸ εἶναι προτιμότερο ἐκεῖνο, τὸ νὰ ἀσχολεῖσθε ὅλοι ἐσεῖς μὲ τὴν ὑπόθεση αὐτή.

Μὴ παραλείπετε λοιπὸν νὰ προσφέρετε ὅ,τι μπορεῖτε καὶ σεῖς οἱ ἴδιοι ἀλλὰ καὶ μὲ ἄλλους μαζί, μὲ ὅσους εἶναι δυνατόν, ὥστε νὰ ἐπιτευχεῖ ἀναβολὴ τοῦ πράγματος. Πάντως ἐσεῖς εἴτε κατορθώσετε κάτι, εἴτε ὄχι, ἔχετε ὁλοκληρωμένο τὸ μισθό σας γιὰ τὴ διάθεση καὶ τὴν προθυμία σας.

2. *Κολ.* 1,24.
3. *Ρωμ.* 5,3.
4. *Ρωμ.* 8,18.

ΣΗ'

ΑΚΑΚΙΩι ΠΡΕΣΒΥΤΕΡΩι

Ὁ οὕτω θερμὸς ἡμῶν ἐραστής, ὁ οὕτω σφοδρῶς περὶ ἡμᾶς διακείμενος, οὐδὲ γραμμάτων ἡμῖν μεταδίδως τῶν σῶν. Καίτοι γε ἤδη ἐπεστάλκαμεν καὶ ἅπαξ καὶ δίς, αὐτὸς δὲ ὀκνηρότερος περὶ τοῦτο γέγονας. Ἐννοῶν τοίνυν ἡλίκα ἡμῖν χαρίζῃ, τὰ περὶ τῆς ὑγιείας σου δηλῶν, μετὰ πολλοῦ τοῦ τάχους ἡμῖν γράψαι παρακλήθητι. Πολλὴν γὰρ καρπούμεθα παράκλησιν, τὰ περὶ τῆς ὑγείας ὑμῶν τῶν ἀγαπώντων ἡμᾶς μανθάνοντες συνεχῶς.

ΣΘ'

ΣΑΛΒΙΩΝΙ

Ὅτι μὲν ἡμᾶς ἀγαπᾷς, κἂν γράφῃς κἂν σιγᾷς, οἶδα σαφῶς. Οὐδὲ γαρ δύνασαι λαθεῖν οὕτω σφοδρὸς ἡμῶν ὢν ἐραστής, ἀλλὰ πάντες τοῦτο ᾄδουσι καὶ πολλοὶ πρὸς ἡμᾶς ἀφικνούμενοι τὴν θερμήν σου καὶ γνησίαν ἡμῖν ἀπαγγέλλουσιν ἀγάπην. Ἐβουλόμεθα δὲ καὶ γράμματα συνεχῶς δέχεσθαι παρὰ τῆς εὐγενείας τῆς σῆς, περὶ τῆς ὑγείας τῆς σῆς δηλοῦντα καὶ τῆς δεσποίνης μου τῆς ἐλευθέρας σου καὶ τοῦ οἴκου σου παντός· οἶσθα γὰρ ὅπως ἡμῖν τοῦτο περισπούδαστον.

Ταῦτ' οὖν εἰδώς, δέσποτά μου τιμιώτατε, εἰ καὶ ἐργῶδες ὅπερ αἰτοῦμεν λοιπὸν διὰ τὴν τοῦ χειμῶνος ὥραν καὶ τὸ σπανιάκις ἡμῖν τινας ἐπιχωριάζειν, ὅτε ἂν ἐξῇ, γράφειν ἡμῖν μὴ κατόκνει, ταῦτα δηλῶν ἅπερ ᾐτήσαμεν. Τὴν γὰρ ὑγείαν τὴν ὑμετέραν καὶ τὴν ἀσφάλειαν ἡμέτερον εἶναι νομίζομεν πλοῦτον καὶ εὐφροσύνην καὶ πολλὴν ἡδονήν. Μὴ δὴ τοσαύτης ἡμᾶς ἀποστερήσῃς ἡδονῆς, ἀλλὰ χαρίζου τοῖς σφόδρα σε ἀγαπῶσι τὴν διὰ τῶν τοιούτων γραμμάτων παράκλησιν, πολλὴν ἡμῖν κομίζουσαν τὴν παραμυθίαν.

208

ΣΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟ ΑΚΑΚΙΟ

Σὺ ὁ τόσο θερμὸς θαυμαστής μου, ποὺ τόσο πολὺ ἀφοσιωμένος ἤσουν σὲ μένα, δὲν μοῦ στέλνεις οὔτε γράμματά σου. Ἂν καὶ βέβαια σοῦ ἔγραψα ἤδη καὶ μιὰ καὶ δυὸ φορές, σὺ ὅμως ἔγινες πιὸ ὀκνηρὸς στὸ θέμα αὐτό. Σκεπτόμενος λοιπὸν πόσα μοῦ χαρίζεις ἀναγγέλλοντάς μου τὰ τῆς ὑγείας σου, σὲ παρακαλῶ νὰ μοῦ γράψεις πολὺ γρήγορα. Γιατὶ παίρνω πολλὴ παρηγοριὰ μαθαίνοντας συνεχῶς γιὰ τὴν ὑγεία προσώπων, ὅπως ἐσύ, ποὺ μὲ ἀγαπᾶτε.

209

ΣΤΟΝ ΣΑΛΒΙΩΝΑ

Ὅτι μὲ ἀγαπᾶς, εἴτε γράφεις εἴτε σιωπᾶς, τὸ γνωρίζω βέβαια καλά. Γιατὶ δὲν μπορεῖς νὰ κρυφτεῖς ὅτι εἶσαι τόσο σφοδρὸς θαυμαστής μου, ἀλλὰ ὅλοι τὸ διαλαλοῦν αὐτὸ καὶ πολλοὶ ἐρχόμενοι σὲ μᾶς, μὲ πληροφοροῦν γιὰ τὴ θερμὴ καὶ γνήσια ἀγάπη σου. Θὰ ἤθελα ὅμως νὰ παίρνω καὶ γράμματα συνεχῶς ἀπὸ τὴν εὐγένειά σου, ποὺ νὰ μοῦ μιλοῦν γιὰ τὴν ὑγεία τὴ δική σου καὶ τῆς κυρίας μου, τῆς ἀπελεύθερής σου[1], καὶ ὁλόκληρου τοῦ σπιτιοῦ σου· γιατὶ γνωρίζεις πόσο σπουδαῖο εἶναι αὐτὸ γιὰ μένα.

Γνωρίζοντας λοιπὸν αὐτά, ἐντιμότατε δεσπότη μου, ἂν καὶ εἶναι δύσκολο αὐτὸ ποὺ ζητῶ, ἐξαιτίας τῆς ἐποχῆς τοῦ χειμώνα καὶ τοῦ ὅτι σπάνια ἔρχονται κάποιοι πρὸς ἐμᾶς, ὅταν εἶναι δυνατόν, μὴν ἀδιαφορεῖς νὰ μοῦ γράφεις αὐτὰ ποὺ ζήτησα. Γιατὶ τὴν ὑγεία καὶ τὴν ἀσφάλεια τὴ δική σας τὴ θεωρῶ ὅτι εἶναι δικός μου πλοῦτος καὶ χαρὰ καὶ πολλὴ εὐχαρίστηση. Μὴ μοῦ στερήσεις λοιπὸν ἀπὸ τόση εὐχαρίστηση, ἀλλὰ χάριζε σὲ μένα, ποὺ σ' ἀγαπῶ τόσο πολύ, τὴν παρηγοριὰ τῶν γραμμάτων σου, ποὺ μοῦ φέρνουν μεγάλη ἀνακούφιση.

1. Ἀπελεύθεροι ἦταν οἱ πρώην δοῦλοι ποὺ εἶχαν ἐλευθερωθεῖ (Πλάτ., *Νόμοι*, 930D. Λυσ. 109,13). Πρβλ. καὶ *Α' Κορ.* 7,22. Βλ. καὶ *Ἐπιστολὴ* 168η: «Πρόβη ἐλευθέρᾳ ἐν Ρώμῃ».

ΣΙ'

ΘΕΟΔΩΡΩι

Ἐθαύμασα πῶς παρ' ἑτέρων ἔμαθον τὴν ῥᾳθυμίαν Σαλουστίου τοῦ πρεσβυτέρου. Καὶ γὰρ ἐγνωρίσθη μοι ὅτι μόλις πέντε ὁμιλίας εἶπεν ἕως Ὀκτωβρίου μηνός, καὶ ὅτι καὶ αὐτὸς καὶ Θεόφιλος ὁ πρεσβύτερος, ὁ μὲν ὄκνῳ, ὁ δὲ δειλίᾳ, οὐ παραβάλλουσι τῇ συνάξει. Ἀλλὰ Θεοφίλῳ μὲν σφοδρότερον ἐπέστειλα, καθαψάμενος αὐτοῦ, Σαλουστίου δὲ ἕνεκεν τῇ σῇ ἐπιστέλλω τιμιότητι, ἐπειδὴ οἶδα πῶς αὐτοῦ σφοδρὸς ἐραστὴς εἶ· καὶ σφόδρα χαίρω καὶ εὐφραίνομαι ἐπὶ τούτῳ. Καὶ ἀλγῶ πρὸς τὴν σὴν τιμιότητα, ὅτι μοι οὐκ ἐποίησας τοῦτο δῆλον, δέον καὶ διορθῶσαι, αὐτὸς δὲ οὐδέτερον τούτων ἐποίησας. Νῦν γοῦν παρακαλῶ, καὶ σαυτῷ καὶ ἡμῖν τὰ μέγιστα χαριζόμενος, διέγειρον αὐτὸν σφοδρότερον, καὶ μὴ ἔα αὐτὸν καθεύδειν, μηδὲ ἀργεῖν. Εἰ γὰρ μὴ νῦν ἐν τῷ χειμῶνι τῶν πραγμάτων τούτων καὶ τῇ ζάλῃ τὴν προσήκουσαν ἐπιδείξαιτο ἀνδρείαν, πότε αὐτοῦ δεηθησόμεθα οὕτως; ὅταν γαλήνη γένηται καὶ εἰρήνη;

Παρακαλῶ τοίνυν, τὰ σαυτῷ πρέποντα ποιῶν καὶ αὐτὸν καὶ πάντας διέγειρον εἰς τὴν σπουδὴν καὶ τὴν ἀντίληψιν τοῦ χειμαζομένου λαοῦ, ὃ καὶ πρὸ τῶν ἡμετέρων γραμμάτων εὖ οἶδ' ὅτι οἴκοθεν καὶ παρὰ σαυτοῦ ποιεῖς.

ΣΙΑ'

ΤΙΜΟΘΕΩι ΠΡΕΣΒΥΤΕΡΩι

Ἡμεῖς μὲν σοὶ καὶ πρώην ἐπεστάλκαμεν καὶ τῷ κυρίῳ μου τῷ τιμιωτάτῳ τριβούνῳ Μαρκιανῷ, αὐτὸς δὲ οὔτε παρ' ἐκείνου γράμματα ἡμῖν πεμφθῆναι παρεσκεύασας, οὔτε αὐτὸς ἡμῖν ἐπέσταλκας. Ἀλλ' ὅμως ἡμεῖς ἑαυτοὺς μιμούμενοι, οὐ παυόμεθα διηνεκῶς ὑμῶν

1. Βλ. καὶ Ἐπιστολὴ 203 καὶ 212.
2. Ὁ. π.

210

ΣΤΟ ΘΕΟΔΩΡΟ

Ἀπόρησα ποὺ ἔμαθα ἀπὸ ἄλλους τὴ ραθυμία τοῦ πρεσβυτέρου Σαλουστίου[1]. Γιατὶ μοῦ ἔγινε γνωστὸ ὅτι μόλις πέντε ὁμιλίες ἐκφώνησε μέχρι τὸ μήνα Ὀκτώβριο καὶ ὅτι καὶ αὐτὸς καὶ ὁ πρεσβύτερος Θεόφιλος[2], ὁ ἕνας ἀπὸ ὀκνηρία καὶ ὁ ἄλλος ἀπὸ δειλία, δὲν ἔρχονται στὴ σύναξη. Καὶ στὸν Θεόφιλο βέβαια ἔγραψα μὲ αὐστηρότητα καὶ τὸν ἔψεξα, γιὰ τὸν Σαλούστιο ὅμως γράφω στὴν ἐντιμότητά σου, ἐπειδὴ γνωρίζω ὅτι εἶσαι μεγάλος θαυμαστής του, καὶ χαίρομαι πολὺ καὶ εὐφραίνομαι γι' αὐτό. Πονῶ ὅμως γιὰ τὴν ἐντιμότητά σου, ποὺ δὲ μοῦ τὸ ἔκανες γνωστό, ἐνῶ ἔπρεπε καὶ νὰ τὸν διορθώσεις, σὺ ὅμως δὲν ἔκανες κανένα ἀπὸ αὐτὰ τὰ δύο. Τώρα λοιπὸν σὲ παρακαλῶ, χαρίζοντας μεγάλη χαρὰ καὶ στὸν ἑαυτό σου καὶ σὲ μένα, διέγειρέ τον περισσότερο καὶ μὴ τὸν ἀφήνεις νὰ κοιμᾶται οὔτε νὰ μένει ἀργός. Διότι, ἂν τώρα μέσα στὴν ἔξαρση τῆς καταστάσεως αὐτῆς καὶ τῆς παραζάλης δὲ δείξει τὴν ἀνδρεία ποὺ ἀπαιτεῖται, πότε θὰ τὸν χρειασθοῦμε τόσο; Ὅταν γίνει γαλήνη καὶ εἰρήνη;

Παρακαλῶ λοιπόν, κάνοντας ὅ,τι ταιριάζει σὲ σένα, καὶ αὐτὸν καὶ ὅλους ξεσήκωσέ τους νὰ σπεύσουν καὶ νὰ βοηθήσουν τὸ χειμαζόμενο λαό, πρᾶγμα ποὺ καὶ πρὶν ἀπὸ τὰ δικά μου γράμματα γνωρίζω καλὰ πὼς τὸ κάνεις αὐτοπροαίρετα καὶ ἀπὸ μόνος σου.

211

ΣΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟ ΤΙΜΟΘΕΟ

Ἐγὼ βέβαια καὶ προηγουμένως ἔγραψα καὶ σὲ σένα καὶ στὸν κύριό μου τὸν ἐντιμότατο τριβοῦνο[1] Μαρκιανό, ἀλλὰ σὺ οὔτε ἀπὸ ἐκεῖνον φρόντισες νὰ μοῦ σταλοῦν γράμματα, οὔτε ὁ ἴδιος μοῦ ἔγραψες. Ὅμως ἐγώ, μιμούμενος τὸν ἑαυτό μου, δὲν παύω νὰ σὲ

1. Ὁ Τριβοῦνος ἦταν διοικητὴς τάγματος.

μεμνημένοι καὶ ἐπιστέλλοντες, ἡνίκα ἂν ἐξῇ, ὃ δὴ καὶ νῦν πεποιήκαμεν, χάριτας ὑμῖν ὁμολογοῦντες μυρίας ὑπὲρ τῆς σπουδῆς ἧς ἐπιδείκνυσθε καὶ τῶν κινδύνων οὓς ὑπομένετε, καὶ μακαρίζοντες ὑμᾶς. Οὐ γὰρ μικροὺς ἐντεῦθεν ὑμῖν προαποτίθεσθε στεφάνους, πρὸς ὀλίγον μὲν θλιβόμενοι, διηνεκεῖς δὲ ἀμοιβὰς ἐν τοῖς οὐρανοῖς προπαρασκευάζοντες ὑμῖν καὶ πολλῷ μείζους τῶν ἱδρώτων τούτων. «Οὐ γὰρ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς».

ΣΙΒ'

ΘΕΟΦΙΛΩι ΠΡΕΣΒΥΤΕΡΩι

Σφόδρα ἤλγησα ἀκούσας ὅτι καὶ σὺ καὶ Σαλούστιος ὁ πρεσβύτερος οὐ συνεχῶς πρὸς τὴν σύναξιν παραβάλλετε, καὶ οὐχ ὡς ἔτυχέ με τοῦτο ἐλύπησε. Παρακαλῶ τοίνυν, εἰ μὲν ψεῦδος τοῦτο, δηλῶσαί μοι σπουδάσατε, ὅτι μάτην ἐσυκοφαντήθητε, εἰ δὲ ἀληθές, διορθώσασθε τὴν τοιαύτην ῥᾳθυμίαν. Ὥσπερ γὰρ μέγιστος ὑμῖν ἐστιν ὁ μισθός, μάλιστα ἐν τῷ παρόντι καιρῷ τὴν προσήκουσαν ἀνδρείαν ἐπιδεικνυμένοις, οὕτως οὐ τὸ τυχὸν ἔσται κρῖμα ὀκνοῦσι καὶ ἀναδυομένοις καὶ τὰ παρ' ἑαυτῶν οὐκ εἰσφέρουσιν. Ἴστε γὰρ τί πέπονθεν ὁ τὸ τάλαντον καταχώσας τὸ ἕν, ὃς οὐδὲν ἕτερον ἐγκαλούμενος, διὰ τοῦτο μόνον ἐκολάζετο καὶ ἀπαραίτητον ἐδίδου δίκην.

Σπουδάσατε οὖν διὰ τάχους ἐλευθερῶσαί με τῆς φροντίδος. Ὥσπερ γὰρ πολλήν μοι φέρει παράκλησιν καὶ παραμυθίαν ἐπειδὰν ἀκούσω, ὅτι μετὰ προθυμίας ἅπαντα τὸν χειμαζόμενον λαὸν συγκροτεῖτε, οὕτως ἐπειδὰν μάθω, ὅτι τινὲς ῥᾳθυμοῦσιν, οὐχ ὡς ἔτυχεν ἀλγῶ ὑπὲρ αὐτῶν τῶν ῥᾳθυμούντων. Τὴν μὲν γὰρ καλλίστην ἀγέλην ἐκείνην ἡ τοῦ Θεοῦ χάρις καθ' ἑκάστην συγκροτεῖ ἡμέραν, καθάπερ καὶ ὑμεῖς διὰ τῶν ἔργων αὐτῶν ἔγνωτε, οἱ δὲ ῥᾳθυμίᾳ τὰ παρ' ἑαυτῶν ἐλλιμπάνοντες, οὐ μικρὸν ἑαυτοῖς διὰ τῆς ῥᾳθυμίας ταύτης συνάγουσι κρῖμα.

---

2. *Ρωμ.* 8,18.

θυμᾶμαι διαρκῶς καὶ νὰ σοῦ γράφω, ὅταν εἶναι δυνατόν, πρᾶγμα ποὺ καὶ τώρα ἔκανα, ἐκφράζοντάς σου μύριες εὐχαριστίες γιὰ τὴν προθυμία ποὺ δείχνεις καὶ τοὺς κινδύνους ποὺ περνᾶς, καὶ σὲ μακαρίζω. Γιατὶ δὲν ἐξασφαλίζεις ἀπὸ αὐτὰ μικρὰ στεφάνια νίκης, στενοχωρούμενος βέβαια γιὰ λίγο, ἀλλὰ προετοιμάζοντας ἀμοιβὲς στοὺς οὐρανοὺς μόνιμες καὶ πολὺ μεγαλύτερες ἀπὸ αὐτοὺς τοὺς κόπους. Γιατὶ «ὅσα ὑποφέρουμε τώρα δὲν ἰσοσταθμίζουν τὴ δόξα ποὺ μᾶς ἐπιφυλάσσει ὁ Θεὸς στὸ μέλλον»[2].

212

ΣΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟ ΘΕΟΦΙΛΟ

Πολὺ πόνεσα ὅταν ἄκουσα ὅτι σὺ καὶ ὁ πρεσβύτερος Σαλούστιος[1] δὲν πηγαίνετε συνεχῶς στὴ σύναξη, καὶ αὐτὸ μὲ λύπησε πολύ. Παρακαλῶ λοιπόν, ἐὰν βέβαια αὐτὸ εἶναι ψέμα, νὰ φροντίσεις νὰ μοῦ ἀναφέρεις ὅτι ἄδικα συκοφαντηθήκατε· ἐὰν ὅμως εἶναι ἀληθινό, νὰ διορθώσετε αὐτὴ τὴ ραθυμία. Γιατί, ὅπως θὰ εἶναι πολὺ μεγάλος ὁ μισθὸς δείχνοντας πρὸ πάντων στὴν παρούσα περίσταση τὴν ἀνδρεία ποὺ πρέπει, ἔτσι δὲν θὰ εἶναι τυχαῖο τὸ κρίμα, ἐὰν δείχνετε ὀκνηρία καὶ ἀποφεύγετε καὶ δὲν προσφέρετε ὅ,τι μπορεῖτε. Γιατὶ γνωρίζετε τί ἔπαθε ἐκεῖνος ποὺ παράχωσε τὸ ἕνα τάλαντο, ποὺ χωρὶς νὰ κατηγορεῖται γιὰ ἄλλο τίποτε, γι' αὐτὸ καὶ μόνο ἐπιτιμῶταν καὶ δεχόταν ἀπαραίτητη τιμωρία[3].

Φρόντισε λοιπὸν τὸ ταχύτερο νὰ μὲ ἀπαλλάξεις ἀπὸ τὴν ἀγωνία. Γιατί, ὅπως μοῦ φέρνει μεγάλη παρηγοριὰ καὶ ἀνακούφιση, ὅταν ἀκούω ὅτι μὲ προθυμία συσπειρώνετε ὅλο τὸν δοκιμαζόμενο λαό, ἔτσι, ὅταν μάθω ὅτι μερικοὶ δείχνουν ραθυμία, πονῶ πάρα πολὺ γι' αὐτοὺς ποὺ ραθυμοῦν. Γιατὶ τὴν καλὴ ἐκείνη ἀγέλη τὴν συγκροτεῖ κάθε μέρα ἡ χάρη τοῦ Θεοῦ, ὅπως τὸ γνωρίσατε καὶ σεῖς ἀπὸ τὰ ἔργα σας, ἐκεῖνοι ὅμως ποὺ ἀπὸ ραθυμία παραλείπουν τὸ χρέος τους, δὲν ἐπισύρουν στὸν ἑαυτό τους μικρὸ κρίμα μὲ τὴ ραθυμία τους αὐτή.

---

1. Βλ. καὶ *Ἐπιστολὴ* 203 καὶ 210.
2. *Ματθ.* 25,24–30.

ΣΙΓ'

ΦΙΛΙΠΠΩι ΠΡΕΣΒΥΤΕΡΩι

Ἐθαύμασα, πῶς ἐν οὕτω χρόνῳ μακρῷ ἡμῖν οὐκ ἐπέσταλκας, ἀλλ' ἀγάπην μὲν περὶ ἡμᾶς ἐπιδείκνυσαι καὶ ἀπόντας πολλήν, γραμμάτων δὲ ἡμῖν οὐ μετέδωκας τῶν σῶν. Νῦν γοῦν ἡμῖν γράφειν μὴ κατοκνήσῃς, τὰ περὶ τῆς ὑγείας τῆς σῆς δηλῶν· ὡς ἡμεῖς γε, καὶ μὴ γράφοντός σου, τὰ σὰ περιεργαζόμεθα καὶ ἔγνωμεν, ὅτι καὶ τῆς σχολῆς ἐξεβλήθητε, τὴν ὑμῖν πρέπουσαν παρρησίαν ἐπιδειξάμενοι. Τοῦτο ὑμῖν μισθός, τοῦτο πραγματεία οὐράνιος, τοῦτο στέφανος ἀκήρατος, τοῦτο βραβείων πλῆθος. Ταυτ' οὖν ἅπαντα λογιζόμενοι, γενναίως φέρετε τὰ συμπίπτοντα.

Ταῦτ' οὖν ἅπαντα λογιζόμενοι, γενναίως φέρετε τὰ συμπίπτοντα. Ἱκανὸς γὰρ ὁ Θεὸς καὶ τοὺς πειρασμοὺς λῦσαι τούτους καὶ ταχίστην ποιῆσαι γαλήνην καὶ τῆς ὑπομονῆς ὑμῖν ταύτης πολὺν καὶ ἐν τῷ μέλλοντι αἰῶνι δοῦναι τὸν μισθόν.

ΣΙΔ'

ΣΕΒΑΣΤΙΑΝΩι ΠΡΕΣΒΥΤΕΡΩι

Εἰ καὶ τῷ σώματι κεχωρίσμεθά σου τῆς τιμιότητος, ἀλλὰ καὶ τῇ ἀγάπῃ σοι συνδεδέμεθα, καὶ ὅπουπερ ἂν ὦμεν, περιφέρομέν σου τὴν διάθεσιν ἐπὶ τῆς μνήμης, κἂν εἰς αὐτὰ τῆς οἰκουμένης ἀπενεχθῶμεν τὰ τέρματα. Ὅτι δὲ καὶ αὐτὸς ἄληστον ἔχεις τὴν μνήμην ἡμῶν, οὐδὲν οἶμαι δεῖν ἀμφιβάλλειν. Οἶδα γάρ σου τὸ γνήσιον τῆς διαθέσεως, τῆς ἀγάπης τὸ στερρόν, τὸ ἀπερίτρεπτον τῆς γνώμης. Διὸ καὶ παρακαλοῦμεν συνεχῶς ἡμῖν ἐπιστέλλειν, καὶ τὰ περὶ τῆς ὑγείας τῆς σῆς εὐαγγελίζεσθαι. Σφόδρα γὰρ ἡμῖν περισπούδαστον περὶ ταύτης μανθάνειν, καὶ πολλὴν καὶ ἐν ἐρημίᾳ διατρίβοντες ἀπὸ τῶν τοιούτων γραμμάτων καρπωσόμεθα τὴν παράκλησιν.

213

ΣΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟ ΦΙΛΙΠΠΟ

᾿Απόρησα πῶς μέσα σὲ τόσο μακρὸ χρονικὸ διάστημα δὲν μοῦ ἔγραψες, καὶ ἐνῶ δείχνεις πολλὴ ἀγάπη γιὰ μένα, ἀκόμα καὶ ὅταν εἶμαι ἀπών, ὅμως γράμματά σου δὲν μοῦ ἔστειλες. Τώρα λοιπὸν μὴ ἀδιαφορήσεις νὰ μοῦ γράψεις, ἀναφέροντάς μου τὰ τῆς ὑγείας σου. Πάντως ἐγώ, καὶ χωρὶς νὰ μοῦ γράφεις, ἀσχολοῦμαι μὲ τὰ δικά σου, καὶ γνωρίζω ὅτι καὶ ἀπὸ τὴ σχολὴ διώχθηκες, δείχνοντας τὸ θάρρος ποὺ σοῦ ταιριάζει. Αὐτὸ εἶναι γιὰ σένα μισθός, αὐτὸ ἐμπορία οὐράνια, αὐτὸ στεφάνι ἀμάραντο, αὐτὸ πλῆθος βραβείων.

Συλλογιζόμενος λοιπὸν ὅλα αὐτά, ὑπόμενε μὲ γενναιότητα ὅσα συμβαίνουν. Γιατὶ εἶναι ἱκανὸς ὁ Θεὸς καὶ τὶς δοκιμασίες αὐτὲς νὰ τὶς διαλύσει καὶ νὰ φέρει πολὺ γρήγορα γαλήνη, καὶ γιὰ τὴν ὑπομονή σου αὐτὴ νὰ σοῦ δώσει μεγάλο μισθὸ καὶ στὸν μέλλοντα αἰώνα.

214

ΣΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟ ΣΕΒΑΣΤΙΑΝΟ

῎Αν καὶ σωματικὰ ἔχω ἀποχωρισθεῖ ἀπὸ τὴν ἐντιμότητά σου, ἀλλ᾿ ὅμως μὲ τὴν ἀγάπη εἶμαι συνδεδεμένος μαζί σου κι ὅπου καὶ ἂν βρίσκομαι περιφέρω στὴ μνήμη μου τὴ διάθεσή σου, κι ἂν ἀκόμα μεταφερθῶ στὰ πέρατα τῆς οἰκουμένης. ῞Οτι βέβαια καὶ σὺ διατηρεῖς ἀξέχαστη τὴ μνήμη μου, νομίζω πὼς δὲν πρέπει νὰ ἀμιβάλλω. Γιατὶ γνωρίζω τὴν εἰλικρινῆ διάθεσή σου, τὴ σταθερὴ ἀγάπη σου καὶ τὴν ἀμετάτρεπτη γνώμη σου. Γι᾿ αὐτὸ καὶ παρακαλῶ νὰ μοῦ γράφεις συνεχῶς καὶ νὰ μοῦ ἀναφέρεις τὰ εὐχάριστα τῆς ὑγείας σου, γιατὶ εἶναι πολὺ σπουδαῖο γιὰ μένα νὰ μαθαίνω γι᾿ αὐτήν, καὶ ζώντας στὴν ἐρημιά, θὰ παίρνω πολλὴ παρηγοριὰ ἀπὸ τὰ γράμματά σου αὐτά.

ΣΙΕ'

ΠΕΛΑΓΙΩι ΠΡΕΣΒΥΤΕΡΩι

Οἶδά σου τὸ πρᾷον, τὸ ἐπιεικές, τὸ χρηστόν, τὸ γλυκύ, τὸ θερμὸν τῆς ἀγάπης, τὸ γνήσιον τῆς διαθέσεως τῆς περὶ ἡμᾶς. Διὸ καὶ προσαγορεύω σου τὴν τιμιότητα μετὰ πολλῆς τῆς προθυμίας καὶ δῆλον ποιῶ, ὅτι, ὅπουπερ ἂν ᾦ, ἐπὶ διανοίας σε περιφέρω. Παρακαλῶ τοίνυν, ἵνα καὶ ἑτέραν δεχώμεθα τὴν εὐφροσύνην, μὴ μόνον ἀπὸ τοῦ γράφειν, ἀλλὰ καὶ ἀπὸ τοῦ μανθάνειν τὰ περὶ τῆς ὑγείας τῆς σῆς δήλου ἡμῖν ταῦτα συνεχῶς. Κἂν γὰρ εἰς χαλεπωτέραν ταύτης ἐρημίαν ἀπενεχθῶμεν, δεχόμενοι τοιαῦτα παρ' ὑμῶν τῶν ἀγαπώντων ἡμᾶς γράμματα, πολλῆς ἀπολαυσόμεθα τῆς εὐφροσύνης.

ΣΙS'

ΜΟΥΣΩΝΙΩι

Καὶ ἤδη ἐπεστάλκαμέν σου τῇ εὐγενείᾳ, δέσποτά μου τιμιώτατε καὶ εὐλαβέστατε καὶ νῦν τὸ αὐτὸ πάλιν ποιοῦμεν, καίτοι μηδὲ ἅπαξ τοῦ ἐπεσταλκότος ἡμῖν. Ἀλλ' ὅμως ἡμεῖς οὐ διαλείψομεν συνεχῶς ὑμῖν ἐπιστέλλοντες καὶ τὸ ἡμῖν αὐτοῖς πρέπον ποιοῦντες. Ἐβουλόμεθα γὰρ καὶ πυκνότερον τοῦτο ποιεῖν, ἐπειδὴ δὲ καὶ ἐν ἐρημίᾳ πολλῇ χωρίου διατρίβομεν καὶ ὁ τῶν ληστῶν φόβος πολιορκεῖ τὴν πόλιν καὶ ἡ τοῦ χειμῶνος ὥρα ἀποτειχίζει τὰς ὁδούς, καὶ ταῦτα πάντα οὐκ ἀφίησι πολλοὺς ἡμῖν συνεχῶς ἐπιχωριάζειν, ἡνίκα ἂν ἐξῇ καὶ γραμματηφόρων ἐπιτύχωμεν, τὴν ὀφειλομένην πρόσρησριν ἀποδιδόαμέν σου τῇ εὐλαβείᾳ. Ἴσμεν γάρ σου τὸ γνήσιον τῆς ἀγάπης, τὴν θερμὴν διάθεσιν, τὸ ἀπερίτρεπτον τῆς γνώμης, τὴν ἐλευθερίαν, τὸ ἀνυπόκριτον. Διὸ καὶ ἐπὶ μνήμης σε διηνεκῶς περιφέρομεν, ὅπουπερ ἂν ὦμεν, καὶ ἐπιλαθέσθαι σου τῆς ἐμμελείας οὐ δυνάμεθα.

Ἵνα δὲ μὴ τῷ γράφειν μόνον, ἀλλὰ καὶ τῷ δέχεσθαι γράμματα, περὶ τῆς ὑγείας τῆς σῆς δηλοῦντα, εὐφραινόμεθα, πέμπε συνεχῶς ἡμῖν τοιαύτας ἐπιστολάς. Οὕτω γὰρ καὶ πόρρωθεν ὄντες πολλὴν καρπωσόμεθα ἀπὸ τῶν τοιούτων γραμμάτων παραμυθίαν, ὅταν

215

ΣΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟ ΠΕΛΑΓΙΟ

Γνωρίζω τὴν πραότητά σου, τὴν ἐπιείκεια, τὴν ἀγαθότητα, τὴ γλυκύτητα, τὴ θέρμη τῆς ἀγάπης καὶ τὴ γνησιότητα τῶν αἰσθημάτων σου γιὰ μένα. Γι' αὐτὸ καὶ χαιρετίζω τὴν ἐντιμότητά σου μὲ πολλὴ προθυμία καὶ δηλώνω, ὅτι, ὅπου καὶ ἂν βρίσκομαι, σὲ περιφέρω στὸ νοῦ μου. Παρακαλῶ λοιπόν, γιὰ νὰ δοκιμάζω καὶ ἄλλη εὐφροσύνη, ὄχι μόνο ἀπὸ τὸ νὰ μοῦ γράφεις, ἀλλὰ καὶ ἀπὸ τὸ νὰ μαθαίνω τὰ τῆς ὑγείας σου, κάμνε τά μου αὐτὰ γνωστὰ συνεχῶς. Γιατί, καὶ ἂν ἀκόμα μεταφερθῶ σὲ χειρότερη ἀπὸ τὴν ἐρημιὰ αὐτή, δεχόμενος τέτοια γράμματα ἀπὸ σένα ποὺ μὲ ἀγαπᾶς, θὰ ἀπολαμβάνω πολλὴ εὐφροσύνη.

216

ΣΤΟΝ ΜΟΥΣΩΝΙΟ

Ἔχω ἤδη γράψει στὴν εὐγένειά σου, ἐντιμότατε καὶ εὐλαβέστατε δεσπότη μου, καὶ τώρα πάλι τὸ ἴδιο κάνω, ἂν καὶ σὺ οὔτε μιὰ φορὰ δὲν μοῦ ἔγραψες. Ἀλλ' ὅμως ἐγὼ δὲ θὰ παραλείψω νὰ σοῦ γράφω συνεχῶς καὶ νὰ κάνω αὐτὸ ποὺ ταιριάζει σὲ μένα. Θὰ ἤθελα βέβαια νὰ τὸ κάμνω αὐτὸ πιὸ συχνά, ἐπειδὴ ὅμως ζοῦμε σὲ μεγάλη ἐρημιὰ χωριοῦ, καὶ ὁ φόβος τῶν ληστῶν πολιορκεῖ τὴν πόλη, καὶ ἡ ἐποχὴ τοῦ χειμώνα ἀποκλείει τοὺς δρόμους, καὶ ὅλα αὐτὰ δὲν ἐπιτρέπουν νὰ μᾶς ἐπισκέπτονται πολλοὶ συχνά, ὅταν εἶναι δυνατὸν καὶ βρίσκω γραμματοκομιστές, θὰ ἀποδίδω στὴν εὐλάβειά σου τὸν ὀφειλόμενο χαιρετισμό. Γιατὶ γνωρίζω τὴ γνήσια ἀγάπη σου, τὴν ἀμετάτρεπτη γνώμη, τὴν ἐλευθερία καὶ ἀνυποκρισία σου. Γι' αὐτὸ καὶ σὲ περιφέρω διαρκῶς στὴ μνήμη μου, ὅπου καὶ ἂν βρίσκομαι, καὶ δὲν μπορῶ νὰ ξεχάσω τὴ χάρη σου.

Ὅμως γιὰ νὰ μὴ χαίρομαι μόνο μὲ τὸ νὰ σοῦ γράφω, ἀλλὰ καὶ μὲ τὸ νὰ δέχομαι γράμματα, ποὺ νὰ μοῦ ἀναφέρουν γιὰ τὴν ὑγεία σου, στέλνε μου συνεχῶς τέτοιες ἐπιστολές. Γιατὶ ἔτσι, ἂν καὶ βρίσκομαι μακριά, θὰ αἰσθάνομαι μεγάλη παρηγοριὰ ἀπὸ αὐτὰ τὰ

ἀκούωμεν, ὅτι ὑμεῖς οἱ σφοδροὶ ἡμῶν ἐρασταὶ καὶ θερμοὶ ἐν εὐθυμίᾳ καὶ ἀσφαλείᾳ διάγετε.

ΣΙΖ'

ΒΑΛΕΝΤΙΝΩι

Οἶδά σου τὴν φιλότιμον ψυχήν, τὸν ἔρωτα τὸν θερμόν, ὃν περὶ τὰς τῶν πενήτων ἔχεις προστασίας, τὴν ἐπιθυμίαν, ἣν ἀεὶ περὶ τὴν καλὴν ταύτην ἐπιδείκνυσαι πραγματείαν, καὶ παρέχων καὶ μεθ' ἡδονῆς τοῦτο ποιῶν, καὶ διπλοῦν σοι τὸν στέφανον τὸν τῆς φιλανθρωπίας καὶ λαμπρότερον καθιστᾶς, καὶ τῇ δαψιλείᾳ καὶ τῇ γνώμῃ ἀφ' ἧς καὶ ἡ δαψίλεια γίνεται. Ἐπεὶ οὖν ἐδήλωσεν ἡμῖν ὁ τιμιώτατος πρεσβύτερος Δομετιανός, ὁ τῶν χηρῶν καὶ παρθένων τῶν αὐτόθι τὴν προστασίαν ἔχων, ὅτι σχεδὸν ἐν λιμῷ καθεστήκασιν, ὥσπερ εἰς λιμένα τὰς σὰς καταφεύγομεν χεῖρας, ὥστε τουτὶ λῦσαι τοῦ λιμοῦ τὸ ναυάγιον. Δέομαι οὖν σου, καὶ σφόδρα δέομαι, μεταπεμψάμενος τὸν πρεσβύτερον, ὅπερ ἂν ᾖ δυνατόν, ἐπικουρῆσαι παρακλήθητι. Τῆς γὰρ ἐν ἄλλῳ καιρῷ ἐλεημοσύνης ἡ νῦν παρεχομένη πολλῷ πλείονα παρέχει τὴν ἀμοιβήν, ὅσῳπερ ἐν χαλεπωτέρῳ χειμῶνι καὶ ζάλῃ καθεστήκασιν οἱ δεόμενοι λαβεῖν, οὐ τῆς εἰωθυίας ἀπολαύοντες ἀφθονίας.

Ἐννοήσας τοίνυν καὶ τοῦ πράγματος τὸ κέρδος καὶ τὴν ἀπὸ τοῦ καιροῦ γενομένην προσθήκην, τὰ σαυτοῦ ποιῆσαι παρακλήθητι. Οὐδὲν γὰρ δεῖ πλέον εἰπεῖν πρὸς φιλάνθρωπον οὕτω καὶ ἡμερωτάτην γράφοντες ψυχήν. Οἶδας γάρ, ὅτι καὶ σπόρτουλα ἡμῖν χρεωστεῖς, ἀλλ' ὅμως καὶ ἐκείνων ἕνεκεν εἰς τοῦτό σοι διαλυόμεθα. Καὶ γράψαι δὲ ἡμῖν παρακλήθητι, ὅτι ἐπένευσας ἡμῶν τῇ αἰτήσει, καὶ τὰ τῆς ὑγιείας τῆς σῆς εὐαγγελιζόμενος καὶ παντὸς τοῦ εὐλογημένου σου οἴκου.

γράμματα, ὅταν ἀκούω ὅτι σὺ ὁ μεγάλος καὶ ἔνθερμος θαυμαστής μου ζεῖς μὲ εὐθυμία καὶ ἀσφάλεια.

217

ΣΤΟΝ ΒΑΛΕΝΤΙΝΟ

Γνωρίζω τὴ φιλότιμη ψυχή σου, τὸ θερμὸ ἔρωτα ποὺ ἔχεις γιὰ τὴν προστασία τῶν φτωχῶν, τὴν ἐπιθυμία ποὺ δείχνεις πάντοτε γιὰ τὴν καλὴ αὐτὴ ἀσχολία καὶ δίνοντας καὶ κάνοντάς το αὐτὸ μὲ εὐχαρίστηση, καθιστώντας ἔτσι διπλὸ γιὰ σένα τὸ στεφάνι τῆς φιλανθρωπίας καὶ λαμπερό, καὶ γιὰ τὴ μεγαλοδωρεὰ καὶ γιὰ τὴ διάθεση μὲ τὴ ὁποία γίνεται ἡ μεγαλοδωρεά. Ἐπειδὴ λοιπὸν μοῦ ἀνέφερε ὁ ἐντιμότατος πρεσβύτερος Δομετιανός, ὁ ὁποῖος ἔχει τὴν προστασία τῶν χηρῶν καὶ τῶν παρθένων ποὺ ὑπάρχουν ἐκεῖ, ὅτι βρίσκονται σχεδὸν σὲ κατάσταση πείνας, καταφεύγω στὰ χέρια σου, σὰν σὲ λιμάνι, γιὰ νὰ τοὺς γλυτώσεις ἀπὸ αὐτὸ ἐδῶ τὸ ναυάγιο τῆς πείνας. Σὲ παρακαλῶ λοιπόν, καὶ σὲ παρακαλῶ πολύ, ἀφοῦ στείλεις καὶ καλέσεις τὸν πρεσβύτερο, νὰ τὸν βοηθήσεις σ' ὅ,τι εἶναι δυνατό. Γιατὶ ἡ ἐλεημοσύνη ποὺ γίνεται τώρα δίνει πολὺ μεγαλύτερη ἀνταμοιβὴ ἀπὸ τὴν ἐλεημοσύνη ποὺ γίνεται σὲ ἄλλη περίοδο, καὶ τόσο, ὅσο δυσκολότερος εἶναι ὁ χειμώνας καὶ ἡ φουρτούνα στὴν ὁποία βρίσκονται αὐτοὶ ποὺ ἔχουν ἀνάγκη νὰ πάρουν, μὴ διαθέτοντας τὴ συνηθισμένη ἐπάρκεια.

Σκεπτόμενος λοιπὸν καὶ τὸ κέρδος τοῦ πράγματος καὶ τὴν ἀπὸ τὶς περιστάσεις ἐπιβαλλόμενη συμπληρωματικὴ βοήθεια, παρακαλῶ νὰ πράξεις ὅ,τι ἐξαρτᾶται ἀπὸ σένα. Γιατὶ δὲν χρειάζεται νὰ πῶ τίποτε περισσότερο, γράφοντας σ' ἕνα τόσο φιλάνθρωπο μὲ τόσο καλλιεργημένη ψυχή. Γνωρίζεις ἄλλωστε ὅτι μοῦ χρωστᾶς καὶ εἰσφορά[1]· ἐξαιτίας ὅμως ἐκείνων σοῦ ἐξαλείφω τὸ χρέος αὐτό. Καὶ σὲ παρακαλῶ νὰ μοῦ γράψεις, ὅτι ἀνταποκρίθηκες στὴν αἴτησή μου καὶ νὰ μὲ πληροφορήσεις γιὰ τὰ εὐχάριστα τῆς ὑγείας τῆς δικῆς σου καὶ ὁλόκληρης τῆς εὐλογημένης οἰκογένειάς σου.

1. Σπόρτουλον σημαίνει δῶρο, εἰσφορά, ἔρανος (Βλ. Ἰω. Λυδοῦ, *Ρωμ.* 3,59 καὶ *Κῶδ. Ἰουστιν.*, I, 4,26,15).

ΣΙΗ'

ΕΥΘΥΜΙΩι ΠΡΕΣΒΥΤΕΡΩι

Μηδὲν ὑμᾶς λυπείτω τὸ τῆς σχολῆς ἐξεῶσθαι, ἀλλ', ἐννοοῦντες ὅσον καὶ ἐντεῦθεν ἐδέξαθε τὸν μισθὸν καὶ πῶς αὔξεται τὰ τῶν στεφάνων ὑμῖν, χαίρετε καὶ εὐφραίνεσθε ὑπὲρ τῶν παθημάτων τούτων καὶ τῶν ἐπιβουλῶν. Πολλὴν γὰρ ὑμῖν συνάγει ταῦτα τὴν ἐν οὐρανοῖς ἐμπορίαν καὶ λαμπροτέρους ποιεῖ καὶ μείζονα καθίστησι τὰ βραβεῖα. Στενὴ γὰρ καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωήν. Καὶ ἡμῖν δὲ συνεχῶς ἐπιστέλλειν τὰ περὶ τῆς ὑγείας τῆς σῆς μὴ κατόκνει. Οἶσθα γὰρ ὅπως συνδεδέμεθά σου τῇ ἀγάπῃ καὶ πῶς, ὅπουπερ ἂν ὦμεν, ἐπὶ διανοίας σε περιφέρω, ἀεὶ σου θερμὸς γενόμενος ἐραστής, νῦν δὲ πολλῷ θερμότερος, ὅσῳ καὶ λαμπρότερος ἀπὸ τῶν παθημάτων γέγονας.

ΣΙΘ'

ΣΕΥΗΡΙΝΗι ΚΑΙ ΡΩΜΥΛΗι

Εἰ μὴ σφόδρα τὴν γνησίαν ὑμῶν ἀγάπην ᾔδειν καὶ τὴν σπουδήν, ἣν ἀεὶ περὶ ἡμᾶς ἐπιδείκνυσθε, κἂν ῥᾳθυμίαν πολλὴν ὑμῖν ἐνεκάλεσα, τῆς μακρᾶς ἕνεκεν ταύτης σιγῆς ἣν ἐσιγήσατε, καὶ ταῦτα πολλάκις καὶ συνεχῆ παρ' ἡμῶν δεχόμενοι γράμματα. 'Αλλ' ἐπειδὴ οἶδα ὅτι καὶ σιωπῶσαι καὶ γράφουσαι ὁμοίως περὶ ἡμᾶς διάκεισθε, τούτου χάριν ἐγκαλεῖν οὐκ ἂν ἀνασχοίμην τῆς σιγῆς ἕνεκεν, εἰ καὶ σφόδρα ἐπιθυμῶ πυκνὰ παρ' ὑμῶν δέχεσθαι γράμματα, περὶ τῆς ὑγείας ὑμῶν δηλοῦντα. Οὐδὲ γαρ ἔχοιτ' ἂν καταφυγεῖν εἰς τὸ μὴ συνεχῶς ἐπιτυγχάνειν γραμματηφόρου· ὁ γὰρ ποθεινότατος καὶ γλυκύτατος ἀγαπητὸς ἡμῶν Σαλούστιος, εὖ οἶδ' ὅτι πρὸς τοῦτο ὑμῖν διακονήσασθαι ἠδύνατο. 'Αλλ' ὅμως οὐδὲ οὕτως ὑμῖν ἐγκαλῶ, διὰ τὸ σφόδα θαρρεῖν ὑμῶν περὶ τῆς ἀγάπης. Αὐτὸς μέντοι, ἡνίκα ἂν ἐξῇ, συνεχῶς ἐπιστέλλειν οὐ παύσομαι· οἶδα γὰρ ὑμῶν τὸ γνήσιον καὶ θερμὸν τῆς διαθέσεως.

1. *Ματθ.* 7,13.

218

ΣΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟ ΕΥΘΥΜΙΟ

Νὰ μὴ σὲ στενοχωρεῖ τὸ ὅτι διώχθηκες ἀπὸ τὴ σχολή, ἀλλά, σκεπτόμενος πόσο μισθὸ δέχθηκες καὶ ἀπὸ αὐτὸ καὶ πόσο αὐξάνουν τὰ στεφάνια σου, νὰ χαίρεσαι καὶ νὰ εὐφραίνεσαι γιὰ τὰ παθήματα καὶ τὶς σκευωρίες αὐτές. Γιατὶ αὐτὰ συγκεντρώνουν πολὺ θησαυρὸ στοὺς οὐρανοὺς καὶ σὲ κάνουν πιὸ ἔνδοξο, καὶ αὐξάνουν τὰ βραβεῖα. Ἐξάλλου ὁ δρόμος ποὺ ὁδηγεῖ στὴ ζωὴ εἶναι στενὸς καὶ γεμάτος θλίψεις[1]. Καὶ σὲ μένα ὅμως μὴ ἀδιαφορεῖς νὰ γράφεις συνεχῶς γιὰ τὴ ὑγεία σου. Γιατὶ γνωρίζεις πόσο εἶμαι δεμένος μαζί σου μὲ τὴν ἀγάπη καὶ πῶς, ὅπου καὶ νὰ βρίσκομαι, σὲ περιφέρω διαρκῶς στὴ σκέψη μου, ὄντας πάντοτε θερμὸς θαυμαστής σου, καὶ πολὺ περισσότερο θερμὸς ὅσο καὶ λαμπρὸς ἔγινες τώρα ἀπὸ τὰ παθήματα.

219

ΣΤΙΣ ΣΕΥΗΡΙΝΑ ΚΑΙ ΡΩΜΥΛΑ

Ἐὰν δὲν γνώριζα καλὰ τὴ γνήσια ἀγάπη σας καὶ τὸ ἐνδιαφέρον ποὺ πάντοτε δείχνετε γιὰ μένα, θὰ μποροῦσα νὰ σᾶς κατηγορήσω γιὰ πολλὴ ραθυμία, ἐξαιτίας τῆς μακρᾶς σιωπῆς ποὺ τηρεῖτε, μολονότι πολλὲς φορὲς καὶ συνεχῆ γράμματα δεχθήκατε ἀπὸ μένα. Ἐπειδὴ ὅμως γνωρίζω ὅτι, εἴτε σιωπᾶτε εἴτε γράφετε, διατηρεῖτε τὰ ἴδια αἰσθήματα ἀπέναντί μου, γι' αὐτὸ δὲν θὰ ἀνεχόμουν νὰ σᾶς κατηγορήσω ἐξαιτίας τῆς σιωπῆς, ἂν καὶ ἐπιθυμῶ πολὺ νὰ παίρνω γράμματα ἀπὸ σᾶς, ποὺ νὰ μὲ πληροφοροῦν γιὰ τὴν ὑγεία σας. Ἄλλωστε δὲν μπορεῖτε νὰ ἰσχυρισθεῖτε ὅτι δὲν βρίσκετε συχνὰ γραμματοκομιστή· γιατὶ ὁ πολὺ ἐπιθυμητὸς καὶ γλυκὸς ἀγαπητός μας Σαλούστιος, γνωρίζω καλά, ὅτι θὰ μποροῦσε νὰ σᾶς ἐξυπηρετήσει σ' αὐτό. Ἀλλὰ οὔτε καὶ ἔτσι σᾶς κατηγορῶ, ἐπειδὴ ἔχω μεγάλη ἐμπιστοσύνη στὴν ἀγάπη σας. Ἐγὼ πάντως, ὅταν εἶναι δυνατόν, δὲν θὰ παύσω νὰ σᾶς γράφω συνεχῶς, γιατὶ γνωρίζω τὰ γνήσια καὶ θερμά σας αἰσθήματα.

ΣΚ΄

ΠΑΙΑΝΙΩι

Ἀνεπνεύσαμεν, ἐσκιρτήσαμεν, οὐκέτι ἀλλοτρίαν, οὐδὲ ξένην οἰκεῖν ἡγούμεθα, τῆς σῆς θαυμασιότητος πρὸς τὴν τοιαῦτα πάσχουσαν ἐπανελθούσης πόλιν. Ποιεῖ δὲ ἡμῖν τὴν τοσαύτην ἡδονήν, οὐ τὸ σὲ πλείονος ἀπολελαυκέναι τιμῆς (ἡ γὰρ σὴ τιμὴ τῆς ψυχῆς σού ἐστιν ἡ ἀρετή, καὶ οὔτε ἔμπροσθέν σέ τις αὐτὴν ἀφελέσθαι ἴσχυσεν, οὔτε νῦν ἀποδέδωκεν· πῶς γὰρ τὴν μὴ ἀφαιρεθεῖσαν;), σκιρτῶμεν δὲ ὅτι μεγίστη παράκλησις τοῖς ἐλαυνομένοις, τοῖς σφαττομένοις, τοῖς δεδεμένοις, εἰς τὴν πόλιν ἐκείνην εἰσελήλυθας, κοινὸν ὄφελος καὶ λιμην εὐρύτατος τούτων γενόμενος. Καὶ γαρ οἶσθα κερδαίνειν ἃ κερδαίνειν χρή.

Γράφε δὴ λοιπὸν τῶν κατορθωμάτων σου τὸ μέγεθος καὶ λέγε σαφῶς πόσους κειμένους ἀνέστησας, πόσους καταπεπτωκότας ἀνώρθωσας, τίνας σαλευομένους ἐστήριξας, τίσι πεπονηκόσιν ἐν τῷ μακρῷ τούτῳ χρόνῳ παρέστης, τίνας ῥᾳθυμοῦντας σπουδαίους ἐποίησας, τίνας σπουδαίους ὄντας σπουδαιοτέρους εἰργάσω, καὶ πάντα ἁπλῶς καθ᾽ ἕκαστον τὰ ἐπὶ τῆς παρατάξεώς σου ταύτης ἀνδραγαθήματα. Οἶδα μὲν γὰρ ταῦτα καὶ πρὸ τῶν γραμμάτων τῶν σῶν, ἐπειδὴ καὶ τὴν ψυχὴν οἶδα τὴν σήν, τὸν γενναῖον ἀθλητὴν καὶ τὸν θαυμαστὸν ἀριστέα, ἀλλ᾽ οὖν βούλομαι καὶ παρὰ τῆς ποθεινοτάτης μοι γλώττης ταῦτα μανθάνειν.

Δίδου δὴ ἡμῖν ταύτην τὴν αἴτησιν· οἶσθα γὰρ ἡλίκην χαριῇ χάριν, τοῦτο ποιῶν.

ΣΚΑ΄

ΚΩΝΣΤΑΝΤΙΩι ΠΡΕΣΒΥΤΕΡΩι

Τῇ τετάρτῃ τοῦ Πανέμου μηνὸς μέλλων ἀπὸ τῆς Νικαίας διεξ-

1. Τὸ μεγάλο του ἐνδιαφέρον γιὰ τὴν ἱεραποστολὴ στὴ Φοινίκη τὸν κάνει νὰ θέλει νὰ μάθει μὲ κάθε δυνατὴ λεπτομέρεια τὸ ἔργο ποὺ συντελεῖται ἐκεῖ.

1. Ὁ μήνας Πάνεμος ἦταν ὁ ἀντίστοιχος πρὸς τὸν Μεταγειτνιώνα, δεύτερο μήνα τοῦ ἀττικοῦ ἡμερολογίου, καὶ περιλάμβανε τὸ δεύτερο δεκαπενθήμερο τοῦ Αὐ-

220

ΣΤΟΝ ΠΑΙΑΝΙΟ

Ἀνάπνευσα, σκίρτησα ἀπὸ χαρά, ἔχω πιὰ τὴν αἴσθηση ὅτι δὲν κατοικῶ σὲ ξένη χώρα, ἀφοῦ ἡ θαυμασιότητά σου ξαναγύρισε στὴν πόλη ποὺ τόσα ὑποφέρει. Καὶ μοῦ προκαλεῖ τὴν εὐχαρίστηση αὐτὴ ὄχι τὸ ὅτι ἀπόλαυσες μεγαλύτερη τιμή, διότι ἡ δική σου τιμὴ εἶναι ἡ ἀρετὴ τῆς ψυχῆς σου, τὴν ὁποία οὔτε πρὶν μπόρεσε κανεὶς νὰ σοῦ τὴν ἀφαιρέσει, οὔτε καὶ τώρα σοῦ τὴν ἀπέδωσε (πῶς θὰ συνέβαινε αὐτό, ἀφοῦ δὲν εἶχε ἀφαιρεθεῖ;), ἀλλὰ σκιρτῶ ἀπὸ χαρὰ ἐπειδὴ ἐπέστρεψες στὴν πόλη ἐκείνη δίνοντας μεγάλη παρηγοριὰ σ' αὐτοὺς ποὺ διώκονται, ποὺ σφάζονται, καὶ εἶναι δέσμιοι, καὶ ἔγινες κοινὸ ὄφελος καὶ πολὺ πλατὺ λιμάνι γι' αὐτούς. Ἄλλωστε ξέρεις νὰ κερδίζεις αὐτὰ ποὺ πρέπει νὰ κερδίζεις.

Γράφε λοιπὸν τὸ πλῆθος τῶν ἄθλων σου καὶ λέγε μου ἀκριβῶς πόσους κατακείμενους σήκωσες· πόσους πεσμένους ἀνόρθωσες, ποιούς ταλαντευόμενους στήριξες, σὲ ποιούς κουρασμένους ἀπὸ τὸν μακρὸ αὐτὸ χρόνο συμπαραστάθηκες, ποιούς ράθυμους ἐνεργοποίησες, ποιούς φιλόπονους τοὺς ἔκανες ἀκόμα πιὸ φιλόπονους καὶ γενικὰ ὅλα ἕνα πρὸς ἕνα τὰ ἀνδραγαθήματα τῆς μάχης σου αὐτῆς[1]. Τὰ γνωρίζω βέβαια καὶ πρὶν πάρω τὰ γράμματά σου, ἐπειδὴ γνωρίζω καὶ τὴν ψυχή σου, τὸν γενναῖο ἀθλητὴ καὶ τὸν ἀξιοθαύμαστο ἥρωα. Θέλω ὅμως νὰ τὰ μαθαίνω καὶ ἀπὸ τὴν πολὺ ποθητὴ σὲ μένα γλώσσα σου.

Ἱκανοποίησε λοιπὸν αὐτὸ τὸ αἴτημά μου· γιατὶ γνωρίζεις πόση χαρὰ θὰ μοῦ δώσεις κάνοντας αὐτό.

221

ΣΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟ ΚΩΝΣΤΑΝΤΙΟ

Στὶς τέσσερις τοῦ Πανέμου μηνός[1], ἐνῶ πρόκειται νὰ ἀναχω-

γούστου καὶ τὸ πρῶτο τοῦ Σεπτεμβρίου τοῦ Γρηγοριανοῦ ἡμερολογίου. Ἄρα, ἡ ἐπιστολὴ αὐτὴ γράφτηκε στὶς 19 Αὐγούστου τοῦ 404, στὴ Νίκαια τῆς Βιθυνίας, λίγο πρὶν ὁ ἱερὸς ἀποστολέας της πάρει τὸ δρόμο γιὰ τὴν Κουκουσό.

ορμᾶν, ταῦτα διαπέμπομαι τὰ γράμματα πρὸς τὴν σὴν θεοσέβειαν, παρακαλῶν, ὅπερ ἀεὶ παρακαλῶν οὐκ ἐπαυσάμην, κἂν χαλεπώτερος τοῦ νῦν κατέχοντος γένηται ὁ χειμών, κἂν μείζονα τὰ κύματα, μὴ διαλιπεῖν τὰ σαυτοῦ πληροῦντα εἰς τὴν οἰκονομίαν, ἧς ἐξ ἀρχῆς ἥψω, λέγω δὴ τοῦ Ἑλληνισμοῦ τὴν καθαίρεσιν, τῶν ἐκκλησιῶν τὰς οἰκοδομάς, τῶν ψυχῶν τὴν ἐπιμέλειαν, μηδέ σε ὕπτιον ποιείτω τῶν πραγμάτων ἡ δυσκολία. Οὐδὲ γὰρ κυβερνήτης τὸ πέλαγος ὁρῶν μαινόμενον καὶ διανιστάμενον ἀποστήσεται τῶν οἰάκων, ἀλλ' οὐδὲ ἰατρὸς τὸν κάμνοντα βλέπων τῇ νόσῳ κρατούμενον ἀναχωρήσει τῆς θεραπείας, ἀλλὰ τότε μάλιστα ἕκαστος τούτων τῇ τέχνῃ χρήσεται.

Καὶ σὺ τοίνυν, δέσποτά μου τιμιώτατε καὶ εὐλαβέστατε, πολλῇ νῦν χρῆσαι τῇ προθυμίᾳ, μηδὲ ὕπτιον ποιείτω σε τὰ συμβαίνοντα· οὐ γὰρ ὑπὲρ ὧν ποιοῦσιν ἡμᾶς ἕτεροι κακῶν λόγον δώσομεν, ἀλλὰ καὶ μισθὸν ληψόμεθα. Εἰ δὲ αὐτοὶ τὰ παρ' ἑαυτῶν μὴ εἰσενέγκαιμεν, ἀλλὰ ῥαθυμήσαιμεν, οὐδὲν εἰς τοῦτο ἡμῶν προστήσεται ὁ τῶν πραγμάτων θόρυβος· ἐπεὶ καὶ Παῦλος δεσμωτήριον οἰκῶν καὶ τῷ ξύλῳ προσδεδεμένος, τὰ αὐτοῦ ἐποίει, καὶ Ἰωνᾶς ἐν τῇ γαστρὶ τοῦ θαλαττίου θηρὸς φερόμενος, καὶ οἱ τρεῖς παῖδες οἱ ἐν τῇ καμίνῳ διατρίβοντες, καὶ οὐδένα τούτων τὰ ποικίλα δεσμωτήρια ταῦτα ῥαθυμότερον πεποίηκε.

Ταῦτ' οὖν ἐννοῶν, δέσποτά μου, καὶ Φοινίκης καὶ Ἀραβίας καὶ τῶν κατὰ τὴν Ἀνατολὴν μὴ παύσῃ φροντίζων Ἐκκλησιῶν, εἰδὼς ὅτι πλείονα λήψῃ τὸν μισθόν, ὅσῳ, καὶ τοσούτων ὄντων τῶν κωλυμάτων, τὰ παρ' αὐτοῦ εἰσφέρεις. Καὶ γράφειν δὲ ἡμῖν συνεχῶς μὴ κατόκνει, ἀλλα καὶ πυκνότατα. Ὡς γὰρ ἔγνωμεν νῦν, οὐκέτι εἰς Σεβάστειαν, ἀλλ' εἰς τὴν Κουκουσὸν ἐκελεύσθημεν ἀπελθεῖν, ὅπου σοι καὶ εὐκολώτερον ἐπιστέλλειν ἡμῖν. Γράφε τοίνυν ἡμῖν πόσαι ἐκκλησίαι ἐπ' ἔτος ᾠκοδομήθησαν καὶ τίνες ἄνδρες ἅγιοι μετέστησαν εἰς τὴν Φοινίκην, καὶ εἴ τις πλέον γέγονε προκοπή. Καὶ γὰρ ἀπὸ Νικαίας εὑρών τινα μονάζοντα ἐγκεκλεισμένον, ἔπεισα αὐτὸν ἐλθεῖν πρὸς τὴν σὴν εὐλάβειαν καὶ ἀπελθεῖν εἰς Φοινίκην. Εἰ παραγέγονεν οὖν δηλῶσαί μοι σπούδασον.

---

2. *Πράξ.* 16,24.
3. *Ἰωνᾶ* 2,3–10.
4. *Δαν.* 3,23.
5. Οἱ ἐνδείξεις αὐτὲς δείχνουν ὅτι ἡ ἐπιστολὴ γράφτηκε ἀπὸ τὴ Νίκαια.

ρήσουμε ἀπὸ τὴ Νίκαια, στέλνω τὰ γράμματα αὐτὰ πρὸς τὴ θεοσέβειά σου, παρακαλώντας γι' αὐτὸ ποὺ δὲν ἔπαψα πάντοτε νὰ παρακαλῶ, νὰ μὴ παραλείψεις νὰ ἐκπληρώνεις τὸ χρέος σου πρὸς τὴν ὑπηρεσία, τὴν ὁποία ἀπὸ παλιὰ ἔχεις ἀναλάβει, ἔστω καὶ ἂν ἐνσκήψει χειμώνας βαρύτερος ἀπὸ αὐτὸν ποὺ τώρα ἐπικρατεῖ, ἔστω καὶ ἂν γίνουν μεγαλύτερα τὰ κύματα· ἐννοῶ τὴν καθαίρεση τῆς εἰδωλολατρίας, τὴν ἀνοικοδόμηση τῶν ἐκκλησιῶν, καὶ τὴ φροντίδα τῶν ψυχῶν· νὰ μὴ σὲ ἀποθαρρύνει ἡ δυσκολία τῆς καταστάσεως. Γιατὶ οὔτε ὁ κυβερνήτης, βλέποντας τὸ πέλαγος μανιασμένο καὶ φουρτουνιασμένο, θὰ ἀπομακρυνθεῖ ἀπὸ τὸ τιμόνι. Ἀλλὰ οὔτε καὶ κανένας γιατρός, βλέποντες τὸν ἄρρωστο νὰ κυριαρχεῖται ἀπὸ τὴν ἀσθένεια, ἐγκαταλείπει τὴ θεραπεία, ἀλλὰ τότε ἀκριβῶς ὁ καθένας ἀπὸ αὐτοὺς κάνει χρήση τῆς τέχνης του.

Καὶ σὺ λοιπόν, ἐντιμότατε καὶ εὐλαβέστατε δεσπότη μου, κάνε πολλὴ χρήση τῆς προθυμίας σου, τίποτε νὰ μὴ σὲ ἀποθαρρύνει ἀπὸ ὅσα συμβαίνουν· γιατὶ ὄχι μόνο δὲ θὰ δώσουμε λόγο γιὰ τὰ κακὰ ποὺ οἱ ἄλλοι μᾶς κάνουν, ἀλλὰ θὰ λάβουμε καὶ μισθό. Ἐὰν ὅμως ἐμεῖς οἱ ἴδιοι δὲ συνεισφέρουμε ὅ,τι μποροῦμε καὶ δείξουμε ραθυμία, τότε σὲ τίποτε δὲ θὰ μᾶς ὠφελήσει ἡ ἀναταραχὴ τῆς καταστάσεως· γιατὶ καὶ ὁ Παῦλος, ἐνῶ βρισκόταν στὴν φυλακὴ καὶ ἦταν δεμένος στὸ ξύλο[2], ἔκανε τὰ δικά του, καὶ ὁ Ἰωνᾶς ἐνῶ περιφερόταν στὴν κοιλιὰ τοῦ θαλασσινοῦ θηρίου[3], καὶ οἱ τρεῖς παῖδες ὅταν βρίσκονταν μέσα στὴν κάμινο[4]· κανέναν ἀπὸ αὐτοὺς τὰ διάφορα αὐτὰ δεσμωτήρια δὲν τὸν ἔκανε πιὸ ράθυμο.

Σκεπτόμενος αὐτὰ λοιπόν, δεσπότη μου, νὰ μὴ παύσεις νὰ φροντίζεις γιὰ τὶς Ἐκκλησίες τῆς Φοινίκης, τῆς Ἀραβίας καὶ ὅλης τῆς Ἀνατολῆς, γνωρίζοντας ὅτι θὰ ἔχεις μεγαλύτερο μισθὸ ἀπὸ ὅσα θὰ συνεισφέρεις ἐσὺ στὰ τόσα ἐμπόδια. Καὶ μὴ ἀδιαφορεῖς νὰ μοῦ γράφεις συνεχῶς καὶ πολὺ τακτικά. Ὅπως πληροφορήθηκα τώρα, διαταχθήκαμε νὰ ἀναχωρήσουμε ὄχι στὴ Σεβάστεια ἀλλὰ στὴν Κουκουσό[5], ὅπου θὰ σοῦ εἶναι εὐκολότερο νὰ μοῦ γράφεις. Γράφε μου λοιπὸν πόσες ἐκκλησίες κτίσθηκαν κατ' ἔτος, ποιοί ἅγιοι ἄνδρες στὴ Φοινίκη πέθαναν, καὶ ἐὰν ἔγινε κάποια ἐπιπλέον πρόοδος. Γιατὶ στὴ Νίκαια βρῆκα ἕνα μοναχὸ φυλακισμένο καὶ τὸν ἔπεισα νὰ ἔρθει στὴν εὐλάβειά σου καὶ νὰ ἀναχωρήσει στὴ Φοινίκη. Φρόντισε λοιπὸν νὰ μὲ πληροφορήσεις ἐὰν ἦρθε.

Τοῦ Σαλαμῖνος ἕνεκεν χωρίου τοῦ κατὰ τὴν Κύπρον κειμένου, τοῦ ὑπὸ τῆς αἱρέσεως τῶν Μαρκιωνιστῶν πολιορκουμένου, ἤμην διειλεγμένος οἷς ἐχρῆν, καὶ κατωρθωκὸς τὸ πᾶν, ἀλλ' ἔφθην ἐκβληθείς. Εἰ τοίνυν μάθοις τὸν κύριόν μου Κυριακὸν τὸν ἐπίσκοπον ἐπὶ τῆς Κωνσταντινουπόλεως διατρίβειν, ἐπίστειλον αὐτῷ ταύτης ἕνεκεν τῆς ὑποθέσεως, καὶ τὸ πᾶν ἀνύσαι δυνήσεται. Καὶ μάλιστα τοὺς πρὸς τὸν Θεὸν παρρησίαν ἔχοντας παρακάλει πολλῇ κεχρῆσθαι τῇ εὐχῇ, πολλῇ τῇ ἐκτενείᾳ, ὥστε τὸ τῆς οἰκουμένης τοῦτο ναυάγιον παύσασθαι. Ἀφόρητα γὰρ καὶ τὴν Ἀσίαν κατέλαβε κακὰ καὶ ἑτέρας δὲ πόλεις καὶ Ἐκκλησίας, ἅπερ, ἵνα μὴ δοκῶ διενοχλεῖν, ἀφεὶς τὸ καθ' ἕκαστον λέγειν, ἐκεῖνο μόνον ἐρῶ, ὅτι εὐχῶν πολλῶν χρεία καὶ δεήσεων ἐκτενῶν.

ΣΚΒ'

ΚΑΣΤΩι, ΟΥΑΛΕΡΙΩι, ΔΙΟΦΑΝΤΩι, ΚΥΡΙΑΚΩι, ΠΡΕΣΒΥΤΕΡΟΙΣ ΑΝΤΙΟΧΕΙΑΣ

Καὶ τὸ γράψαι καὶ προτέρους ἐπιπηδῆσαι τοῖς πρὸς ἡμᾶς γράμμασι καὶ τὸ γράμματα παρ' ἡμῶν αἰτῆσαι καὶ τὸ κελεῦσαι ὑπερβῆναι μέτρον ἐπιστολῆς, ἔδειξε τοὺς ἀκορέστους καὶ μανικοὺς ἡμῶν ἐραστάς. Τοῦτο τὴν ἐρημίαν, ἐν ᾗ διατρίβομεν, οὐκ ἀφίησιν ἐρημίαν φαίνεσθαι· τοῦτο τὰς ποικίλας καὶ συνεχεῖς ἡμῶν περιστάσεις παραμυθεῖται. Τί γὰρ ἀγάπης ἴσον; Οὐκ ἔστιν οὐδέν. Αὕτη καὶ ῥίζα καὶ πηγὴ καὶ μήτηρ ἐστὶ τῶν ἀγαθῶν, ἀρετὴ πόνον οὐκ ἔχουσα, ἀρετὴ ἡδονῇ συγκεκληρωμένη καὶ πολλὴν φέρουσα τοῖς γνησίως αὐτὴν μετιοῦσι τὴν εὐφροσύνην.

Διὰ ταῦτα χάριν ὑμῖν ἴσμεν πολλήν, ὅτι οὕτω γνησίως διετηρήσατε τὴν περὶ ἡμᾶς διάθεσιν· καὶ ἡμεῖς δὲ ὅπουπερ ἂν ὦμεν, κἂν πρὸς αὐτὰ τῆς οἰκουμένης ἀπενεχθῶμεν τὰ τέρματα, κἂν εἰς ἐρημότερον τούτου χωρίον, περιφέροντες ὑμᾶς ἄπιμεν, ἐγκολάψαντες ὑμᾶς τῇ διανοίᾳ καὶ τῷ συνειδότι ἐναποθέμενοι, καὶ οὔτε τῆς ὁδοῦ

---

6. Οἱ Μαρκιωνίτες ἦταν ὀπαδοὶ τοῦ Μαρκίωνος, αἱρεσιάρχου τοῦ 2ου αἰώνα μ. Χ., ὁ ὁποῖος εἶχε συγκροτήσει διαρχικὸ θεολογικὸ σύστημα (ἀγαθὸς καὶ δίκαιος Θεός) καὶ ἰδιαίτερη Ἐκκλησία.

Γιὰ τὴ Σαλαμίνα, χωριὸ ποὺ βρίσκεται στὴν Κύπρο καὶ πολιορκεῖται ἀπὸ τοὺς Μαρκιωνίτες[6], βρισκόμουν σὲ συνομιλίες μὲ αὐτοὺς ποὺ ἔπρεπε καὶ εἶχα κατορθώσει τὸ πᾶν, ἀλλὰ μὲ πρόλαβε ἡ ἐξορία. Ἐὰν λοιπὸν μάθεις ὅτι ὁ κύριός μου ἐπίκοπος Κυριακὸς μένει στὴν Κωνσταντινούπολη, γράψε του γιὰ τὴν ὑπόθεση αὐτὴ καὶ θὰ μπορέσει νὰ τὰ φέρει ὅλα εἰς πέρας. Ἰδιαίτερα ὅσους ἔχουν παρρησία πρὸς τὸ Θεὸ νὰ τοὺς παρακαλεῖς νὰ κάνουν πολλὴ χρήση τῆς προσευχῆς καὶ μὲ πολλὴ ἐπιμονή, γιὰ νὰ σταματήσει τὸ ναυάγιο αὐτὸ ποὺ βρῆκε τὴν οἰκουμένη. Γιατὶ καὶ τὴν Ἀσία τὴν κυρίεψαν ἀβάστακτα δεινά, ἀλλὰ καὶ ἄλλες πόλεις καὶ Ἐκκλησίες, τίς ὁποῖες, γιὰ νὰ μὴ σὲ ἐνοχλῶ, ἀποφεύγω νὰ τὶς ἀναφέρω μία μία χωριστά, καὶ θὰ σοῦ πῶ τοῦτο μόνο, ὅτι εἶναι ἀνάγκη πολλῶν προσευχῶν καὶ ἀκατάπαυστων δεήσεων.

222

ΣΤΟΥΣ ΠΡΕΣΒΥΤΕΡΟΥΣ ΤΗΣ ΑΝΤΙΟΧΕΙΑΣ ΚΑΣΤΟ, ΟΥΑΛΕΡΙΟ, ΔΙΟΦΑΝΤΟ ΚΑΙ ΚΥΡΙΑΚΟ

Καὶ τὸ ὅτι γράψατε καὶ ὅτι προλάβατε καὶ προηγηθήκατε μὲ τὰ πρὸς ἐμένα γράμματα καὶ τὸ ὅτι ζητήσατε γράμματα ἀπὸ μένα καὶ τὸ ὅτι παρακαλέσατε νὰ ὑπερβῶ τὸ μέτρο τῆς ἐπιστολῆς, ὅλα αὐτὰ ἔδειξαν ὅτι εἶσθε ἀκόρεστοι καὶ μανιακοὶ θαυμαστές μου. Αὐτὸ δὲν ἀφήνει τὴν ἐρημιά, στὴν ὁποία ζοῦμε, νὰ φαίνεται ἐρημιά· αὐτὸ ἀνακουφίζει τὶς ποικίλες καὶ συνεχεῖς δοκιμασίες μου. Γιατὶ τί ὑπάρχει μεγαλύτερο ἀπὸ τὴν ἀγάπη; Δὲν ὑπάρχει τίποτε. Αὐτὴ εἶναι καὶ ρίζα καὶ πηγὴ καὶ μητέρα τῶν ἀγαθῶν, εἶναι ἀρετὴ ποὺ δὲν ἔχει πόνο, ἀρετὴ συνταιριασμένη μὲ τὴν εὐχαρίστηση, ἡ ὁποία φέρνει σ' αὐτοὺς ποὺ τὴν ἀσκοῦν μὲ εἰλικρίνεια μεγάλη εὐφροσύνη.

Γι' αὐτὸ σᾶς εὐχαριστῶ πολύ, γιὰ τὸ ὅτι διατηρήσατε τόσο γνήσια τὴν πρὸς ἐμένα διάθεσή σας· ὅμως καὶ ἐγώ, ὅπου καὶ ἂν βρίσκομαι, καὶ ἂν ἀκόμα μεταφερθῶ σ' αὐτὰ τὰ πέρατα τῆς οἰκουμένης, ἀκόμα καὶ σὲ πιὸ ἔρημο ἀπὸ αὐτὸ τὸ χωριό, θὰ μεταβῶ φέροντας μαζί μου καὶ σᾶς, ἔχοντάς σας χαραγμένους στὴ διάνοιά μου

τὸ μῆκος, οὔτε τοῦ χρόνου το πλῆθος, οὔτε ὁ τῶν περιστάσεων ὄχλος ῥαθυμοτέρους ἡμᾶς περὶ τὴν ἐμμέλειαν τὴν ὑμετέραν πεποίηκεν, ἀλλ' ὡς χθὲς καὶ πρώην ὑμῖν συγγενόμενοι, μᾶλλον δὲ ὡς ἀεὶ μεθ' ὑμῶν ὄντες, ὥσπερ οὖν καὶ ἐσμέν, οὕτως ὑμᾶς ὁρῶμεν καὶ φανταζόμεθα τοῖς τῆς ἀγάπης ὀφθαλμοῖς. Τοιοῦτον γὰρ τὸ φιλεῖν· οὐ διείργεται ὁδοῦ διαστήμασιν, οὐ μαραίνεται ἡμερῶν πλήθει, οὐ νικᾶται θλίψεων περιστάσει, ἀλλ' εἰς ὕψος αἴρεται διὰ παντὸς καὶ φλογὸς μιμεῖται δρόμον. Καὶ τοῦτο ἴστε μάλιστα πάντων, ἐπειδὴ καὶ φιλεῖν μάλιστα πάντων ἐπίστασθε, διὸ καὶ σφόδρα ὑμᾶς μακαρίζομεν. Εἰ γὰρ καὶ ἡμεῖς οἰκτροὶ καὶ εὐτελεῖς, ἀλλ' ὁ Θεὸς ἱκανὸς ὑμῖν δοῦναι τῆς ἀγάπης ταύτης μείζονα τὴν ἀνταμοιβὴν καὶ πολλῷ πλείονα· καὶ γὰρ ἐκ πολλοῦ τοῦ περιόντος ἀεὶ νικᾷ ταῖς ἀντιδόσεσι τοὺς ἀγαθόν τι ποιοῦντας ἢ λέγοντας.

Ἐγὼ μὲν οὖν ἐβουλόμην καὶ αὐταῖς ὄψεσιν ὑμᾶς ἰδεῖν καὶ τῆς κατὰ πρόσωπον ἀπολαῦσαι συνουσίας καὶ ἐμφορηθῆναι καὶ τούτῳ τῷ τρόπῳ τῆς ἀγάπης ὑμῶν· ἐπειδὴ δὲ τοῦτο οὐκ ἔνι, οὐ δι' ὄκνον καὶ ῥαθυμίαν, ἀλλὰ διὰ τὸ τῇ ἀνάγκῃ τῆς ἐξορίας πεπεδῆσθαι, τὸν γοῦν δεύτερον ἡμᾶς μὴ ἀποστερήσητε πλοῦν, ἀλλὰ πέμπετε ἡμῖν νιφάδας ἐπιστολῶν, τὰ περὶ τῆς ὑγείας τῆς ὑμετέρας δηλούσας. Εἰ γὰρ τοιαῦτα δεξαίμεθα γράμματα συνεχῶς, πολλὴν καρπωσόμεθα τὴν παράκλησιν, καὶ ταῦτα ἐν ἀλλοτρίᾳ διατρίβοντες.

Εἰδότες οὖν ἡλίκα ἡμῖν χαριεῖσθε καὶ ἐν ὅσῃ καταστήσετε ἡμᾶς εὐφροσύνῃ, μὴ φθονήσητε τῆς τοσαύτης ἡμῖν ἡδονῆς. Ὁμιλοῦντες γὰρ ὑμῶν τοῖς γράμμασιν, αὐτοὺς ὑμᾶς ἡγησόμεθα ἐνταῦθα παρεῖναι καὶ τρανοτέραν ἐντεῦθεν τῆς παρουσίας ὑμῶν ληψόμεθα τὴν φαντασίαν.

ΣΚΓ'

ΗΣΥΧΙΩι

Ἐγὼ μὲν ἐπεθύμουν καὶ μὴ γράψας πρὸς τὴν σὴν ἐμμέλειαν

καὶ ἐναποτεθειμένους στὴ συνείδησή μου, καὶ οὔτε ἡ ἀπόσταση τοῦ δρόμου, οὔτε ὁ πολὺς χρόνος, οὔτε τὸ πλῆθος τῶν δοκιμασιῶν μὲ ἔχουν κάνει πιὸ ράθυμο πρὸς τὴ χάρη σας, ἀλλὰ σὰν νὰ σᾶς συναναστρεφόμουν χθὲς καὶ προσφάτως, ἢ μᾶλλον σὰν νὰ ἤμουν πάντοτε μαζί σας, ὅπως βέβαια καὶ εἶμαι, ἔτσι σᾶς βλέπω καὶ σᾶς φαντάζομαι μὲ τὰ μάτια τῆς ἀγάπης. Γιατὶ τέτοια εἶναι ἀγάπη· δὲν παρεμποδίζεται ἀπὸ τὴν ἀπόσταση τοῦ δρόμου, δὲν ἐξασθενίζει μὲ τὶς πολλὲς ἡμέρες, δὲν καταβάλλεται ἀπὸ τὶς θλίψεις τῶν δοκιμασιῶν, ἀλλὰ σηκώνεται πάντοτε ψηλὰ καὶ μιμεῖται τὸ παράδειγμα τῆς φλόγας. Καὶ αὐτὸ τὸ γνωρίζετε καλύτερα ἀπὸ ὅλους, ἐπειδὴ γνωρίζετε καὶ νὰ ἀγαπᾶτε περισσότερο ἀπὸ ὅλους. Γι' αὐτὸ καὶ σᾶς μακαρίζω πάρα πολύ. Ἂν καὶ βέβαια ἐγὼ εἶμαι ἐλεεινὸς καὶ ἀσήμαντος, ὅμως ὁ Θεὸς εἶναι ἱκανὸς νὰ σᾶς δώσει ἀνταμοιβὴ μεγαλύτερη ἀπὸ τὴν ἀγάπη σας αὐτὴ καὶ πιὸ πλούσια· γιατὶ κατὰ πολὺ περισσότερο πάντοτε ξεπερνᾶ στὶς ἀνταποδόσεις ἐκείνους ποὺ κάνουν ἢ λένε κάτι τὸ καλό.

Ἐγὼ βέβαια ἤθελα νὰ σᾶς δῶ καὶ μὲ τὰ ἴδια μου τὰ μάτια καὶ νὰ χαρῶ τὴν προσωπικὴ συναναστροφή σας καὶ νὰ χορτάσω καὶ μὲ τὸν τρόπο αὐτὸ τὴν ἀγάπη σας· ἐπειδὴ ὅμως αὐτὸ δὲν εἶναι δυνατόν, ὄχι ἀπὸ δειλία ἢ ὀκνηρία, ἀλλὰ ἐπειδὴ εἶμαι δέσμιος ἀπὸ τὴν ἀνάγκη τῆς ἐξορίας μου, γι' αὐτὸ λοιπὸν μὴ μοῦ στερήσετε τὸν δεύτερο τρόπο ἐπικοινωνίας, στέλνοντάς μου πολλὲς ἐπιστολές, ποὺ νὰ μὲ πληροφοροῦν γιὰ τὴν ὑγεία σας. Γιατί, ἐὰν γινόταν νὰ παίρνω τέτοια γράμματα συνεχῶς, θὰ εἶχα μεγάλη παρηγοριά, ἔστω καὶ ἂν διαμένω σὲ ξένη χώρα.

Γνωρίζοντας λοιπὸν πόσο πολλὰ θὰ μοῦ χαρίσετε καὶ σὲ ποιά κατάσταση εὐφροσύνης θὰ μοῦ φέρετε, μὴ μὲ ζηλέψετε γιὰ τὴν τόση χαρά μου. Γιατί, ἐπικοινωνώντας μαζί σας μὲ τὰ γράμματα, θὰ νομίζω ὅτι σεῖς οἱ ἴδιοι εἶσθε ἐδῶ παρόντες καὶ ἀπὸ αὐτὸ θὰ ἔχω μεγαλύτερη αἴσθηση τῆς παρουσίας σας.

223

ΣΤΟΝ ΗΣΥΧΙΟ

Ἐγὼ βέβαια ἐπιθυμοῦσα καὶ πρὶν γράψω πρὸς τὴ χάρη σου νὰ

πρότερος δέξασθαι ἐπιστολήν, τοῦτο γὰρ μάλιστα ἐραστοῦ σφοδροτάτου, οὐκ ἀνεμείναμεν δὲ ἡμεῖς τὰ σὰ γράμματα, ἀλλὰ πρότεροι τῷ γράφειν ἐπεπηδήσαμεν, τὸν θερμὸν ἔρωτα, ὃν περὶ τὴν σὴν ἐμμέλειαν ἔχομεν, κἂν τούτῳ δεικνύντες. Πλὴν ἀλλὰ καὶ τούτου σοι χάριν ἴσμεν· εὖ γὰρ οἶδ' ὅτι οὐκ ἐξ ὀλιγωρίας, ἀλλ' ἐκ τοῦ σφόδρα μετριάζειν, τοῦτο πέπονθας. Δείκνυε τοίνυν λοιπὸν μετὰ ἀδείας τὴν περὶ ἡμᾶς ἀγάπην, νιφάδας ἡμῖν πέμπων ἐπιστολῶν, δηλοῦσας τὰ περὶ τῆς ὑγείας τῆς σῆς. Ἢν γὰρ τοιαῦτα δεξώμεθα γράμματα, κἂν πρὸς αὐτὰ τῆς οἰκουμένης ἀπενεχθῶμεν τὰ τέρματα, κἂν εἰς ἐρημότερον τούτου χωρίον, πολλὴν ἀπὸ τῆς ἀγάπης ὑμῶν καρπωσόμεθα τὴν παράκλησιν. Οὐδὲν γὰρ οὕτω ψυχὴν ἀνέχειν δύναται καὶ ἐν πολλῇ καθιστᾷν ἡδονῇ, ὡς τὸ φιλεῖν καὶ φιλεῖσθαι γνησίως. Καὶ τοῦτο οἶσθα μάλιστα πάντων αὐτός, ἐπειδὴ μάλιστα πάντων καὶ φιλεῖν οἶσθα.

ΣΚΔ'

ΜΑΡΚΙΑΝΩι ΚΑΙ ΜΑΡΚΕΛΛΙΝΩι

Τί τοῦτο; Οὕτως ἡμῶν ἐρῶντες (οὐδὲ γὰρ ἐκ τοσούτου καθημένους ὑμῶν διαστήματος ἔλαθεν ἡμᾶς ὁ ἔρως, διὰ τὸ σφοδρὸς εἶναι καὶ πεπυρωμένος), κατεδέξασθε σιγᾷν, καὶ οὐδὲ ἅπαξ ἡμῖν ἐπεστείλατε, ἀλλ' αἴνιγμα τὸ πρᾶγμα ἡμῖν πεποιήκατε; Οὐδὲ γὰρ ἀρκοῦσα πρόφασις, ἣν ἐγράψατε ἐπιστέλλοντες πρὸς τὸν κύριόν μου τὸν εὐλαβέστατον πρεσβύτερον Κωνστάντιον. Πλὴν ἀλλ' οὐδὲν ἀκριβολογοῦμαι. Ἀλλ' ἔστω τοῦτο οὕτως ἔχον καὶ κείσθω τῆς σιγῆς ταύτην εἶναι τὴν αἰτίαν· ἰδοὺ καὶ αὐτὴ ὑμῖν ἀνῄρηται καὶ πρότεροι τοῖς πρὸς ὑμᾶς ἐπεπηδήσαμεν γράμμασι, χάριτάς τε ὑμῖν ὁμολογοῦντες τῆς γνησίας ἀγάπης, ἣν οὕτως ἀκμάζουσαν περὶ ἡμᾶς διατηρεῖτε, καὶ παρακαλοῦντες, ἡνίκα ἂν ἐξῇ, καὶ ἐπιστέλλειν ἡμῖν συνεχῶς.

Ὅτι μὲν γὰρ καὶ παραγενέσθαι ἐνταῦθα οὐκ ἂν ὠκνήσατε, εἰ μὴ τὰ εἰρημένα κωλύματα παρὰ τῆς κοσμιότητος ὑμῶν ἦν, οὐδὲν

πάρω πρῶτος ἐπιστολή σου, γιατὶ αὐτὸ πρὸ πάντων εἶναι δεῖγμα πάρα πολὺ σφοδροῦ ἐραστῆ· ὅμως δὲν περιμένα τὰ δικά σου γράμματα, ἀλλὰ πρῶτος ξεκίνησα νὰ γράφω, δείχνοντας καὶ μὲ τὸν τρόπο αὐτὸ τὴ θερμὴ ἀγάπη ποὺ ἔχω γιὰ τὴ χάρη σου. Ὡστόσο καὶ γι' αὐτὸ σοῦ ἀναγνωρίζω χάρη· γιατὶ γνωρίζω καλὰ ὅτι δὲν τὸ ἔκανες ἀπὸ ὀλιγωρία, ἀλλὰ ἀπὸ μεγάλη μετριοφροσύνη. Δεῖχνε λοιπὸν ἐλεύθερα τὴν ἀγάπη σου γιὰ μένα, στέλνοντάς μου πλῆθος ἐπιστολῶν, ποὺ νὰ μὲ πληροφοροῦν γιὰ τὴν ὑγεία σου. Γιατί, ἂν παίρνω τέτοια γράμματα, καὶ ἂν ἀκόμα μεταφερθῶ σ' αὐτὰ τὰ πέρατα τῆς οἰκουμένης, ἀκόμα καὶ σὲ πιὸ ἔρημο ἀπὸ τὸ χωριὸ αὐτό, θὰ ἔχω πολλὴ παρηγοριὰ ἀπὸ τὴν ἀγάπη σου. Γιατὶ τίποτε δὲν μπορεῖ νὰ κρατήσει τὴν ψυχὴ τόσο ψηλὰ καὶ νὰ τὴν φέρει σὲ κατάσταση πολλῆς εὐχαριστήσεως, ὅσο τὸ νὰ ἀγαπᾶ καὶ νὰ ἀγαπιέται εἰλικρινά. Καὶ αὐτὸ τὸ γνωρίζεις καλύτερα ἀπὸ ὅλους σὺ ὁ ἴδιος, ἐπειδὴ ξέρεις καὶ νὰ ἀγαπᾶς περισσότερο ἀπὸ ὅλους.

224

ΣΤΟΥΣ ΜΑΡΚΙΑΝΟ ΚΑΙ ΜΑΡΚΕΛΛΙΝΟ

Γιατί αὐτό; Ἐνῶ μὲ ἀγαπᾶτε τόσο πολὺ (γιατί, ἂν καὶ βρίσκομαι σὲ τόσο μεγάλη ἀπόσταση, δὲν μοῦ διέφυγε ἡ ἀγάπη σας, ἐπειδὴ εἶναι μεγάλη καὶ φλογερή), καταδεχθήκατε νὰ σιωπᾶτε καὶ δὲ μοῦ γράψατε οὔτε μιὰ φορά, ἀλλὰ μοῦ κάνατε τὸ πρᾶγμα αἰνιγματικό; Γιατὶ δὲν εἶναι ἱκανοποιητικὴ ἡ δικαιολογία ποὺ γράψατε σὲ ἐπιστολή σας πρὸς τὸν κύριό μου, τὸν εὐλαβέστατο πρεσβύτερο Κωνστάντιο. Ὡστόσο δὲν ἀκριβολογῶ γιὰ τίποτε. Ἀλλὰ ἔστω ὅτι αὐτὸ ἔτσι ἔχει καὶ ἂς δεχθῶ ὅτι αὐτὴ εἶναι ἡ αἰτία τῆς σιωπῆς· νὰ ὅμως ποὺ καὶ αὐτὴ ἡ δικαιολογία σας ἔχει ἀναιρεθεῖ καὶ πρῶτος ἐγὼ ἔσπευσα μὲ γράμματα πρὸς ἐσᾶς, ἐκφράζοντας τὶς εὐχαριστίες μου πρὸς ἐσᾶς γιὰ τὴ γνήσια ἀγάπη σας, τὴν ὁποία τόσο ἀκμαία διατηρεῖτε γιὰ μένα, καὶ παρακαλώντας σας ὅταν εἶναι δυνατὸν νὰ μοῦ γράφετε συνεχῶς.

Δὲν ἀμφιβάλλω βέβαια ὅτι δὲν θὰ διστάζατε νὰ ἔρθετε καὶ ἐδῶ, ἐὰν δὲν ὑπῆρχαν τὰ κωλύματα ποὺ ἔχει ἀναφέρει ἡ κοσμιότη-

ἀμφιβάλλω· μᾶλλον δὲ ἀπὸ τῆς γνώμης καὶ παρεγένεσθε. Ἀλλ' ἐπειδὴ τοῦτο ἔργῳ πληρῶσαι τέως οὐκ ἔνι, τὴν ἀπὸ τῶν γραμμάτων ἡμῖν παρέχετε παράκλησιν, τὰ περὶ τῆς ὑγείας ὑμῶν καὶ τοῦ οἴκου παντὸς εὐαγγελιζόμενοι. Εἰ γὰρ τοιαῦτα δεξαίμεθα συνεχῶς παρ' ὑμῶν γράμματα, κἂν ἐν χαλεπωτέρᾳ ταύτης ἐρημίᾳ καθήμεθα, πολλὴν ἀπὸ τῶν ἐπιστολῶν ὑμῶν καρπωσόμεθα τὴν παράκλησιν.

ΣΚΕ'

ΚΩΝΣΤΑΝΤΙΩι ΠΡΕΣΒΥΤΕΡΩι

Ἐθαύμασα πῶς οὕτω σφοδρὸς ἡμῶν ὢν ἐραστὴς καὶ πάντα ποιεῖν καὶ λέγειν ὑπὲρ ἡμῶν καὶ πάσχειν παρεσκευασμένος (οὐδὲ γὰρ ἡμᾶς ἔλαθεν· οὐδὲ γὰρ ἔνι γνησίως φιλοῦντα λαθεῖν), οὐδὲ ἅπαξ ἡμῖν ἐπέστειλας, καὶ ταῦτα πλησίον ἐλθοῦσιν ὑμῶν καὶ τοῦ τιμίου μοι καὶ ἐνδοξοτάτου ἀδελφοῦ Λιβανίου ἐνταῦθα ἀφιγμένου. Καὶ ταῦτα οὐκ ἐγκαλῶν, ἀλλ' ἀλγῶν λέγω. Ἐπειδὴ γὰρ σφόδρα διάκειμαι περὶ τὴν εὐλάβειαν ὑμῶν, δι' ἕτερον μὲν οὐδέν, ὅτι δέ σου τῆς ψυχῆς φροντίδα ποιεῖς μετὰ πάσης τῆς σπουδῆς καὶ λιμὴν εἶ κοινὸς τῶν ἐν ἀνάγκαις ὄντων, πενίαν λύων, χηρείαν διορθούμενος, ὀρφανίαν ἀνέχων, κοινὸς πατὴρ ἁπάντων ὤν, τούτου χάριν σφόδρα σου ἐρῶν, καὶ γράμματα παρὰ τῆς σῆς εὐλαβείας δέχεσθαι ἐπιθυμῶ.

Δίδου δὴ ταύτην ἡμῖν τὴν χάριν καὶ ἔμπλησον ἡμῶν τὴν ἐπιθυμίαν. Οὐ γὰρ τὴν τυχοῦσαν καρπωσόμεθα, ἂν τῆς ποθεινῆς σου καὶ ψυχῆς καὶ χειρὸς δεξώμεθα γράμματα, περὶ τῆς σῆς ἀπαγγέλλοντα ὑγείας, καὶ τοῦ οἴκου σου παντός.

ΣΚS'

ΜΑΡΚΙΑΝΩι ΚΑΙ ΜΑΡΚΕΛΛΙΝΩι

Ἐλύσατε ἡμῖν τὸ αἴνιγμα. Ὅτι γὰρ οὐκ ἤρκει εἰς ἀπολογίαν ἡ

1. Τὸ αἴνιγμα ἦταν γιὰ ποιό λόγο μέχρι τώρα κρατοῦσαν σιγή.

τά σας, καὶ μᾶλλον μὲ τὴ σκέψη σας ἔχετε κι ὅλας ἔρθει. Ἐπειδὴ ὅμως ἡ ἔμπρακτη πραγματοποίηση αὐτοῦ πρὸς τὸ παρὸν δὲν εἶναι δυνατή, δῶστε μου τὴν παρηγοριὰ τῶν γραμμάτων, πληροφορώντας μου γιὰ τὴν ὑγεία τὴ δική σας καὶ ὁλόκληρου τοῦ σπιτιοῦ σας. Γιατί, ἂν δέχομαι ἀπὸ σᾶς τέτοια γράμματα συνεχῶς, καὶ ἂν ἀκόμα θὰ βρίσκομαι σὲ χειρότερη ἀπὸ αὐτὴ τὴν ἐρημιά, θὰ παίρνω μεγάλη παρηγοριὰ ἀπὸ τὶς ἐπιστολές σας.

225

ΣΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟ ΚΩΝΣΤΑΝΤΙΟ

Ἀπόρησα πῶς, ἐνῶ εἶσαι τόσο σφοδρὸς θαυμαστής μου καὶ εἶσαι προετοιμασμένος νὰ κάνεις, νὰ πεῖς καὶ νὰ πάθεις τὰ πάντα γιὰ μένα (γιατὶ τίποτε δὲν μοῦ ξέφυγε· οὔτε ἄλλωστε εἶναι δυνατὸ νὰ μοῦ ξεφύγει ἀφοῦ σὲ ἀγαπῶ εἰλικρινά), δὲν μοῦ ἔγραψες οὔτε μιὰ φορά, τὴ στιγμὴ μάλιστα ποὺ ἤρθαμε κοντά σας καὶ ὁ ἔντιμος καὶ ἐνδοξότατος ἀδελφός μου Λιβάνιος ἦρθε ἐδῶ. Καὶ τὰ λέω αὐτὰ ὄχι γιὰ νὰ σὲ κατηγορήσω, ἀλλὰ ἐπειδὴ πονῶ. Γιατί, ἐπειδὴ διάκειμαι πολὺ εὐνοϊκὰ πρὸς τὴν εὐλάβειά σου, ὄχι γιὰ τίποτε ἄλλο, ἀλλὰ γιὰ τὸ ὅτι φροντίζεις γιὰ τὴν ψυχή σου μὲ κάθε ζῆλο, καὶ εἶσαι λιμάνι γιὰ ὅλους ποὺ βρίσκονται σὲ ἀνάγκες, καταργώντας τὴ φτώχεια, σωφρονίζοντας τὶς χῆρες, ἐνισχύοντας τὴν ὀρφάνια, ὄντας κοινὸς πατέρας ὅλων, γιὰ ὅλα αὐτὰ σὲ ἀγαπῶ πολὺ καὶ ἐπιθυμῶ νὰ δέχομαι γράμματα ἀπὸ τὴν εὐλάβειά σου.

Δίνε μου λοιπὸν αὐτὴ τὴ χάρη καὶ ἱκανοποίησε τὴν ἐπιθυμία μου. Γιατὶ δὲ θὰ παίρνω μικρὴ ἐνίσχυση, καθὼς ζοῦμε στὴν ἐρημιά, ἂν δέχομαι γράμματα ἀπὸ τὴν ποθητή σου ψυχὴ καὶ τὸ χέρι σου, ποὺ νὰ μὲ πληροφοροῦν γιὰ τὴν ὑγεία τὴ δική σου καὶ ὁλόκληρου τοῦ σπιτιοῦ σου.

226

ΣΤΟΥΣ ΜΑΡΚΙΑΝΟ ΚΑΙ ΜΑΡΚΕΛΛΙΝΟ

Μοῦ λύσατε τὸ αἴνιγμα[3]. Γιατί, τὸ ὅτι δὲν ἦταν ἀρκετὴ ὡς δι-

ἐγκειμένη τότε πρόφασις, αὐτοὶ νῦν ἐδηλώσατε, μὴ δεξάμενοι γράμματα, καὶ πρότεροι τῷ γράφειν ἐπιπηδήσαντες. Τοιαύτη γὰρ τῆς ἀγάπης ἡ φύσις· οὐκ ἀνέχεται σιγᾶν, ἀλλά, κἂν θρασύτητος μέλλῃ κρίνεσθαι, τὸ αὐτῆς πληροῖ. Ἡμεῖς δὲ τοσοῦτον ἀπέχομεν τοῦ γράψασθαι ὑμᾶς διὰ τὸ προτέρους ἐπιστεῖλαι, ὅτι καὶ στεφανοῦμεν ὑπὲρ τούτου καὶ ἀνακηρύττομεν καὶ νῦν μάλιστα τοὺς γνησίους ἡμῶν ἔγνωμεν ἐραστάς, οὐκ ἀπὸ τοῦ γράψαι μόνον, ἀλλὰ καὶ ἀπὸ τοῦ προτέρους γράψαι. Ἱκανὸς δὲ ὁ Θεὸς καὶ τῆς ἀρρωστίας ὑμᾶς ἀπαλλάξαι καὶ πρὸς καθαρὰν ὑγείαν ἐπαναγαγεῖν καὶ δοῦναι εὐκολίαν πολλὴν καὶ τῆς κατ' ὄψιν ἡμῖν συνουσίας· ἱκανὴν μὲν καὶ νῦν καρπούμεθα παράκλησιν ἀπὸ γνησίας οὕτω ψυχῆς δεχόμενοι γράμματα· ἐπιθυμοῦμεν δὲ καὶ ἐκείνης τῆς συντυχίας, ἧς γένοιτο μετὰ πολλοῦ τοῦ τάχους ἡμᾶς ἀπολαῦσαι, ὥστε μεγίστην ἡμᾶς ἀγαγεῖν ἑορτήν.

ΣΚΖ'

ΚΑΡΤΕΡΙΑι

Τί φής; Αἱ συνεχεῖς ἀρρωστίαι οὐ συνεχώρησαν σοι παραγενέσθαι πρὸς ἡμᾶς; Καίτοι παραγέγονας καὶ μεθ' ἡμῶν εἶ καὶ ἀπὸ τῆς γνώμης σου τὸ πᾶν ἀπειλήφαμεν καὶ οὐδέν σοι ὑπὲρ τούτων ἀπολογίας δεῖ. 'Αρκεῖ γὰρ ἡ θερμή σου καὶ γνησία ἀγάπη, ἡ οὕτως ἀκμάζουσα διηνεκῶς, ἀντὶ πολλῆς εὐφροσύνης ἡμῖν γενέσθαι. 'Αλλ' ἐπειδὴ οὐκ εἰς τὴν τυχοῦσαν φροντίδα ἡμᾶς ἐνέβαλες, περὶ τῆς ἀρρωστίας εἰποῦσα τῆς σῆς, εἴ γε ταύτης ἀπαλλαγείης (ἱκανὸς γὰρ ὁ Θεὸς ἀπαλλάξαι σε καὶ προς ὑγείαν καθαρὰν ἐπαναγαγεῖν), ἐξ αὐτῆς ἡμῖν δήλωσον, ὥστε ἡμᾶς ἀπαλλαγῆναι τῆς φροντίδος. Ὅπερ γὰρ ἀεὶ γράφων ἐδήλωσα, τοῦτο καὶ νῦν δηλῶ, ὅτι, ὅπουπερ ἂν ὦμεν, κἂν εἰς ἐρημότερον τούτου χωρίον ἀπενεχθῶμεν, σὲ καὶ τὰ σὰ μεριμνῶντες οὐ διαλιμπάνομεν. Τοιαῦτα ἡμῖν ἐνέχυρα τῆς θερμῆς καὶ γνησίας σου ἀγάπης ἐναπέθου, ἅπερ οὐδέποτε σβεσθῆναι δύναται, οὐδὲ καταμαρανθῆναι τῷ χρόνῳ, ἀλλὰ κἂν πλησίον σου ὦμαν τῆς

καιολογία ἢ πρόφαση ποὺ προβάλλατε τότε, τὸ ὁμολογήσατε τώρα οἱ ἴδιοι, ὅτι δηλαδὴ χωρὶς νὰ πάρετε γράμματά μου, ξεκινήσατε πρῶτοι νὰ μοῦ γράψετε. Γιατὶ τέτοια εἶναι ἡ φύση τῆς ἀγάπης· δὲν ἀνέχεται νὰ σιωπᾶ καὶ κάνει τὸ χρέος της ἔστω καὶ ἂν πρόκειται νὰ κατηγορηθεῖ γιὰ θρασύτητα. Ἐγὼ ὅμως ὄχι μόνο δὲν σᾶς γράφω γιὰ νὰ σᾶς κατηγορήσω γιὰ τὸ ὅτι πρῶτοι σεῖς μοῦ στείλατε ἐπιστολή, ἀλλὰ καὶ σᾶς στεφανώνω γι' αὐτὸ καὶ σᾶς ἀνακηρύσσω καὶ τώρα μάλιστα γνώρισα τοὺς εἰλικρινεῖς φίλους μου, ὄχι μόνο ἀπὸ τὸ ὅτι μοῦ γράψατε, ἀλλὰ καὶ ἀπὸ τὸ ὅτι μοῦ γράψατε πρῶτοι. Ὁ Θεὸς εἶναι ἱκανὸς καὶ ἀπὸ τὴν ἀρρώστια νὰ σᾶς ἀπαλλάξει καὶ νὰ σᾶς ἐπαναφέρει σὲ πλήρη ὑγεία καὶ νὰ σᾶς διευκολύνει πολὺ γιὰ νὰ μὲ συναντήσετε καὶ προσωπικά. Καὶ βέβαια τώρα ἀρκετὴ παρηγοριὰ παίρνω δεχόμενος γράμματα ἀπὸ τόσο γνήσια ψυχή, ἐπιθυμῶ ὅμως καὶ ἐκείνη τὴ συνάντηση, τὴν ὁποία εὔχομαι πάρα πολὺ σύντομα νὰ τὴν ἀπολαύσουμε, γιὰ νὰ κάνουμε μεγάλη γιορτή.

227

ΣΤΗΝ ΚΑΡΤΕΡΙΑ

Τί λές; Οἱ συνεχεῖς ἀρρώστιες σου δὲν σοῦ ἐπέτρεψαν νὰ ἔρθεις σὲ μένα; Ἂν καὶ βέβαια ἦρθες καὶ βρίσκεσαι μαζί μας καὶ ἀπὸ τὴ σκέψη σου αὐτὴ ἀπόλαυσα τὸ πᾶν, καὶ δὲ σοῦ χρειάζεται καμμιὰ δικαιολογία γι' αὐτά. Γιατὶ ἀρκεῖ ἡ θερμὴ καὶ γνήσια ἀγάπη σου, ποὺ τόσο ἀκμαία διατηρεῖται πάντοτε, νὰ μοῦ δώσει πολλὴ εὐφροσύνη. Ἐπειδὴ ὅμως μὲ ἔβαλες σὲ πολλὴ ἀγωνία, μιλώντας μου γιὰ τὴν ἀρρώστια σου, ὅταν μὲ τὸ καλὸ ἀπαλλαγεῖς ἀπὸ αὐτὴν (γιατὶ ὁ Θεὸς εἶναι ἱκανὸς νὰ σὲ ἀπαλλάξει καὶ νὰ σὲ ἐπαναφέρει σὲ πλήρη ὑγεία) νὰ μοῦ τὸ ἀναφέρεις, γιὰ νὰ ἀπαλλαγῶ ἀπὸ τὴν ἀγωνία. Γιατὶ ἐκεῖνο ποὺ σοῦ εἶπα πάντοτε γράφοντάς σου, αὐτὸ καὶ τώρα σοῦ δηλώνω, ὅτι, ὅπου καὶ ἂν βρίσκομαι, ἀκόμα καὶ ἂν μεταφερθοῦμε σὲ πιὸ ἔρημο ἀπὸ τὸ χωριὸ αὐτό, δὲν παύω νὰ ἐνδιαφέρομαι γιὰ σένα καὶ ὅ,τι σὲ ἀφορᾶ. Μοῦ ἔχεις δώσει τόσες ἐγγυήσεις τῆς θερμῆς καὶ εἰλικρινοῦς ἀγάπης σου, ποὺ δὲν μποροῦν ποτὲ νὰ σβησθοῦν οὔτε νὰ ἐξασθενήσουν μὲ τὸν καιρό· ἀλλὰ εἴτε εἶμαι κο-

εὐγενείας, κἂν πόρρωθεν, ἀεὶ διαφυλάττομεν τὴν αὐτὴν ἀγάπην, εἰδότες τὸ γνήσιον καὶ εἰλικρινὲς τῆς διαθέσεώς σου, ἧς διαπαντὸς ἀπελαύσαμεν τοῦ χρόνου.

ΣΚΗ'

ΘΕΟΔΩΡῼ ΙΑΤΡῼ

Αὐτὸς μὲν εἰς τὴν τῶν πραγμάτων ἀσχολίαν καταφεύγεις καὶ ἀπολογίαν ἐντεῦθεν ὑφαίνεις τοῦ μὴ παραγενέσθαι, ἐγὼ δὲ οἶμαι οὐδὲν τούτων σε δεῖσθαι τῶν λόγων. Καὶ γὰρ παραγέγονας καὶ τῶν ἀφικομένων πρὸς ἡμᾶς οὐδὲν ἔλαττον ἔχεις κατὰ τὸν τῆς ἀγάπης λόγον· ἀπὸ γὰρ τῆς γνώμης σε ἀνακηρύττοντες ὁμοίως ἐκείνοις, εἰς τοὺς πρώτους σε τῶν φίλων γράφομεν, καί σοι χάριτας ἴσμεν, ὅτι ὀλίγα συγγενόμενος ἡμῖν, τάχα δὲ οὐδ' ὀλίγα, τῶν πολὺν ἡμῖν συντραφέντων χρόνον οὐκ ἐλάττονα περὶ ἡμᾶς ἐπιδείκνυσαι ἔρωτα. Διὰ ταῦτά σοι χάριτας ἴσμεν πολλὰς καὶ σὲ παρακαλοῦμεν συνεχῶς ἡμῖν ἐπιστέλλειν. Ἐπιθυμοῦμεν γὰρ αὐτὸν παρόντα σε θεάσασθαι, ἀλλ' ἵνα μὴ πολλοὺς ἀδικήσωμεν τοὺς καὶ τῶν χειρῶν τῶν σῶν καὶ τῆς γλώττης δεομένους τῆς σῆς καὶ τοσοῦτον αὐτοῖς προσχώσωμεν λιμένα, οὐ τολμῶμεν ἐνταῦθά σε ἑλκύσαι. Ἀλλ' ἡνίκα ἂν ἐξῇ, παρακαλοῦμεν συνεχῶς ἡμῖν ἐπιστέλλειν καὶ τὰ περὶ τῆς ὑγείας τῆς σῆς εὐαγγελίζεσθαι. Οὕτω γάρ, καὶ πόρρωθεν ὄντες, πολλὴν καρπωσόμεθα τὴν παράκλησιν, ἂν τοιαύτας δεχώμεθα παρὰ τῆς σῆς ἐμμελείας ἐπιστολάς.

ΣΚΘ'

ΣΕΥΗΡᾼ

Ἐγὼ μέν σου τὴν εὐγένειαν εἶδον οὐδέποτε σωματικοῖς ὀφθαλμοῖς, τοῖς δὲ τῆς ἀγάπης πάντων μάλιστα ἐθεασάμην· ἐπειδήπερ, κἂν πολὺ τὸ μέσον ᾖ τῶν διαστημάτων, ταύτην οὐδέποτε διείργει τὴν θεωρίαν. Ὁ γὰρ κύριός μου ὁ ποθεινότατος Λιβάνιος ὑπογρά-

ντὰ στὴν εὐγένειά σου, εἴτε μακριά, πάντοτε διατηρῶ τὴν ἴδια ἀγάπη, γνωρίζοντας τὴ γνησιότητα καὶ εἰλικρίνεια τῶν αἰσθημάτων σου, τὰ ὁποῖα δοκίμασα ὅλα τὰ χρόνια.

228

ΣΤΟ ΓΙΑΤΡΟ ΘΕΟΔΩΡΟ

Σὺ βέβαια προσφεύγεις στὴν ἐνασχόλησή σου μὲ τὴν κατάσταση καὶ ἐξυφαίνεις ἀπὸ αὐτὸ δικαιολογία γιὰ τὸ ὅτι δὲν ἦρθες· ἐγὼ ὅμως νομίζω ὅτι δὲν χρειάζεσαι κανένα ἀπὸ αὐτοὺς τοὺς λόγους. Γιατὶ στὴν πραγματικότητα ἔχεις ἔρθει καὶ δὲν ἔχεις, ὡς πρὸς τὸν λόγο τῆς ἀγάπης, τίποτε λιγότερα ἀπὸ αὐτοὺς ποὺ ἦρθαν σὲ μένα. Γιατὶ ἀπὸ τὴ διάθεση σὲ ἀνακηρύσσω ὅμοια μὲ ἐκείνους, σὲ κατατάσσω μεταξὺ τῶν πρώτων φίλων μου, καὶ σὲ εὐγνωμονῶ γιὰ τὸ ὅτι, ἂν καὶ μὲ συναναστράφηκες λίγο, ἢ μᾶλλον οὔτε λίγο, δὲν ἔδειξες λιγότερη ἀγάπη ἀπὸ ἐκείνους ποὺ μὲ συναναστράφηκαν πολὺ χρόνο. Γι' αὐτὸ σ' εὐγνωμονῶ πολὺ καὶ σὲ παρακαλῶ νὰ μοῦ γράφεις συνεχῶς. Ἐπιθυμῶ βέβαια νὰ σὲ δῶ τὸν ἴδιο παρόντα· ἀλλὰ γιὰ νὰ μὴ ἀδικήσουμε πολλούς, ποὺ ἔχουν ἀνάγκη καὶ τῶν χεριῶν σου καὶ τῆς γλώσσας σου, ἐπιχωματώνοντας ἕνα τόσο μεγάλο γι' αὐτοὺς λιμάνι, δὲν τολμῶ νὰ σὲ τραβήξω ἐδῶ. Ὅμως, ὅταν εἶναι δυνατόν, παρακαλῶ νὰ μοῦ γράφεις συνεχῶς καὶ νὰ μὲ πληροφορεῖς τὰ εὐχάριστα τῆς ὑγείας σου. Γιατὶ ἔτσι, ἔστω καὶ ἂν βρίσκομαι μακριά, θὰ παίρνω μεγάλη παρηγοριά, ἂν δέχομαι τέτοιες ἐπιστολὲς ἀπὸ τὴ χάρη σου.

229

ΣΤΗ ΣΕΥΗΡΑ

Ἐγὼ βέβαια δὲν εἶδα ποτὲ τὴν εὐγένειά σου μὲ τὰ σωματικὰ μάτια μου, μὲ τὰ μάτια ὅμως τῆς ἀγάπης σὲ εἶδα περισσότερο ἀπὸ ὅλους· γιατί, καὶ ἂν ἀκόμα εἶναι πολὺ τὸ διάστημα ποὺ παρεμβάλλεται ἀνάμεσά μας, οὐδέποτε ἐμποδίζει αὐτὴ τὴ θέα. Ἄλλωστε ὁ κύ-

φων ἡμῖν τὸν ζῆλον τῆς σῆς εὐγενείας, τὸν ὑπὲρ τῆς ὀρθῆς πίστεως, καὶ τὴν σπουδήν, σφόδρα ἡμᾶς ἀνεπτέρωσε. Διό, καὶ μηδέποτέ σε ἑωρακότες, ἐπεπηδήσαμεν πρῶτοι τοῖς πρὸς τὴν σὴν εὐλάβειαν γράμμασι, παρακαλοῦντες καὶ αὐτὴν ἡμῖν ἐπιστέλλειν ἡνίκα ἂν ἐξῇ. Εἰ γὰρ ἔλθοι παρὰ τῆς σῆς ἐμμελείας ἐπιστολὴ ἀπαγγέλλουσα ἡμῖν τὰ περὶ τῆς ὑγείας σου καὶ τοῦ οἴκου σου παντός, μεγίστην, καὶ ἐν ἀλλοτρίᾳ διατρίβοντες, ἐντεῦθεν καρπωσόμεθα τὴν παράκλησιν. Ἀγάπης γὰρ ἴσον οὐδέν.

ΣΛʹ

ΕΛΠΙΔΙΩι ΕΠΙΣΚΟΠΩι

Πολλὰς ἔχω χάριτας τῷ κυρίῳ μου τῷ ποθεινοτάτῳ Λιβανίῳ, ὅτι καὶ οἴκοθεν ἀνέστη καὶ ἐνταῦθα παρεγένετο καὶ πάλιν πρὸς τὴν σὴν εὐλάβειαν ἀφίκετο, καὶ τούτῳ μάλιστα χάριτας αὐτῷ οἶδα. Ἐμοὶ γὰρ πᾶσα σπουδή, τιμῆς σε καὶ θεραπείας ἀπολαύειν ἁπάσης παρὰ πάντων· οὐκ ἐπειδὴ αὐτῷ σοὶ τούτων δεῖ, ἀλλ' ἐπειδὴ τοῦτο συμφέρει ταῖς Ἐκκλησίαις, ταῖς τε χειμαζομέναις, ταῖς τε ἀχειμάστοις. Ἀποδεχόμενος τοίνυν αὐτὸν τῆς εὐνοίας, δέσποτά μου τιμιώτατε καὶ θεοφιλέστατε, καὶ πάντα παρ' αὐτοῦ μαθὼν μετὰ ἀκριβείας, τά τε ἐν Ἀντιοχείᾳ καὶ τὰ ἡμέτερα (καὶ γὰρ καὶ ταῦτα ἐρεῖ, ὀλίγον μὲν ἡμῖν συγγενόμενος χρόνον, μαθὼν δὲ ὅπως διάγομεν), ἔκπεμψον αὐτὸν χαίροντα καὶ εὐφραινόμενον. Καὶ γὰρ καὶ τῆς θεοσεβείας ἐκκρέμαται τῆς σῆς καὶ ἡμῶν σφοδρός ἐστιν ἐραστής.

Τὸν δεσπότην μου τὸν ποθεινότατον καὶ τιμιώτατον Ἀσυγκρίτιον τὸν πρεσβύτερον προσειπεῖν παρ' ἡμῶν παρακλήθητι μετὰ τῶν ποθεινοτάτων αὐτοῦ τέκνων, καὶ πάντα σου τὸν κλῆρον, ὃν ἐπαίδευσας ἐν βραχεῖ τὸν σὸν περὶ ἡμᾶς μιμεῖσθαι ἔρωτα. Οὐδὲ γὰρ τοῦτο ἡμᾶς ἔλαθεν, ὅσην περὶ ἡμᾶς ἐπιδείκνυνται ἀγάπην, καὶ πῶς πάντα καὶ παθεῖν καὶ ποιῆσαι τούτου ἕνεκεν παρεσκευασμένοι εἰσί. Τοῦτο δὲ ὅλον κατόρθωμα τῆς θεοσεβείας τῆς σῆς.

ριός μου, ὁ πολυπόθητος Λιβάνιος, περιγράφοντάς μου τὸ ζῆλο τῆς εὐγένειάς σου γιὰ τὴν ὀρθὴ πίστη καὶ τὴ διάθεση, πολὺ μὲ ἀναπτέρωσε. Γι' αὐτό, ἂν καὶ ποτὲ δὲ σὲ εἶδα, ἔσπευσα πρῶτος μὲ γράμματα πρὸς τὴν εὐλάβειά σου, παρακαλώντας καὶ αὐτὴν νὰ μοῦ γράφει, ὅταν εἶναι δυνατόν. Γιατί, ἐὰν ἔρθει ἀπὸ τὴ χάρη σου ἐπιστολὴ ποὺ νὰ μὲ πληροφορεῖ γιὰ τὴν ὑγεία τὴ δική σου καὶ ὅλου τοῦ σπιτιοῦ σου, θὰ ἔχω, ἔστω κι ἂν ζῶ σὲ ξένη χώρα, πολὺ μεγάλη παρηγοριὰ ἀπὸ αὐτό. Γιατὶ τίποτε δὲν εἶναι ἴσο μὲ τὴν ἀγάπη.

230

ΣΤΟΝ ΕΠΙΣΚΟΠΟ ΕΛΠΙΔΙΟ

Ὀφείλω πολλὴ εὐγνωμοσύνη στὸν κύριό μου, τὸ πολυπόθητο Λιβάνιο, διότι καὶ ἀπὸ τὸ σπίτι του ξεσηκώθηκε, καὶ ἐδῶ ἦρθε καὶ πάλι γύρισε πρὸς τὴν εὐλάβειά σου, πρᾶγμα γιὰ τὸ ὁποῖο ἰδιαίτερα τὸν εὐγνωμονῶ. Γιατὶ σὲ μένα ἀντανακλᾶ κάθε προσπάθεια νὰ ἀπολαμβάνεις κάθε τιμὴ καὶ περιποίηση ἀπὸ ὅλους· ὄχι ἐπειδὴ ἔχεις ἀνάγκη αὐτῶν, ἀλλ' ἐπειδὴ αὐτὸ συμφέρει στὶς Ἐκκλησίες, καὶ τὶς δοκιμαζόμενες καὶ τὶς μὴ δοκιμαζόμενες. Ἀφοῦ λοιπὸν τὸν δεχθεῖς μὲ καλωσύνη, ἐντιμότατε καὶ θεοφιλέστατε δεσπότη μου, καὶ ἀφοῦ μάθεις ἀπὸ αὐτὸν ὅλα μὲ ἀκρίβεια, καὶ τὰ τῆς Ἀντιόχειας καὶ τὰ δικά μας (γιατὶ κι αὐτὰ θὰ σοῦ τὰ πεῖ, ἂν καὶ μᾶς συναναστράφηκε γιὰ λίγο, ἀλλὰ ἔμαθε πῶς περνᾶμε), ἐξαπόστειλέ τον μὲ χαρὰ καὶ εὐφροσύνη. Γιατὶ καὶ ἀπὸ τὴ θεοσέβειά σου ἐξαρτᾶται, ἀλλὰ καὶ δικός μου ἔνθερμος ἐραστὴς εἶναι.

Τὸν πολυπόθητο καὶ ἐντιμότατο δεσπότη μου Ἀσυγκρίτιο, τὸν πρεσβύτερο, παρακαλῶ χαιρέτισέ τον ἀπὸ μένα, μαζὶ μὲ τὰ περιπόθητα παιδιά του, καθὼς καὶ ὅλο τὸν κλῆρο σου, τὸν ὁποῖο ἐκπαίδευσες, σὲ σύντομο χρονικὸ διάστημα, νὰ μιμεῖται τὴ δική σου ἀγάπη γιὰ μένα. Γιατὶ οὔτε αὐτὸ μοῦ διέφυγε, τὸ πόση δηλαδὴ ἀγάπη δείχνουν γιὰ μένα καὶ πόσο προετοιμασμένοι εἶναι ἐξαιτίας αὐτοῦ νὰ πάθουν καὶ νὰ κάνουν τὰ πάντα. Καὶ ὅλο αὐτὸ εἶναι κατόρθωμα τῆς θεοσέβειάς σου.

ΣΛΑ'

ΑΔΟΛΙΑι

Πολλάκις μὲν ἐπεστάλκαμέν σου πρὸς τὴν εὐλάβειαν, ἀλλ' οὐκ ἀρκεῖ τοῦτο τὸ πολλάκις ἡμῖν, ἀλλ' ἐβουλόμεθα μὲν καθ' ἑκάστην ἡμέραν τοῦτο ποιεῖν. Οἶσθα γὰρ ὅπως διακείμεθα περὶ τὴν ἐμμέλειαν τὴν σήν. Ἐπειδὴ δὲ τοῦτο οὐκ ἔνι, ἡνίκα ἂν ἐξῇ, ἡμῖν αὐτοῖς τὰ μέγιστα χαριζόμενοι τὴν ὀφειλομένην ἀποπληροῦμεν πρόσρησιν, συνεχῶς καὶ διηνεκῶς βουλόμενοι μανθάνειν τὰ περὶ τῆς ὑγείας τῆς σῆς καὶ τῆς εὐθυμίας.

Παρακαλῶ τοίνυν, εἰδυῖα ἡλίκα ἡμῖν χαρίζῃ ταῦτα ἐπιστέλλουσα, ἔργον ποιήσασθαι τοῦτο παρακλήθητι, τὸ συνεχῶς ἡμῖν ταῦτα ἐπιστέλλειν. Ἐπεὶ καὶ νῦν οὐχ ὡς ἔτυχεν ἠλγήσαμεν, ὅτι ἀνδρὸς πᾶσιν, ὡς εἰπεῖν, γνωρίμου καὶ ἡμῖν ἀγαπητοῦ, μέλλοντος ἐνταῦθα παραγενέσθαι, τοῦ κυρίου μου τοῦ τιμιωτάτου Λιβανίου, οὐκ ἐπέστειλας ἡμῖν, ἀγνοήσασα μὲν ἴσως· πλὴν ἀλλὰ καὶ δι' αὐτὸ τοῦτο ἀλγοῦμεν, ὅτι ἀγνοεῖς τοὺς ἐκεῖθεν πρὸς ἡμᾶς ἐρχομένους. Ἡμεῖς γὰρ οὐ παυόμεθα περιεργαζόμενοι καὶ πολυπραγμονοῦντες τοὺς ἐντεῦθεν πρὸς ὑμᾶς παραγενομένους, ἡνίκα ἂν ἐξῇ, δι' ἐκείνων ἡμῖν τὴν ἐπιθυμίαν τὴν ἑαυτῶν πληροῦντες· αὕτη δέ ἐστι τὸ συνεχῶς ἐπιστέλλειν πρὸς τὴν σὴν ἐμμέλειαν.

ΣΛΒ'

ΚΑΡΤΕΡΙΑι

Εἰ σαφῶς ᾔδεις ὅσην ἡμῖν δίδως χάριν, καὶ γράφουσα καὶ συνεχῶς γράφουσα καὶ τοῦ μέλιτός σου τῆς ἀγάπης ἀναχρωννῦσα τὰ γράμματα, πάντα ἂν ἐποίησας, ὥστε δυνηθῆναι καθ' ἑκάστην ἡμέραν πέμπειν ἐπιστολὰς ἡμῖν. Οὐκέτι γὰρ Κουκουσὸν οἰκεῖν νομίζομεν, οὐδὲ ἐν ἐρημίᾳ διάγειν, τοσαύτην ἀπὸ τῶν γραμμάτων σου καὶ τῆς γνησίας ἀγάπης καρπούμενοι τὴν εὐφροσύνην. Τὸ δὲ μὴ μόνον ἐπιστολὰς πέμψαι, ἀλλὰ καὶ τὸν κύριόν μου τὸν ποθεινότατον ἀδελφὸν ἡμῶν Λιβάνιον πεῖσαί τε ἀναστῆναι ἐκεῖθεν καὶ τὴν ἀπο-

231

ΣΤΗΝ ΑΔΟΛΙΑ

Πολλὲς φορὲς βέβαια ἔγραψα στὴν εὐλάβειά σου, ὅμως αὐτὸ τὸ «πολλὲς φορὲς» δὲν μοῦ εἶναι ἀρκετό· θὰ ἤθελα νὰ τὸ κάμνω κάθε μέρα. Γιατὶ γνωρίζεις τὰ αἰσθήματα ποὺ τρέφω πρὸς τὴ χάρη σου. Ἐπειδὴ ὅμως αὐτὸ δὲν εἶναι δυνατόν, ὅταν μπορῶ, χαρίζοντας σὲ μένα τὸν ἴδιο μεγάλη χαρά, σοῦ στέλνω τὸν ὀφειλόμενο χαιρετισμό, θέλοντας συνεχῶς καὶ πάντοτε νὰ μαθαίνω γιὰ τὴν ὑγεία σου καὶ τὴν ψυχική σου διάθεση.

Παρακαλῶ λοιπόν, γνωρίζοντας πόσα μοῦ χαρίζεις γράφοντας αὐτά, νὰ τὸ κάνεις ἔργο αὐτό, τὸ νὰ μοῦ γράφεις δηλαδὴ γιὰ τὴν ὑγεία σου καὶ τὴν ψυχική σου διάθεση. Γιατὶ καὶ τώρα δὲν πόνεσα λίγο, ἐπειδὴ δὲν μοῦ ἔγραψες μὲ ἄνδρα πασίγνωστο, ὅπως θὰ μποροῦσα νὰ πῶ, καὶ ἀγαπητὸ σὲ μένα, ὁ ὁποῖος ἐπρόκειτο νὰ ἔρθει ἐδῶ, τὸν ἐντιμότατο κύριό μου Λιβάνιο, ἴσως διότι τὸ ἀγνοοῦσες· ἀλλὰ καὶ γι' αὐτὸ πονῶ, διότι ἀγνοεῖς αὐτοὺς ποὺ ἔρχονται ἀπὸ ἐκεῖ πρὸς ἐμᾶς. Ἐγὼ πάντως δὲν παύω νὰ ἐξετάζω μὲ προσοχὴ καὶ νὰ ἐρευνῶ μὲ ἀκρίβεια αὐτοὺς ποὺ ἔρχονται ἀπὸ ἐδῶ πρὸς ἐσᾶς, ὅταν εἶναι δυνατόν, καὶ μέσω αὐτῶν ἐκπληρώνω τὴν ἐπιθυμία μου, καὶ ἡ ἐπιθυμία μου αὐτὴ εἶναι, νὰ γράφω συνεχῶς πρὸς τὴ χάρη σου.

232

ΣΤΗΝ ΚΑΡΤΕΡΙΑ

Ἐὰν ἤξερες καλὰ πόση χαρὰ μοῦ δίνεις ὅταν καὶ γράφεις, καὶ γράφεις συνεχῶς καὶ χρωματίζεις τὰ γράμματα μὲ τὸ μέλι τῆς ἀγάπης σου, θὰ ἔκανες τὰ πάντα, γιὰ νὰ μπορεῖς κάθε μέρα νὰ μοῦ στέλνεις ἐπιστολές. Γιατὶ νομίζω ὅτι δὲν κατοικῶ πιὰ στὴν Κουκουσό, οὔτε ὅτι ζῶ σὲ ἐρημιά, δοκιμάζοντας τόση γνήσια ἀγάπη καὶ εὐφροσύνη ἀπὸ τὰ γράμματά σου. Τὸ ὅτι ὄχι μόνο ἔστειλες ἐπιστολές, ἀλλὰ ἔπεισες καὶ τὸν κύριό μου, τὸν περιπόθητο ἀδελφό μου Λιβάνιο, νὰ ξεσηκωθεῖ ἀπὸ ἐκεῖ καὶ νὰ ἀναλάβει αὐτὴ τὴν απο-

δημίαν στείλασθαι ταύτην, πόσης διαθέσεώς ἐστι; πόσης κηδεμονίας; Διὰ ταῦτα σκιρτῶμεν καὶ εὐφραινόμεθα. Ἀγάπης γὰρ γνησίας ἴσον οὐδέν.

Καὶ αὐτὴ μὲν ἀξιοῖς τὴν αὐτὴν ἡμᾶς διασώζειν διάθεσιν, ἣν ἐξ ἀρχῆς ἐπεδειξάμεθα περὶ τὴν σὴν ἐμμέλειαν, ἡμεῖς δὲ οὐκ ἀνεχόμεθα ἐπὶ τοῦ μέτρου μένειν τούτου, ἀλλὰ καὶ καθ' ἑκάστην ἡμέραν προσθήκας ἐπιζητοῦμεν τῆς περὶ σὲ διαθέσεως, ἡμῖν αὐτοῖς τὰ μέγιστα χαριζόμενοι. Οὐ γὰρ διαλιμπάνομεν συνεχῶς παρ' ἑαυτοῖς στρέφοντες τὸ εὐγενές σου τῆς ψυχῆς, τὸ ἄπλαστον, τὸ ἐλευθέριον, τὸ φιλικόν, τὸ γνήσιον, τὸ ἀνυπόκριτον, καὶ μεγίστην ἀπὸ τῆς μνήμης τῶν λογισμῶν τούτων καρπούμεθα τὴν εὐφροσύνην. Διὸ παρακαλοῦμεν, θαρρήσασαν ἡμῶν τῇ ἀγάπῃ, μηδὲν ἀλγῆσαι ὑπὲρ τῶν ἀποσταλέντων παρὰ τῆς σῆς τιμιότητος, ὅτι δὴ ταῦτα ἀνεπέμψαμεν. Τῇ μὲν γὰρ διαθέσει καὶ ἐδεξάμεθα καὶ ἀπελαύσαμεν αὐτῶν, ἐπειδὴ δὲ ἐν χρείᾳ οὐ καθεστήκαμεν, ἐδηλώσαμεν αὐτὰ τηρεῖσθαι παρὰ τῇ σῇ εὐγενείᾳ, κἂν ποτε καταστῶμεν ἐν χρείᾳ, ὄψει μεθ' ὅσης παρρησίας καὶ τοῦ θαρρεῖν γράψαιμεν, ὥστε ἡμῖν ἀποσταλῆναι, κάν τούτῳ τὸ σὸν φυλάσσοντες ῥῆμα. Πρὸς γὰρ τῷ τέλει τῆς ἐπιστολῆς ἔφης· 'Δεῖξον ὅτι καταξιοῖ σου ἡ θεοσέβεια θαρρεῖν ἡμῖν καὶ τοῖς ἡμετέροις ὡς ἰδίοις κεχρῆσθαι'. Εἰ τοίνυν οὕτω βούλει διακεῖσθαι ἡμᾶς, ὥσπερ οὖν καὶ βούλει, καὶ τοῖς σοῖς ὡς ἰδίοις κεχρῆσθαι, ἡνίκα ἂν ἐπιστείλω, τότε πέμπε. Τοῦ γὰρ ἴδια αὐτὰ νομίζειν, τοῦτο μέγιστόν ἐστι σημεῖον τό, ἡνίκα ἂν ἐγὼ βουληθῶ, τότε πέμπεσθαι, ἀλλὰ μὴ τότε, ὅτε οὐ δέομαι. Δεῖξον τοίνυν κάν τούτῳ τὴν γνησίαν σου φιλίαν καὶ τὴν αἰδῶ τὴν περὶ ἡμᾶς; τῷ καὶ ἐν τούτῳ ἡμῶν ἀνασχέσθαι, καὶ πέμψον ταχέως ἐπιστολὴν ἀπαγγέλλουσαν ἡμῖν ὡς οὐκ ἤλγησας. Ἂν γὰρ μὴ τοῦτο ποιήσῃς, ἐν διηνεκεῖ φροντίδι καθιστᾶν ἡμᾶς μέλλεις· οὐ γὰρ παυσόμεθα μεριμνῶντες, μή ποτε ἐλυπήσαμεν· πολὺ γάρ σου τῆς ἀγάπης ἀντεχόμεθα καὶ τοῦ ἀναπαύειν σου τὴν εὐγένειαν.

Ἐπεὶ οὖν ἱκανῶς ἀπελογησάμεθα, δήλωσον ἡμῖν ὡς ἐδέξω τὴν ἀπολογίαν ἡμῶν. Καὶ γὰρ ἔξεστί σου μαθεῖν τὴν ἐμμέλειαν, ὅτι πρὸς μὲν ἄλλους τὸ αὐτὸ δὴ τοῦτο πεποιηκότας, καὶ σφόδρα γνησίους ἡμῖν, οὐκ ἐδέησεν ἡμῖν ἀπολογίας, ἀλλ' ἤρκεσε τὸ διακρούσασθαι

δημία, πόσο μεγάλης διαθέσεως εἶναι δεῖγμα; πόσης φροντίδας; Γι' αὐτὸ σκιρτῶ ἀπὸ χαρὰ καὶ εὐφραίνομαι. Γιατὶ τίποτε δὲν εἶναι ἰσάξιο μὲ τὴν ἀγάπη.

Καὶ σὺ βέβαια ἀξιώνεις νὰ διατηρῶ ἐγὼ τὴν ἴδια διάθεση ποὺ εἶχα δείξει ἀπὸ τὴν ἀρχὴ γιὰ τὴ χάρη σου. Ἐγὼ ὅμως δὲν ἀνέχομαι νὰ μείνω στὸ μέτρο αὐτό, ἀλλὰ κάθε μέρα προσπαθῶ νὰ ἐπαυξήσω τὰ αἰσθήματά μου γιὰ σένα, δίνοντας σὲ μένα τὸν ἴδιο μεγάλη χαρά. Γιατὶ δὲν παραλείπω νὰ σκέφτομαι μέσα μου τὴν εὐγένεια τῆς ψυχῆς σου, τὸ ἀπροσποίητο, τὴν ἐλευθερία, τὴ φιλικότητα, τὴ γνησιότητα, τὴν ἀνυποκρισία, καὶ δοκιμάζω πολὺ μεγάλη εὐφροσύνη ἀπὸ τὴν ἀνάμνηση αὐτῶν τῶν λογισμῶν. Γι' αὐτὸ παρακαλῶ, ἔχοντας ἐμπιστοσύνη στὴν ἀγάπη μου, νὰ μὴ πονέσεις ποὺ σοῦ ἐπέστρεψα αὐτὰ ποὺ μοῦ ἔστειλε ἡ ἐντιμότητά σου[1]. Γιατὶ ὡς πρὸς τὴ διάθεση τὰ δέχθηκα καὶ τὰ ἀπόλαυσα. Ὅμως, ἐπειδὴ δὲν τὰ ἔχω ἀνάγκη, εἶπα αὐτὰ νὰ διατηρηθοῦν ἀπὸ τὴν εὐγένειά σου. Καὶ ἂν ποτὲ βρεθῶ σὲ ἀνάγκη, θὰ δεῖς μὲ πόση παρρησία καὶ θάρρος θὰ γράψω νὰ μοῦ ἀποσταλοῦν, φυλάσσοντας καὶ σ' αὐτὸ τὰ δικά σου λόγια. Γιατὶ πρὸς τὸ τέλος τῆς ἐπιστολῆς εἶπες· 'Δεῖξε ὅτι καταδέχεται ἡ θεοσέβειά σου νὰ ἔχει ἐμπιστοσύνη σ' ἐμένα καὶ νὰ χρησιμοποιεῖ τὰ δικά μου ὡς δικά της'. Ἐὰν λοιπὸν θέλεις ἔτσι νὰ αἰσθάνομαι, ὅπως καὶ πράγματι θέλεις, καὶ νὰ χρησιμοποιῶ τὰ δικά σου ὡς δικά μου, ὅταν σοῦ γράψω, τότε νὰ τὰ στείλεις. Γιατὶ τοῦ νὰ τὰ θεωρῶ αὐτὰ δικά μου, αὐτὸ εἶναι μεγαλύτερη ἀπόδειξη τό, ὅταν ἐγὼ θελήσω, τότε νὰ στέλνονται, καὶ ὄχι τότε, ὅταν δὲν ἔχω ἀνάγκη. Δεῖξε λοιπὸν καὶ στὸ θέμα αὐτὸ τὴ γνήσια φιλία σου καὶ τὸ σεβασμό σου γιὰ μένα, μὲ τὸ νὰ μὲ ἀνέχεσαι καὶ σ' αὐτό· καὶ στεῖλε γρήγορα ἐπιστολὴ ἀναφέροντάς μου ὅτι δὲν πόνεσες. Γιατί, ἂν δὲν τὸ κάνεις αὐτό, θὰ μὲ βάλεις σὲ διαρκῆ ἀγωνία· γιατὶ δὲ θὰ παύσω νὰ ἀγωνιῶ, μήπως ποτὲ σὲ λύπησα, καθόσον ἐνδιαφέρομαι πολὺ γιὰ τὴν ἀγάπη σου καὶ θέλω νὰ ξεκουράζω τὴν εὐγένειά σου.

Ἀφοῦ λοιπὸν ἀπολογήθηκα ἱκανοποιητικά, πληροφόρησέ μου ὅτι δέχθηκες τὴ δικαιολογία μου. Καὶ πρέπει νὰ μάθει ἡ χάρη σου, ὅτι πρὸς ἄλλους ποὺ ἔκαναν ἀκριβῶς τὸ ἴδιο καὶ ἦταν πάρα πολὺ γνήσιοι φίλοι μου, δὲ χρειάστηκε νὰ δικαιολογηθῶ, ἀλλὰ ἦταν ἀρ-

1. Ἐπιστροφὴ ἐνισχύσεως ποὺ τοῦ ἔστειλε ἡ Καρτερία. Βλ. καὶ τὶς *Ἐπιστολὲς* 50,51 καὶ 61.

τὰ πεμφθέντα· ἐπὶ δὲ τῆς σῆς τιμιότητος καὶ ἀπολογούμεθα καὶ παρακαλοῦμεν μηδὲν ἀλγῆσαι, καὶ οὐ πρότερον ἀποστησόμεθα συνεχῶς ταῦτα λέγοντες, ἕως ἂν ἡμῖν δηλοποιήσῃς, ὅτι οὐκ ἤλγησας. Ἂν γὰρ τοιούτων ἐπιτύχωμεν γραμμάτων, διπλασίονα καὶ τριπλασίονα καὶ πολλαπλασίονα τῶν ἀποσταλέντων ἡγούμεθα δεδέχθαι. Ἱκανὸν γὰρ μάλιστα τοῦτο δεῖξαι καὶ τὴν αἰδῶ καὶ τὴν τιμήν, ἣν ἔχεις πρὸς ἡμᾶς.

ΣΛΓ'

ΠΡΟΣ ΤΟΝ ΑΝΤΙΟΧΕΙΑΣ

Ἔδει μὲν τὴν ὑμετέραν εὐλάβειαν μὴ τοῖς ῥήμασι τῶν εἰρηκότων παρατρέπεσθαι τὴν διάνοιαν, ἀλλ' ἐν τῷ πλήθει τοῦ ψεύδους μετὰ πολλῆς τῆς σκέψεως ἀνιχνεύεσθαι τὴν ἀλήθειαν. Εἰ γὰρ ἅπαντα τὰ θρυλλούμενα ἀλήθειαν ὑπολάβοις, κινδυνεύσειαν ἂν ἅπαντες, εἰ δὲ κρίσει καὶ νόμοις ἀνιχνεύεται τὰ λανθάνοντα, κριτήριον ἂν ἔγωγε παρ' ὑμῶν ἐπεζήτησα, εἰ μή τις ἕτερα αὖθις ὅπλα συκοφαντίας μοι ἐπιπνεύσει. Δέδοικα γάρ, δέδοικα λοιπὸν τὰς σκιὰς καὶ τὰ φαντάσματα, ἐπειδὴ αὐτοὶ ἐδικαιώσατε οὕτως. Οἱ φίλοι τὴν φιλίαν ἠρνήσαντο, οἱ πλησίον ὄντες πόρρωθεν ἔστησαν καὶ πόρρωθεν ὄντες τὰ βέλη τῆς συκοφαντίας ἀποτοξεύουσιν. Ἐν μέσῳ δὲ τοῦ λιμένος ὄντα με ναυάγιον ὑπομεῖναι ἐποιήσατε. Ἀλλ', εἰ καὶ τῆς πόλεως ἐκβάλλομαι καὶ τῆς Ἐκκλησίας ἀπείργομαι, πείθομαι πρὸς πᾶσαν ἀποδύσασθαι τιμωρίαν. Κέκριται γάρ μοι φιλοσοφεῖν καὶ φέρειν γενναίως τὰ δυσχερῆ. Οἶδα γάρ, οἶδα σαφῶς τὴν ἐρημίαν εὐτονωτέραν εἶναι τῆς πόλεως καὶ τὰ θηρία τοῦ ἀγροῦ τῶν φίλων ἡμερώτερα.

Ἔρρωσο.

---

1. Τὰ λόγια αὐτὰ τοῦ ἱ. Χρυσοστόμου φέρνουν στὸ νοῦ μας τοὺς στίχους τοῦ βασιλιᾶ Δαβίδ, ὁ ὁποῖος σὲ ὧρες θλίψεως ἔγραφε· «οἱ φίλοι μου καὶ οἱ πλησίον μου

κετὸ νὰ ἀποκρούσω αὐτὰ ποὺ μοῦ ἔστειλαν· ἐνῶ στὴν ἐντιμότητά σου καὶ δικαιολογοῦμαι καὶ παρακαλῶ νὰ μὴ πονέσεις, καὶ δὲ θὰ σταματήσω νὰ ἐπαναλαμβάνω συνεχῶς αὐτά, μέχρι νὰ μὲ βεβαιώσεις ὅτι δὲν πόνεσες. Ἂν λοιπὸν ἔχω τὴν τύχη νὰ πάρω τέτοια γράμματα, θὰ νομίζω ὅτι πῆρα διπλάσια καὶ τριπλάσια καὶ πολλαπλάσια ἀπὸ αὐτὰ ποὺ μοῦ στάλθηκαν. Γιατὶ αὐτὸ πρὸ πάντων εἶναι ἱκανὸ νὰ δείξει καὶ τὸ σεβασμὸ καὶ τὴν ἐκτίμηση ποὺ ἔχεις γιὰ μένα.

233

ΣΤΟΝ ΠΑΤΡΙΑΡΧΗ ΑΝΤΙΟΧΕΙΑΣ

Ἔπρεπε ἡ εὐλάβειά σου νὰ μὴ ἀλλάζει γνώμη μὲ τὰ λόγια αὐτῶν ποὺ τὰ διέδωσαν, ἀλλὰ μέσα ἀπὸ τὸ πλῆθος τῶν ψευδῶν μὲ πολλὴ περίσκεψη νὰ ἀνιχνεύει τὴν ἀλήθεια. Γιατί, ἂν ἐκλάβεις ὅλα ὅσα διαδίδονται ὡς ἀλήθεια, θὰ μποροῦσαν νὰ κινδυνεύσουν ὅλοι· ἐνῶ ἐγὼ θὰ ζητοῦσα ἀπὸ σένα ὡς κριτήριο νὰ ἐρευνῶνται ὅσα ὑπολανθάνουν μὲ δικαιοκρισία καὶ νόμους, ἐκτὸς ἐὰν κανεὶς καὶ ἄλλα πάλι ὅπλα συκοφαντίας ἐκτοξεύσει ἐναντίον μου. Γιατὶ φοβᾶμαι, φοβᾶμαι τὶς σκιὲς καὶ τὰ φαντάσματα, ἐπειδὴ σὺ ὁ ἴδιος τὰ ἐπέτρεψες. Οἱ φίλοι ἀρνήθηκαν τὴ φιλία μου, ὅσοι ἦταν κοντά μου, στέκονται τώρα ἀπὸ μακριά[1], καὶ ἐνῶ βρίσκονται μακριά, ἐκτοξεύουν τὰ βέλη τῆς συκοφαντίας. Καὶ ἐνῶ βρίσκομαι στὴ μέση τοῦ λιμανιοῦ, μὲ κάνατε νὰ ὑποστῶ ναυάγιο. Ἀλλὰ καὶ ἂν ἐκδιωχθῶ ἀπὸ τὴν πόλη καὶ ἀπομακρυνθῶ ἀπὸ τὴν Ἐκκλησία, συμφωνῶ νὰ ὑποστῶ κάθε εἴδους τιμωρία. Γιατὶ ἔκρινα ὅτι εἶναι προτιμότερο νὰ ἀντιμετωπίζω μὲ φιλοσοφικὴ διάθεση καὶ νὰ ὑπομένω γενναῖα τὶς δυσκολίες. Γιατὶ γνωρίζω, γνωρίζω καλά, ὅτι ἡ ἐρημιὰ παρέχει ζωὴ πιὸ πολὺ ἀπὸ τὴν πόλη, καὶ τὰ θηρία τῆς ὑπαίθρου εἶναι πιὸ ἥμερα ἀπὸ τοὺς φίλους.

Εἶθε νὰ ὑγιαίνεις

ἐξ ἐναντίας μου ἤγγισαν καὶ ἔστησαν καὶ οἱ ἔγγιστά μου ἀπὸ μακρόθεν ἔστησαν» (*Ψαλμ.* 37,12).

ΣΛΔ'

ΒΡΙΣΩΝΙ

Ἑβδομήκοντα σχεδὸν ἡμέρας ἀναλώσαντες κατὰ τὴν ὁδόν, ὅθεν λογίζεσθαι ἔξεστι τῇ θαυμσιότητί σου, ὅσα τε καὶ ἡλίκα πεπόνθαμεν κακά, φόβῳ τε ἰσαυρικῷ πολιορκούμενοι πολλαχοῦ καὶ πυρετοῖς ἀφορήτοις παλαίοντες, ὀψέ ποτε ἀπηντήσαμεν εἰς τὴν Κουκουσόν, τὸ πάσης τῆς οἰκουμένης ἐρημότατον χωρίον. Καὶ ταῦτα λέγω οὐκ ἀξιῶν ἐνοχλῆσαί τινα, ὥστε ἡμᾶς μεταστῆσαι ἐντεῦθεν (τὸ γὰρ χαλεπώτατον διηνύσαμεν, τῆς ὁδοῦ τὴν ταλαιπωρίαν), ἀλλ' ὑμᾶς χάριν αἰτῶ, τὸ συνεχῶς ἡμῖν ἐπιστέλλειν, μηδέ, ἐπειδὴ πορρωτέρω μετῳκίσθημεν ὑμῶν καὶ ταύτης ἡμᾶς ἀποστερῆσαι τῆς παραμυθίας. Ἴστε γὰρ ὅση παράκλησις ἡμῖν γίνεται, εἰ καὶ τὰ ἡμέτερα ἐν θλίψει καὶ περιστάσει, ὅταν ἀκούωμεν τὰ περὶ τῆς ὑγείας ὑμῶν τῶν ἀγαπώντων ἡμᾶς, ὅτι ἐν εὐθυμίᾳ καὶ ὑγείᾳ ἐστὲ καὶ ἀδείᾳ πολλῇ.

Ἵν' οὖν ἐντεῦθεν πολλῆς ἀπολαύωμεν τῆς εὐφροσύνης, γράφε ταῦτα συνεχῶς ἡμῖν. Οὐ γὰρ ὡς ἔτυχεν ἡμᾶς ἀνακτήσῃ, ἀλλὰ πολλῆς ἡμᾶς παρασκευάσεις ἀπολαῦσαι τῆς παραμυθίας· καὶ γὰρ οὐκ ἀγνοεῖς, ὅπως χαίρομεν τοῖς σοῖς ἀγαθοῖς.

ΣΛΕ'

ΠΟΡΦΥΡΙΩι ΕΠΙΣΚΟΠΩι ΡΩΣΟΥ

Οἶδά σου τῆς ἀγάπης τὸ στερρόν, τὸ ἀπερίτρεπτον, τὸ ἀκλινές, καὶ ὡς οὐδεμία πραγμάτων δυσκολία αὐτὴν προσαλεῦσαι δύναιτ' ἄν· τοῦτο διὰ τῶν ἔργων ἔδειξας. Διὰ τοῦτο καὶ ἡμεῖς, καίτοι ἐν ἀρρωστίᾳ καθεστῶτες καὶ εἰς τὸ πάσης τῆς καθ' ἡμᾶς οἰκουμένης ἐρημότατον χωρίον ἀπενεχθέντες, τὴν Κουκουσόν, καὶ ὑπὸ τῆς τῶν Ἰσαύρων ἐφόδου πολιορκούμενοι καὶ ἐν πολλαῖς ὄντες περιστάσεσι, καὶ γράφομεν καὶ τὴν ὀφειλομένην ἀποδίδομεν πρόσρησιν τῇ εὐλαβείᾳ τῇ σῇ, τῷ σώματι μὲν διεστηκότες, τῇ ψυχῇ δὲ συνδεδεμένοι, καὶ μεγίστην ἐντεῦθεν καρπούμεθα τὴν παράκλησιν. Εἰ γὰρ καὶ

234

ΣΤΟΝ ΒΡΙΣΩΝΑ

Ἀφοῦ καταναλώσαμε σχεδὸν ἑβδομήντα μέρες στὸ δρόμο, κατὰ τὴ διάρκεια τῶν ὁποίων μπορεῖ ἡ θαυμασιότητά σου νὰ ὑπολογίσει, πόσα καὶ πόσο μεγάλα δεινὰ ὑποστήκαμε, πολιορκούμενοι σὲ πολλὰ μέρη ἀπὸ τὸ φόβο τῶν Ἰσαύρων καὶ παλεύοντας μὲ ἀνυπόφορο πυρετό, ἐπὶ τέλους φθάσαμε στὴν Κουκουσό, τὸ πιὸ ἔρημο χωριὸ τῆς οἰκουμένης. Καὶ τὰ λέω αὐτά, ὄχι ζητώντας νὰ ἐνοχλήσεις κάποιον γιὰ νὰ μὲ μεταθέσει ἀπὸ ἐδῶ (γιατὶ τὸ πιὸ δύσκολο, δηλαδὴ τὴν ταλαιπωρία τοῦ δρόμου, τὸ διανύσαμε), ἀλλὰ ζητώντας ἀπὸ σένα μιὰ χάρη, νὰ μοῦ γράφεις συνεχῶς, καὶ νὰ μὴ μοῦ στερήσεις κι αὐτὴ τὴν παρηγοριά, ἐπειδὴ ἐγκαταστάθηκα μακριά σας. Γιατὶ γνωρίζεις πόσο παρηγοριὰ δέχομαι, ἂν καὶ τὰ δικά μου εἶναι θλιβερὰ καὶ ἐμπερίστατα, ὅταν ἀκούω γιὰ ἀνθρώπους, ὅπως ἐσύ, ποὺ μὲ ἀγαπᾶτε, ὅτι εἶσθε ὑγιεῖς καὶ βρίσκεσθε σὲ ψυχικὴ ἠρεμία καὶ ὑγεία καὶ πολλὴ ἀσφάλεια.

Γιὰ νὰ χαίρομαι λοιπὸν πολὺ ἀπὸ αὐτά, γράφε τά μου συνεχῶς. Καθόσον δὲν θὰ μὲ ἐνισχύσεις λίγο, ἀλλὰ θὰ μᾶς κάνεις νὰ αἰσθανθῶ μεγάλη ἀνακούφιση· γιατὶ δὲν ἀγνοεῖς πόσο χαίρομαι μὲ τὰ δικά σου καλά.

235

ΣΤΟΝ ΕΠΙΣΚΟΠΟ ΡΩΣΟΥ ΠΟΡΦΥΡΙΟ

Γνωρίζω τῆς ἀγάπη σου τὴ σταθερότητα, τὸ ἀμετάβλητο, τὸ ἀμετακίνητο, καὶ ὅτι καμμιὰ δυσκολία τῶν περιστάσεων δὲν θὰ μποροῦσε νὰ τὴν κλονίσει· αὐτὸ τὸ ἔδειξες μὲ τὰ ἔργα σου. Γι' αὐτὸ καὶ ἐγώ, ἂν καὶ εἶμαι ἄρρωστος καὶ ἔχω μεταφερθεῖ στὸ πιὸ ἔρημο χωριὸ τῆς οἰκουμένης, τὴν Κουκουσό, καὶ πολιορκούμαστε ἀπὸ τὴν ἔφοδο τῶν Ἰσαύρων, καὶ περνῶ πολλὲς δοκιμασίες, ὅμως καὶ γράφω καὶ ἀποδίδω τὸν ὀφειλόμενο χαιρετισμὸ στὴν εὐλάβειά σου, μὲ τὴν ὁποία βέβαια εἶμαι σωματικὰ χωρισμένος, ψυχικὰ ὅμως συνδεδεμένος καὶ παίρνω ἀπὸ αὐτὸ μεγάλη παρηγοριά. Ἂν καὶ εἶναι

πολλὴ τῆς ἐντεῦθεν διατριβῆς ἡ δυσκολία, ἀλλ' ἓν τοῦτο μέγιστον ἐντεῦθεν καρπούμεθα, τὸ ἐκ γειτόνων ὑμῖν εἶναι καὶ συνεχῶς δύνασθαι, ὀλίγου τοῦ μέσου τῆς ὁδοῦ ταύτης ὄντος, καὶ ἐπιστέλλειν πρὸς τὴν ὑμετέραν εὐλάβειαν καὶ δέχεσθαι παρ' ὑμῶν γράμματα. Καὶ γὰρ ταύτης ἀπολαύοντες τῆς ἑορτῆς (ἑορτὴν γὰρ ἐγὼ τοῦτο τίθεμαι καὶ πανήγυριν καὶ πολλῆς ἡδονῆς ὑπόθεσιν), οὐδὲ μικρὰν αἴσθησιν τῆς ἐρημίας καὶ τοῦ φόβου καὶ τῆς ἀγωνίας ληψόμεθα.

ΣΛΣ'

ΚΑΡΤΕΡΙΩι ΗΓΕΜΟΝΙ

Ἐρημότατον μὲν χωρίον μεθ' ὑπερβολῆς ἡ Κουκουσός· πλὴν ἀλλ' οὐχ οὕτως ἡμᾶς τῇ ἐρημίᾳ λυπεῖ, ὡς εὐφραίνει τῇ ἡσυχίᾳ καὶ τῷ μηδαμόθεν ἡμῖν πράγματα παρέχειν. Διό, καθάπερ εἰς λιμένα τινὰ τὴν ἐρημίαν ταύτην ἀπηντηκότες, οὕτω καθήμεθα ἀπὸ τῶν κατὰ τὴν ὁδὸν κακῶν ἀναπνέοντες καὶ τῇ ἡσυχίᾳ ταύτῃ τῆς ἀρρωστίας καὶ τῶν ἄλλων κακῶν, ὧν ὑπεμείναμεν, τὰ λείψανα διορθοῦντες. Καὶ ταῦτα εἰρήκαμεν πρὸς τὴν σὴν λαμπρότητα, ἐπειδὴ σφόδρα ἴσμεν χαίροντά σε τῇ ἀνέσει τῇ ἡμετέρᾳ, ἐπεὶ καὶ ἃ αὐτόθι πεποίηκας οὐδέποτε ἐπιλαθέσθαι δυνάμεθα, τοὺς προπετεῖς ἐκείνους καὶ ἀλογίστους ἀναστέλλων θορύβους, καὶ πάντα ποιῶν, ὥστε ἡμᾶς ἐν ἀδείᾳ καταστῆσαι καὶ τὰ σαυτοῦ πληρῶν. Καὶ ταῦτα πρὸς ἅπαντας ὅπουπερ ἂν ἀφικώμεθα ἀνακηρύττομεν, πολλάς σοι χάριτας εἰδότες, δέσποτά μου θαυμασιώτατε, τῆς τοσαύτης κηδεμονίας.

Ἵνα δὲ μὴ μόνον ἐκ τοῦ φιλεῖσθαι παρὰ σοῦ, ἀλλὰ καὶ ἐκ τῶν γραμμάτων ἀπολαύειν τῶν σῶν περὶ τῆς ὑγείας τῆς σῆς σημαινόντων πολλὴν καρπωσώμεθα τὴν εὐφροσύνην, δίδου ταύτην ἡμῖν τὴν χάριν. Οὐ γὰρ τὴν τυχοῦσαν δεξόμεθα, καὶ ἐν ἀλλοτρίᾳ γῇ διατρίβοντες, παράκλησιν, εἰ τοιαῦτα γράμματα δεξαίμεθα παρὰ τῆς θαυμασιότητός σου.

μεγάλη ἡ δυσκολία τῆς ζωῆς ἐδῶ, ὅμως ἕνα πρᾶγμα πολὺ μεγάλο ἀπὸ αὐτὸ κερδίζω, τὸ ὅτι εἶμαι γείτονάς σου καὶ μπορῶ, ἐπειδὴ ἡ ἀπόσταση τοῦ δρόμου εἶναι μικρή, καὶ νὰ γράφω στὴν εὐλάβειά σου καὶ νὰ δέχομαι γράμματα ἀπὸ σένα. Ἔτσι, ἀπολαμβάνοντας αὐτὴ τὴ γιορτὴ (γιατὶ ἐγὼ αὐτὸ τὸ θεωρῶ γιορτὴ καὶ πανηγύρι καὶ ὑπόθεση μεγάλης χαρᾶς), δὲν θὰ ἔχω οὔτε τὴν παραμικρὴ αἴσθηση τῆς ἐρημιᾶς, τοῦ φόβου καὶ τῆς ἀγωνίας.

236

ΣΤΟΝ ΗΓΕΜΟΝΑ ΚΑΡΤΕΡΙΟ

Ἡ Κουκουσὸς εἶναι βέβαια χωριὸ ὑπερβολικὰ ἔρημο, ὡστόσο δὲν μὲ στενοχωρεῖ τόσο πολὺ μὲ τὴν ἐρημιά του, ὅσο μὲ εὐχαριστεῖ μὲ τὴν ἡσυχία καὶ μὲ τὸ ὅτι δὲν μοῦ δημιουργεῖ προβλήματα. Γι' αὐτό, ἐπειδὴ βρῆκα τὴν ἐρημιὰ αὐτὴ σὰν κάποιο λιμάνι, διαμένω ἐδῶ ἀναπνέοντας ἀπὸ τὰ δεινὰ ποὺ συναντήσαμε στὸ δρόμο, καὶ ἐπανορθώνοντας στὴν ἡσυχία αὐτὴ τὰ κατάλοιπα τῆς ἀρρώστιας καὶ τῶν ἄλλων κακῶν ποὺ ὑπέμεινα. Καὶ αὐτὰ τὰ εἶπα πρὸς τὴ λαμπρότητά σου, ἐπειδὴ γνωρίζω καλὰ ὅτι χαίρεσαι μὲ τὴν ἄνεση τὴ δική μου καὶ ἐπειδὴ ποτὲ δὲν μπορῶ νὰ λησμονήσω τὰ ὅσα ἔκανες ἐκεῖ, σταματώντας τοὺς αὐθάδεις ἐκείνους καὶ ἀσυλλόγιστους θορύβους καὶ κάνοντας τὰ πάντα γιὰ νὰ μὲ καταστήσεις ἀσφαλῆ, κάνοντας ὅ,τι ἐξαρτῶταν ἀπὸ σένα. Ὅλα αὐτὰ ὅπου πηγαίνω τὰ διακηρύσσω σὲ ὅλους, ἐκφράζοντας πολλὴ εὐγνωμοσύνη, θαυμασιώτατε δεσπότη μου, γιὰ τὴν τόση φροντίδα.

Ὅμως γιὰ νὰ αἰσθάνομαι μεγάλη χαρά, ὄχι μόνο ἀπὸ τὸ ὅτι ἀγαπιέμαι ἀπὸ σένα, ἀλλὰ καὶ ἀπὸ τὰ γράμματά σου ποὺ θὰ μὲ πληροφοροῦν γιὰ τὴν ὑγεία σου, κάνε μου καὶ αὐτὴ τὴ χάρη. Γιατί, ἂν καὶ ζῶ σὲ ξένη χώρα, δὲν θὰ δέχομαι μικρὴ παρηγοριά, ἐὰν συμβαίνει νὰ παίρνω τέτοια γράμματα ἀπὸ τὴ θαυμασιότητά σου.

ΡΛΖ'

ΚΩΝΣΤΑΝΤΙΟΥ ΠΡΕΣΒΥΤΕΡΟΥ ΠΡΟΣ ΤΗΝ ΜΗΤΕΡΑ

Τοῦτο μήτηρ φιλόστοργος καὶ φιλόπαις, τό, ἡνίκα ἂν δέῃ τι τῶν δεόντων, παραινεῖν τῷ παιδὶ καὶ ἐλαύνειν αὐτὸν οἴκοθεν καὶ πράως φέρειν τὸν χωρισμὸν καὶ χάριτας αὐτῷ πολλὰς εἰδέναι τῆς ἀποδημίας. Κατέλυσας αὐτὴν τῆς φύσεως τὴν τυραννίδα, κελεύσασα ἡμᾶς ἔρημον ἀνταλλάξασθαι πόλεως καὶ φόβον ἰσαυρικὸν ἀδείας καὶ τὸν χωρισμὸν ἡμῶν τῆς συνουσίας τῆς μεθ' ὑμῶν, ὥστε μηδὲν ἀναγκασθῆναι ποιῆσαι τῶν μὴ προσηκόντων. Διὰ ταῦτά σοι πολλὰς χάριτας ἴσμεν, οὐχ ὅτι ἔτεκες ἀλλ' ὅτι οὕτως ἀνέθρεψας, κἀν τούτῳ γινομένη μήτηρ οἵαν γίνεσθαι χρή. Ὡς αἵ γε τῷ πάθει καταμαλακιζόμεναι καὶ πρὸ τοῦ συμφέροντος τῶν παίδων τὴν παρουσίαν αὐτῶν ἐπιζητοῦσαι, οὐ μητέρες ἀλλὰ παιδοκτόνοι δικαίως ἂν κληθεῖεν.

Ἀλλ' ὥσπερ ἐνταῦθα ἀνδρεία γέγονας καὶ σιδήρου στερροτέρα, ἄφατον παρὰ τοῦ φιλανθρώπου Θεοῦ διὰ τῆς γνώμης ταύτης προαποθεμένη σοι τὸν μισθόν, οὕτω παρακαλοῦμεν καὶ σοῦ δεόμεθα καὶ ἐν τοῖς ἄλλοις ἅπασι τὴν αὐτὴν ἐπιδείξασθαι φιλοσοφίαν καὶ εἰδέναι ὅτι μία ἐστὶ συμφορά, ἁμαρτία μόνον, τὰ δὲ ἄλλα πάντα μῦθος, δυναστεῖαι καὶ δόξαι καὶ τιμαὶ αἱ παρὰ ἀνθρώπων. Καὶ ἡ πρὸς τὸν οὐρανὸν ἄγουσα ὁδός, αὕτη μάλιστα ἡ διὰ τῶν θλίψεών ἐστι. «Διὰ γαρ πολλῶν θλίψεων δεῖ ἡμᾶς εἰσελθεῖν», φησίν, «εἰς τὴν βασιλείαν τοῦ Θεοῦ». Καὶ πάντες δὲ οἱ ἅγιοι, οἵ τε ἐν τῇ Παλαιᾷ, οἵ τε ἐν τῇ Καινῇ, ταύτην ὥδευσαν τὴν ὁδόν, ἐπιβουλευόμενοι συνεχῶς, ἐλαυνόμενοι, φυγάδες καὶ μετανάσται γινόμενοι, ἀπόλιδες, ἄοικοι, θανάτους ἀώρους ὑπομένοντες, καὶ παρ' ὧν μάλιστα οὐδαμῶς ἐχρῆν. Τί γὰρ ὀδυνηρότερον, εἰπέ μοι, ἢ χαλεπώτερον τοῦ παρὰ δεξιᾶς ἀδελφικῆς κατενεχθῆναι καὶ ἄωρον καὶ βίαιον ὑπομεῖναι τελευτήν, μετὰ στεφάνους καὶ εὐδοκίμησιν τοσαύτην; Τί δε ὀδυνηρότερον, καὶ μόνον καὶ

---

1. *Πράξ.* 14,22. 2. Βλ. *Γεν.* 4,2–8.

237

ΤΟΥ ΠΡΕΣΒΥΤΕΡΟΥ ΚΩΝΣΤΑΝΤΙΟΥ ΠΡΟΣ ΤΗ ΜΗΤΕΡΑ ΤΟΥ

Αὐτὸ θὰ πεῖ μητέρα γεμάτη στοργὴ καὶ ἀγάπη γιὰ τὰ παιδιά της, τὸ νὰ παροτρύνει τὸ παιδί της, ὅταν πρόκειται γιὰ κάτι ποὺ πρέπει νὰ γίνει, καὶ νὰ τὸ ἀπομακρύνει ἀπὸ τὸ σπίτι καὶ νὰ ὑπομένει ἤρεμα τὸν ἀποχωρισμὸ καὶ νὰ τὸ εὐγνωμονεῖ γιὰ τὴν ἀποδημία του. Κατάργησες ἀκόμα καὶ τῆς φύσεως τοὺς νόμους, παροτρύνοντάς με νὰ ἀνταλλάξω τὴν πόλη μὲ ἔρημο, τὴν ἀσφάλεια μὲ τὸν φόβο τῶν Ἰσαύρων, καὶ τὴ συναναστροφὴ μαζί σας μὲ τὸ χωρισμό μας, ὥστε νὰ μὴ χρειασθεῖ νὰ κάνω τίποτε ἀπὸ ὅσα δὲν πρέπει. Γι' αὐτὸ σ' εὐγνωμονῶ πολύ, ὄχι γιατὶ μὲ γέννησες, ἀλλὰ γιατὶ μὲ ἀνάθρεψες ἔτσι καὶ ἀποδείχθηκες καὶ σ' αὐτὸ μητέρα τέτοια ποὺ ἔπρεπε νὰ εἶσαι. Γιατὶ ἐκεῖνες πού, ἀποχαυνωμένες ἀπὸ τὸ πάθος, ἐπιζητοῦν, πρὶν ἀπὸ τὸ συμφέρον τῶν παιδιῶν, τὴν παρουσία τους, θὰ μποροῦσαν δίκαια νὰ ὀνομασθοῦν ὄχι μητέρες, ἀλλὰ φόνισσες τῶν παιδιῶν τους.

Ἀλλὰ ὅπως στὸ θέμα αὐτὸ ἀποδείχθηκες ἀνδρεία καὶ πιὸ ἄκαμπτη καὶ ἀπὸ σίδερο, ἐξασφαλίζοντας ἀπερίγραπτο γιὰ σένα μισθὸ ἀπὸ τὸν φιλάνθρωπο Θεὸ γιὰ τὴ στάση σου αὐτή, ἔτσι σὲ παρακαλῶ καὶ σὲ ἱκετεύω νὰ δείξεις καὶ στὰ ἄλλα ὅλα τὴν ἴδια φιλοσοφικότητα, καὶ νὰ ξέρεις ὅτι μία εἶναι ἡ συμφορά, μόνο ἡ ἁμαρτία, ἐνῶ ὅλα τὰ ἄλλα εἶναι παραμύθι, οἱ ἐξουσίες καὶ οἱ δόξες καὶ οἱ τιμὲς τῶν ἀνθρώπων. Καὶ ὁ δρόμος ποὺ ὁδηγεῖ πρὸς τὸν οὐρανὸ εἶναι κατεξοχὴν ὁ δρόμος τῶν θλίψεων. Γιατὶ λέει, «πρέπει νὰ περάσουμε ἀπὸ πολλὲς θλίψεις, γιὰ νὰ μποῦμε στὴ βασιλεία τοῦ Θεοῦ»[1]. Ἀλλὰ καὶ ὅλοι οἱ ἅγιοι καὶ τῆς Παλαιᾶς καὶ τῆς Καινῆς Διαθήκης, αὐτὸ τὸ δρόμο βάδισαν, συκοφαντούμενοι συνεχῶς, διωκόμενοι, γινόμενοι πρόσφυγες καὶ μετανάστες, ἐξόριστοι, χωρὶς σπίτι, ὑφιστάμενοι πρόωρους θανάτους καὶ μάλιστα ἀπὸ ἐκείνους ποὺ δὲν ἔπρεπε καθόλου. Γιατί, πές μου, τί εἶναι πιὸ ὀδυνηρὸ ἢ πιὸ τρομερὸ ἀπὸ τὸ να χτυπηθεῖς ἀπὸ δεξὶ ἀδελφικὸ χέρι καὶ νὰ ὑποστεῖς πρόωρο καὶ βίαιο θάνατο, ὕστερα ἀπὸ τόσα στεφάνια καὶ ἐπιτυχίες[2]; Ἢ τί εἶναι

ἐν ἐσχάτῳ δοθέντα γήρᾳ κελευσθῆναι σφάττεσθαι ὑπὸ πατρικῆς χειρὸς καὶ τὸν γεννησάμενον διάκονον γενέσθαι τῆς τοιαύτης σφαγῆς; Μὴ γάρ μοι τοῦτο λέγε, ὅτι μετὰ ταῦτα ἀπέλαβεν αὐτὸν ὑγιῆ καὶ σῶον. Οὐδὲν γὰρ τούτων εἰδὼς ὁ δίκαιος ἐκεῖνος, ἀλλ' ὅτι πάντως αὐτὸν ἀναιρήσει, οὕτω καὶ ἀνήγαγεν εἰς τὸ ὄρος καὶ τὸ θυσιαστήριον ᾠκοδόμησε καὶ τὰ ξύλα ἐπέθηκε καὶ τὴν μάχαιραν ἥρπασε καὶ τὸ ξίφος διήλασε· καὶ γὰρ καὶ διήλασε, τό γε εἰς τὴν αὐτοῦ γνώμην ἧκον· διὸ καὶ πανταχοῦ τῆς οἰκουμένης ᾄδεται. Ἂν δε τὸν ἔκγονον εἴπω τὸν ἐκείνου, καὶ αὐτὸν ὄψει ὑπὸ ἀδελφικῆς βασκανίας πάλιν φυγάδα καὶ ἄπολιν γενόμενον καὶ δοῦλον καὶ ἐν ἀλλοτρίᾳ θητεύοντα καὶ τὸν περὶ τῶν ἐσχάτων δεδοικότα φόβον. Ἂν δὲ τὸν Ἰωσὴφ τὸν πραθέντα, τὸν δουλεύσαντα, τὸν δεθέντα ἔτη τοσαῦτα, τὸν μυρία παθόντα δεινά· ἂν δὲ τὸν Μωϋσέα καὶ τοσαῦτα παρὰ τῶν Ἰουδαίων παθόντα κακά· τὰ γὰρ τῶν ἀποστόλων οὐδὲ παραστῆσαι ἔνι τῷ λόγῳ.

Ταῦτ' οὖν ἅπαντα συναγαγοῦσα καὶ λογιζομένη τῆς ὑπομονῆς τὸν μισθόν, θυσίαν ἀνένεγκε τῷ Θεῷ, τὸ γενναίως ἐνεγκεῖν τὰ συμπίπτοντα καὶ διὰ παντὸς αὐτὸν δοξάζειν. Ἐπεὶ καὶ ὁ Ἰὼβ ἀπὸ τῶν τοιούτων ἐστεφανώθη ρημάτων. Ἀνάμενε δὴ καὶ τὴν ἐπὶ τὸ χρηστότερον μεταβολήν, καὶ μὴ διαλίπῃς τὸν Θεὸν ὑπὲρ τούτου παρακαλοῦσα, καὶ γράψαι ἡμῖν σπούδασον, ὅτι γέγονέ τι πλέον ἀπὸ τῶν ἡμετέρων γραμμάτων εἰς εὐθυμίας σοι λόγον, εἴ γε μὴ βούλει θολοῦν ἡμῶν τὴν εὐφροσύνην. Ἡμεῖς γὰρ ἐνταῦθα πολλῆς ἀπολαύομεν ἡδονῆς, ἐντρυφῶντες τῇ συνουσίᾳ τοῦ ἁγιωτάτου ἐπισκόπου καὶ τῇ ἡσυχίᾳ τοῦ χωρίου τούτου καὶ τῇ πολλῇ ἀπραγμοσύνῃ. Καὶ γὰρ ὁ τῶν Ἰσαύρων πέπαυται φόβος, τοῦ χειμῶνος αὐτοὺς συνελαύνοντος εἰς τὴν αὐτῶν. Μὴ δὴ τοσαύτην θολώσῃς ἡμῖν ἡδονήν. Εἰ γὰρ ἔλθοι γράμματα παρὰ τῆς σῆς τιμιότητος δηλοῦντα ἡμῖν, ὅτι ὡς σοι πρέπον ἐστὶ καὶ ἀξίως τῆς ὑψηλῆς σου γνώμης τὰ συμπίπτοντα φέρεις, καὶ ἐντεῦθεν πολλὴν καρπωσόμεθα εὐθυμίας προσθήκην. Οὐχ ὡς ἔτυχε γὰρ ἡμᾶς ἀνεκτήσατο ἡ ἐπωφελὴς συνουσία τοῦ ἁγιωτάτου

3. Βλ. Γεν. 22,1–13.

4. Ἐννοεῖ τὸν Ἰακώβ, ὁ ὁποῖος, ἀποφεύγοντας τὴν ὀργὴ τοῦ ἀδελφοῦ του Ἡσαῦ, αὐτοεξορίσθηκε πηγαίνοντας στὸ θεῖο του Λάβαν. (Γεν. 27,41–31,55).

πιὸ ὀδυνηρὸ ἀπὸ τὸ νὰ διαταχθεῖ νὰ σφάξει μὲ τὸ πατρικό του χέρι τὸ μοναδικὸ παιδί του, ποὺ τοῦ δόθηκε σὲ βαθειὰ γηρατειά, καὶ μάλιστα νὰ βοηθήσει στὴ σφαγὴ αὐτὴ καὶ τὸ ἴδιο τὸ παιδί[3]; Μὴ μοῦ πεῖς βέβαια ὅτι ὕστερα ἀπ' ὅλα αὐτὰ τὸ ἀπόλαυσε ὑγιὲς καὶ ἀβλαβές. Γιατὶ ὁ δίκαιος ἐκεῖνος, μὴ γνωρίζοντας τίποτε ἀπὸ αὐτά, παρὰ μόνο ὅτι ὁπωσδήποτε θὰ τὸ φονεύσει, τὸ ὁδήγησε στὸ βουνό, ἔκτισε τὸ θυσιαστήριο, ἔβαλε ἐπάνω του τὰ ξύλα, ἅρπαξε τὸ μαχαίρι καὶ διαπέρασε τὸ ξίφος· γιατὶ στὴν πραγματικότητα τὸ διαπέρασε, ὡς πρὸς τὸ μέρος τῆς διαθέσεώς του· γι' αὐτὸ καὶ παντοῦ στὴν οἰκουμένη ἐξυμνεῖται. Ἂν πάλι ἀναφέρω τὸν ἐγγονὸ ἐκείνου, θὰ δεῖς ὅτι καὶ αὐτός, ἀπὸ ἀδελφικὸ φθόνο, ἔγινε φυγὰς καὶ ἐξόριστος καὶ δοῦλος, ἐργαζόταν σὲ ξένη χώρα καὶ ἀντιμετώπιζε τὸν κίνδυνο τοῦ θανάτου[4]. Ἂν ἀναφέρω τὸν Ἰωσὴφ ποὺ πουλήθηκε καὶ ἔγινε δοῦλος καὶ φυλακίσθηκε τόσα χρόνια καὶ ἔπαθε μύρια δεινά· ἂν ἀναφέρω τὸν Μωϋσῆ, ποὺ τόσα δεινὰ τράβηξε ἀπὸ τοὺς Ἰουδαίους· γιατὶ τῶν ἀποστόλων τὰ παθήματα δὲν εἶναι κἂν δυνατὸ νὰ τὰ παραστήσω μὲ τὰ λόγια.

Ἀφοῦ λοιπὸν συγκεντρώσεις ὅλα αὐτα, ἀναλογιζόμενη τὴν ἀνταμοιβὴ τῆς ὑπομονῆς, πρόσφερε θυσία στὸ Θεὸ τὸ νὰ ὑπομείνεις γενναῖα ὅσα συμβαίνουν καὶ νὰ τὸν δοξάζεις πάντοτε. Γιατὶ καὶ ὁ Ἰὼβ ἀπὸ αὐτὰ τὰ λόγια δοξάσθηκε[5]. Περίμενε ὅμως καὶ τὴ μεταβολὴ τῆς καταστάσεως πρὸς τὸ καλύτερο, καὶ μὴ παραλείπεις νὰ παρακαλεῖς γι' αὐτὸ τὸ Θεό, καὶ φρόντισε νὰ μοῦ γράψεις ὅτι βελτιώθηκε κατά τι ἡ ψυχική σου διάθεση ἀπὸ τὰ γράμματά μου, ἐὰν βέβαια δὲ θέλεις νὰ θολώσεις τὴ χαρά μου. Ἐγὼ ἐδῶ πάντως δοκιμάζω μεγάλη εὐχαρίστηση, ἀπολαμβάνοντας τὴ συναναστροφὴ τοῦ ἁγιωτάτου ἐπισκόπου, τὴν ἡσυχία τοῦ χωριοῦ αὐτοῦ καὶ τὴ μεγάλη ἠρεμία. Γιατὶ καὶ ὁ φόβος τῶν Ἰσαύρων ἔπαψε, ἀφοῦ ὁ χειμώνας τοὺς πῆρε μαζί του στὴ χώρα τους. Μὴ μοῦ θολώσεις λοιπὸν τὴν τόση εὐχαρίστηση. Γιατί, ἂν ἔρθουν γράμματα ἀπὸ τὴν ἐντιμότητά σου, ποὺ νὰ μοῦ ἀναφέρουν ὅτι, ὅπως πρέπει σὲ σένα καὶ ἀντάξια πρὸς τὴν ὑψηλή σου ἀντίληψη, ὑπομένεις τὰ συμβαίνοντα, θὰ αὐξηθεῖ πολὺ ἀπὸ αὐτὸ ἡ ψυχική μου γαλήνη. Γιατὶ δὲν μὲ ἐνίσχυσε καὶ λίγο ἡ ὠφέλιμη συναναστροφὴ τοῦ ἁγιωτάτου ἐπισκόπου, ὥστε νὰ

5. *Ἰὼβ* 1,21.

ἐπισκόπου, ὡς ἄλλους ἀντ᾽ ἄλλων σχεδὸν ἐργάσασθαι, καὶ μὴ συγχωρῆσαι μηδὲ αἴσθησιν τῆς ξένης λαβεῖν· τοσαύτη ἡμᾶς περιστοιχίζεται ἀγαθῶν εὐφροσύνη καὶ πλοῦτος ἡμᾶς περιρρεῖ πνευματικὸς καὶ τὸν Θεὸν διὰ ταῦτα διηνεκῶς δοξάζοντες οὐ παυόμεθα.

ΣΛΗ'

ΤΟΥ ΑΥΤΟΥ ΠΡΟΣ ΤΗΝ ΑΔΕΛΦΗΝ ΑΥΤΟΥ

Συνάγει μὲν ἡμᾶς εἰς ἀγάπην καὶ φύσεως νόμος καὶ τὸ λῦσαι τὰς αὐτὰς ὠδῖνας, ἡμεῖς δὲ οὐκ ἐντεῦθεν μόνον, ἀλλὰ καὶ ἑτέρωθεν, καὶ ὅθεν μάλιστα χρή, καὶ αἰδούμεθα καὶ φιλοῦμέν σου τὴν τιμιότητα, ὅτι σοι τῶν παρόντων λόγος οὐδείς, ὅτι τὸν καπνὸν ἤλασας καὶ τὴν κόνιν ἔσβεσας καὶ τὸν πηλὸν κατεπάτησας καὶ κοῦφόν σοι γέγονε τὸ πτερὸν πρὸς τὴν ὁδὸν τὴν εἰς τὸν οὐρανὸν φέρουσαν, καὶ οὔτε οἰκίας ἐπιμέλεια, οὔτε ὁ ἐντεῦθεν τικτόμενος θόρυβος ἴσχυσεν ὑποσκελίσαι σοι τὸν δρόμον καὶ βραδύτερον ἐργάσασθαι, ἀλλ᾽ αὐτοῖς δὴ τούτοις τοῖς δοκοῦσιν εἶναι κωλύμασιν εἰς πλεῖον τάχος πτήσεως κέχρησαι· καὶ οὐδὲ ἡ τοὺς γενναίους ταπεινοῦσα ἄνδρας («πενία» γάρ, φησίν, «ἄνδρα ταπεινοῖ») ἴσχυσε κατενεγκεῖν, ἀλλὰ καὶ ὑψηλοτέραν εἰργάσατο. Τοιοῦτον γὰρ ἡ ἀρετή· οὐδενὶ τῶν ἀραχνίων τούτων ἐμποδίζεται, ἀλλὰ καὶ διασπάσασα αὐτὰ εὐκολώτερον ἢ τὰς ἀράχνας ταύτας, κέρδος ἐντεῦθεν συνάγει πολύ.

Ταῦτα οὐχ ἁπλῶς ἐπεστάλκαμέν σου τῇ τιμιότητι, ἀλλ᾽ ἐπειδὴ στοχαζόμεθα καὶ τῇ ἀποδημίᾳ τῇ ἡμετέρᾳ, τῷ τε θορύβῳ τῶν αὐτόθι πραγμάτων σφόδρα σε ταράττεσθαι καὶ ἀλύειν. Τούτου χάριν γεγράφομέν σου τῇ εὐλαβείᾳ, ἵνα ἐννοήσασα ὅτι ὁδὸς τὰ πράγματα, στενὴ μὲν ἡ τῆς ἀρετῆς, πλατεῖα δὲ ἡ τῆς κακίας, μήτε τοὺς μετὰ ἁμαρτημάτων εὐημεροῦντας ζηλώσῃς, ἀλλὰ δακρύσῃς μειζόνως

μὲ κάνει τελείως διαφορετικό, καὶ δὲ μὲ ἀφήνει οὔτε κἂν νὰ αἰσθανθῶ ὅτι βρίσκομαι σὲ ξένη χώρα. Τόσο μεγάλη εὐφροσύνη ἀγαθῶν μὲ περιστοιχίζει καὶ μὲ περιβάλλει πλοῦτος πνευματικός, γιὰ τὰ ὁποῖα δὲν παύω νὰ δοξάζω πάντοτε τὸ Θεό.

238

ΤΟΥ ΙΔΙΟΥ ΠΡΟΣ ΤΗΝ ΑΔΕΛΦΗ ΤΟΥ

Μᾶς ἑνώνει βέβαια στὴν ἀγάπη καὶ ὁ φυσικὸς νόμος καὶ τὸ ὅτι ἐλύσαμε τοὺς ἴδιους πόνους τοκετοῦ· ἐγὼ ὅμως, ὄχι μόνο ἀπὸ αὐτά, ἀλλὰ καὶ ἀπὸ ἄλλα, ἀπὸ αὐτὰ ποὺ κατεξοχὴν πρέπει, καὶ σέβομαι καὶ ἀγαπῶ τὴν ἐντιμότητά σου, διότι σὺ δὲν κάνεις καθόλου λόγο γιὰ τὰ παρόντα, ἀλλὰ ἔδιωξες τὸν καπνό, ἔσβησες τὴ στάχτη καὶ καταπάτησες τὸν πηλὸ καὶ τὰ φτερά σου ἔγιναν ἐλαφρὰ στὸ δρόμο ποὺ ὁδηγεῖ στὸν οὐρανό, καὶ οὔτε ἡ ἀγωνία γιὰ ἄνδρα, οὔτε ἡ φροντίδα γιὰ τὴν ἀνατροφὴ παιδιῶν, οὔτε τὸ ἐνδιαφέρον γιὰ νὰ δημιουργήσεις σπίτι, οὔτε ἡ ἀνησυχία ποὺ προκαλοῦν ὅλα αὐτά, μπόρεσαν νὰ σοῦ ὑπονομεύσουν τὸ δρόμο καὶ νὰ τὸν κάνουν βραδύτερο, ἀλλὰ ἀκριβῶς αὐτὰ τὰ ἴδια, ποὺ θεωροῦνται ὅτι εἶναι ἐμπόδια, τὰ χρησιμοποίησες γιὰ νὰ πετάξεις μὲ μεγαλύτερη ταχύτητα· καὶ οὔτε ἡ φτώχεια ποὺ ταπεινώνει τοὺς γενναίους ἄνδρες (διότι λέει, «ἡ φτώχεια ταπεινώνει τὸν ἄνδρα»[1]) μπόρεσε νὰ σὲ καταβάλει, ἀλλὰ σὲ ἔκανε καὶ ψηλότερη. Γιατὶ τέτοιο πρᾶγμα εἶναι ἡ ἀρετή· μὲ τίποτε ἀπὸ αὐτὰ ποὺ μοιάζουν μὲ ἱστοὺς ἀράχνης δὲν ἐμποδίζεται, ἀλλὰ ἀφοῦ τὰ διασπάσει πιὸ εὔκολα καὶ ἀπὸ τὶς ἀράχνες, ἀποκομίζει ἀπὸ αὐτὰ πολὺ κέρδος.

Αὐτὰ δὲν τὰ ἔγραψα τυχαῖα στὴν ἐντιμότητά σου, ἀλλὰ ἐπειδὴ σκέφτομαι ὅτι μὲ τὴ δική μου ἀποδημία καὶ τὴν ἀναταραχὴ τῶν ἐκεῖ πραγμάτων θὰ θορυβεῖσαι πολὺ καὶ θὰ ταράζεσαι, γι' αὐτὸ ἔγραψα στὴν εὐλάβειά σου, ὥστε, σκεπτόμενη ὅτι ὅλα τὰ πράγματα εἶναι ἕνας δρόμος, στενὸς βέβαια τῆς ἀρετῆς, πλατὺς ὅμως τῆς κακίας, οὔτε αὐτοὺς ποὺ εὐημεροῦν ἁμαρτάνοντας νὰ ζηλέψεις, ἀλλὰ

---

1. *Παρμ.* 10,4.

(ἐφόδιον γὰρ αὐτοῖς τῆς τιμωρίας ἡ εὐημερία γίνεται), μήτε τοὺς τὴν στενὴν ὁδεύοντας ταλανίσῃς, ἀλλὰ καὶ μακαρίσῃς μειζόνως, ἂν μετ' ἀρετῆς ὁδεύσωσι. Καὶ γὰρ καὶ τούτοις ἐφόδιον καὶ προσθήκη τιμῶν καὶ στεφάνων, μετὰ τῆς ἀρετῆς καὶ ἡ στενοχωρία γίνεται τῶν παρόντων· ἐπεὶ καὶ ὁ πλούσιος ἐκεῖνος οὐ διὰ τοῦτο μόνον ἀπετηγανίζετο, ὅτι ὠμὸς καὶ ἀπάνθρωπος ἦν, ἀλλὰ ὅτι καὶ ἐν πλούτῳ πολλῷ μείζονι καὶ δαψιλῆ παρατιθέμενος τράπεζαν· ὁ δὲ Λάζαρος διὰ τοῦτο ἐστεφανοῦντο, ὅτι μετὰ πολλῆς τῆς καρτερίας τὸν χαλεπὸν τῶν ἑλκῶν ἤνεγκε πόλεμον, τὴν πενίαν, τὴν ἐρημίαν τῶν προστησομένων, τὸ ἀπερρῖφθαι, τὸ καταφρονεῖσθαι, τὸ προκεῖσθαι τράπεζα ταῖς τῶν κυνῶν γλώσσαις.

Ταῦτα γὰρ πάντα εἰ καὶ πρὸ τῶν ἡμετέρων ἐπίστασαι γραμμάτων, ἀλλ' ἀναγκαῖον εἶναι νομίσαντες καὶ παρ' ἡμῶν σε ἀναμιμνήσκεσθαι, ἐπεστάλκαμεν, ὥστε μὴ τῇ τυραννίδι τῆς ἀθυμίας θολοῦσθαι. Εἰ γὰρ καὶ μὴ βούλομαι πάντα ἐνθεῖναι τοῖς γράμμασιν, οἶδα σαφῶς, ὅσα ὑμᾶς περιέστηκε λυπηρά, καὶ διὰ τοῦτο προσέθηκα τὴν ἐπιστολήν. Ἵν' οὖν, καὶ ἐν ἀλλοτρίᾳ διατρίβοντες, πολλῆς ἀπολαύσωμεν τῆς ἡδονῆς, πέμψον ἡμῖν γράμματα, δηλοῦντα ἡμῖν, ὅτι ἴσχυσεν ἡμῶν αὕτη ἡ παραίνεσις, ὅσον ἐβουλόμεθα καὶ ἐπεθυμοῦμεν. Οὕτω γάρ, καὶ πόρρω καθήμενοι, πολλὴν ἐντεῦθεν καρπωσόμεθα τὴν εὐφροσύνην. Ἡμεῖς γάρ, καίτοι τοσαῦτα πεπονθότες, οὐδενὸς αἰσθανόμεθα, τόν τε μισθὸν ἐννοοῦντες ὧν ἐπάθομεν, καὶ ταχίστην ἐπὶ τὸ βέλτιον μεταβολὴν τὰ πράγματα προσδοκῶντες λήψεσθαι, ὡς καὶ αὐτὰ τὰ προοίμια δείκνυσι.

Ταῦτ' οὖν καὶ αὐτὴ λογιζομένη, μηδὲν καταμαλακισθῇς πρὸς τοὺς τῆς ὑπομονῆς ἱδρῶτας, ἀλλὰ τῶν τε ἄλλων σου παιδίων ἐπιμελοῦ (πλείων γάρ σοι νῦν ὁ μισθός), καὶ τὴν καλὴν Ἐπιφάνιον κατὰ τῷ Θεῷ δοκοῦν ἀνατρέφειν σπούδαζε. Οἶσθα γὰρ ὅσος παιδοτροφίας μισθός. Οὕτως ὁ Ἀβραὰμ ηὐδοκίμησε μετὰ τῶν ἄλλων, καὶ ἐντεῦθεν ὁ Ἰὼβ ἐστεφανοῦτο· καὶ τοῖς γονεῦσι τοῦτο συνεχῶς ὁ μακάριος Παῦλος ἐπιτάττει λέγων· «ἐκτρέφετε τὰ τέκνα ὑμῶν ἐν παι-

νὰ τοὺς κλάψεις περισσότερο (γιατὶ ἡ εὐημερία γι' αὐτοὺς γίνεται ἀφορμὴ τῆς τιμωρίας), οὔτε ἐκείνους ποὺ ἀκολουθοῦν τὸ στενὸ δρόμο νὰ τοὺς ἐλεεινολογεῖς, ἀλλὰ νὰ τοὺς μακαρίζεις περισσότερο, ἐὰν βαδίζουν μὲ ἀρετή. Γιατὶ καὶ γι' αὐτοὺς ἡ στενοχώρια τῶν παρόντων μὲ τὴν ἀρετὴ γίνεται ἀφορμὴ καὶ προσαύξηση τῶν τιμῶν καὶ τῶν στεφανιῶν· γιατὶ καὶ ὁ πλούσιος ἐκεῖνος τῆς παραβολῆς[2] δὲν ψηνόταν στὸ τηγάνι μόνο ἐπειδὴ ἦταν σκληρὸς καὶ ἀπάνθρωπος, ἀλλὰ καὶ ἐπειδὴ ἦταν πάρα πολὺ πλούσιος καὶ παρέθετε πλουσιοπάροχο τραπέζι· καὶ ὁ Λάζαρος γι' αὐτὸ στεφανώθηκε, ἐπειδὴ μὲ πολλὴ καρτερία ὑπόμεινε τὸν φοβερὸ πόλεμο τῶν πληγῶν, τὴ φτώχεια, τὴν ἀπουσία ἐκείνων ποὺ θὰ τὸ παραστέκονταν, τὸ ὅτι ἦταν παραπεταμένος, τὸ ὅτι ἦταν περιφρονημένος, τὸ ὅτι ἦταν τραπέζι γιὰ τὶς γλῶσσες τῶν σκυλιῶν.

Αὐτὰ λοιπὸν ὅλα, ἂν καὶ τὰ γνώριζες καὶ πρὶν ἀπὸ τὰ δικά μου γράμματα, νομίζοντας πὼς ἦταν ἀνάγκη νὰ σοῦ τὰ ὑπενθυμίσω καὶ ἐγώ, σοῦ ἔγραψα, γιὰ νὰ μὴ ταράζεσαι μὲ τὴν τυραννία τῆς λύπης. Γιατί, ἂν καὶ δὲν θέλω νὰ τὰ περιλάβω ὅλα στὰ γράμματα, γνωρίζω καλὰ πόσα δεινὰ σὲ περικυκλώνουν· καὶ γι' αὐτὸ πρόσθεσα τὴν ἐπιστολή. Γιὰ νὰ νοιώσω λοιπὸν πολλὴ εὐχαρίστηση, ἂν καὶ ζῶ σὲ ξένη χώρα, στεῖλε μου γράμματα ποὺ νὰ μὲ πληροφοροῦν ὅτι ἡ προτροπή μου αὐτὴ εἶχε τὸ ἀποτέλεσμα ποὺ ἤθελα καὶ ἐπιθυμοῦσα. Γιατὶ ἔτσι, ἂν καὶ βρίσκομαι μακριά, θὰ δοκιμάσω πολλὴ εὐφροσύνη ἀπὸ αὐτό. Ἐγὼ πάντως, ἂν καὶ βέβαια ἔπαθα τόσα πολλά, δὲν αἰσθάνομαι τίποτε, σκεπτόμενος καὶ τὴν ἀνταμοιβὴ γιὰ ὅσα ὑπόφερα, καὶ περιμένοντας ὅτι πολὺ σύντομα τὰ πράγματα θὰ πάρουν μεταβολὴ πρὸς τὸ καλύτερο, ὅπως δείχνουν ἤδη τὰ προμηνύματα.

Αὐτὰ λοιπὸν σκεπτόμενη καὶ σύ, μὴ καταβληθεῖς ἀπὸ τοὺς κόπους τῆς ὑπομονῆς, ἀλλὰ νὰ φροντίζεις καὶ τὰ ἄλλα σου παιδιὰ (γιατὶ θὰ εἶναι μεγαλύτερη τώρα ἡ ἀμοιβὴ) καὶ προπαντὸς τὴν καλὴ Ἐπιφανία προσπάθησε νὰ τὴν ἀνατρέφεις ὅπως ἀρέσει στὸ Θεό. Γιατὶ ξέρεις πόσο μεγάλος εἶναι ὁ μισθὸς τῆς ἀνατροφῆς τῶν τέκνων. Ἔτσι διακρίθηκε ὁ Ἀβραὰμ μαζὶ μὲ τὰ ἄλλα, καὶ ἀπὸ αὐτὴν ὁ Ἰὼβ στεφανώθηκε· καὶ ὁ μακάριος Παῦλος αὐτὸ συνιστᾶ συνεχῶς στοὺς γονεῖς λέγοντας· «νὰ ἀνατρέφετε τὰ παιδιά σας μὲ ἀγωγὴ καὶ

2. *Λουκᾶ* 16,19–31

δείᾳ καὶ νουθεσίᾳ Κυρίου». Ἔχεις σχολὴν ἱκανὴν ἀπαγαγεῖν σε τῶν περιττῶν καὶ ἀκαίρων φροντίδων καὶ τῆς ἀνονήτου λύπης, σχολὴν πολὺ φέρουσαν κέρδος, μεγάλῳ τῷ τῆς ἀρετῆς δυναμένην βρύειν καρπῷ, εἴγε βουληθείης ἔργον τοῦτο ποιήσασθαι.

Περὶ γὰρ τῆς δεσποίνης μου τῆς μητρὸς οὐδὲν οἶμαι δεῖν οὐδὲ ἐπιστέλλειν, ἐπειδήπερ σοι σύνοιδα μετὰ τῶν ἄλλων καὶ τοῦτο τὸ κατόρθωμα καὶ τὸν ἄφατον ἐντεῦθεν καρπόν, καὶ ὅτι παιδίσκην ἅπασαν ὑπερηκόντισας ἐν τῇ περὶ αὐτὴν θεραπείᾳ. Ἀλλ' ὅμως, ἐπειδὴ πρέπον ἐμοὶ καὶ περὶ τούτου διαλεχθῆναι, ἄκουσον τοῦ μακαρίου Παύλου λέγοντος τιμᾶν τοὺς γονέας, καὶ προστιθέντος· «ἥτις ἐστὶν ἐντολὴ πρώτη ἐν ἐπαγγελίαις». Ἂν οὕτω σαυτὴν ἄγῃς, πολλοὺς μὲν σαυτῇ προαποθήσῃ τοὺς στεφάνους, πολλὴν δὲ ἡμῖν ἐργάσῃ τὴν ἡδονήν, καὶ οὐδὲ πεπονθέναι τι τούτων ἡγησόμεθα ὧν πεπόνθαμεν, καὶ διὰ τοῦτο, ἀλλὰ τῷ ὄγκῳ τῆς εὐφροσύνης τῶν σῶν ἀγαθῶν πτερούμενοι, καὶ εἰς τὰ οἰκεῖα εἶναι καὶ μεθ' ὑμῶν διάγειν καὶ κατὰ ῥοῦν ἡμῖν ἅπαντα φέρεσθαι ἡγησόμεθα.

ΣΛΘ'

ΤΟΥ ΑΥΤΟΥ
ΠΡΟΣ ΟΥΑΛΕΡΙΟΝ ΚΑΙ ΔΙΟΦΑΝΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟΥΣ

Μάλιστα μὲν καὶ μὴ γράψαντι γράψαι ἐχρῆν (τοιοῦτος γὰρ τῆς ἀγάπης ὁ νόμος· οὐκ ἀνέχεται ἐλαττοῦσθαι, ἀλλ' ἀεὶ φιλονεικεῖ νικᾶν τοὺς ἀγαπωμένους τῇ περιουσίᾳ τοῦ φιλεῖν), καὶ γράψαντα δὲ καὶ ἅπαξ καὶ δίς, οὐδὲ οὕτως ἠξιώσατε τῶν ὑμετέρων γραμμάτων, ἀλλ' ἐσιγήσατε σιγὴν οὕτω μακρὰν πρὸς ἄνθρωπον ἐπιθυμοῦντα δέχεσθαι νιφάδας γραμμάτων. Καὶ ταῦτα οὐκ ἐγκαλῶν λέγω (οὐχ οὕτως ἀγνοῶ μου τὰ μέτρα), ἀλλ' ἀθυμῶν καὶ ὀδυνώμενος. Ὅσῳ γὰρ μετὰ πολλῆς τῆς ὑπερβολῆς ἐπιθυμῶ τῶν γραμμάτων, τοσούτῳ

συμβουλὲς ποὺ ἀρέσουν στὸν Κύριο»[3]. Ἔχεις ἀπασχόληση ποὺ εἶναι σὲ θέση νὰ σὲ ὁδηγήσει μακριὰ ἀπὸ τὶς περιττὲς καὶ ὀχληρὲς φροντίδες καὶ ἀπὸ τὴν ἀνώφελη στενοχώρια, ἀπασχόληση ποὺ φέρνει μεγάλο κέρδος καὶ μπορεῖ νὰ ἀναβλύσει μεγάλους καρποὺς ἀρετῆς, ἐὰν βέβαια θελήσεις νὰ τὴν κάνεις ἔργο σου.

Ὅσο γιὰ τὴν κυρία μου τὴ μητέρα νομίζω ὅτι δὲν εἶναι ἀνάγκη νὰ σοῦ γράψω τίποτε, ἐπειδὴ ἀναγνωρίζω μαζὶ μὲ τὰ ἄλλα καὶ τὸ κατόρθωμά σου αὐτό, καὶ τὸν ἀπερίγραπτο ἀπὸ αὐτὸ καρπὸ καὶ ὅτι ξεπέρασες κάθε ὑπηρέτρια στὸ νὰ τὴν περιποιεῖσαι. Ὅμως, ἐπειδὴ πρέπει νὰ κάνω λόγο καὶ γιὰ τὸ θέμα αὐτό, ἄκουσε τὸν μακάριο Παῦλο, ὁ ὁποῖος λέει νὰ τιμᾶμε τοὺς γονεῖς καὶ προσθέτει ὅτι «αὐτὴ εἶναι ἡ πρώτη ἐντολὴ ποὺ περιλαμβάνει καὶ ὑπόσχεση»[4]. Ἐὰν ἔτσι πορευθεῖς, καὶ στὸν ἑαυτό σου θὰ ἐξασφαλίσεις πολλὰ στεφάνια δόξας, καὶ σὲ μένα θὰ δώσεις μεγάλη χαρά, καὶ θὰ νομίζω ἐξαιτίας αὐτοῦ ὅτι δὲν ἔπαθα τίποτε ἀπὸ αὐτὰ ποὺ ὑπόφερα, ἀλλά, ἀναπτερούμενος ἀπὸ τὴ μεγάλη χαρά μου γιὰ τὰ δικά σου ἀγαθά, θὰ νομίζω ὅτι καὶ στὸ σπίτι μας βρίσκομαι καὶ μαζί σας ζῶ καὶ ὅτι ὅλα γιὰ μένα πηγαίνουν κανονικά.

239

ΤΟΥ ΙΔΙΟΥ
ΠΡΟΣ ΤΟΥΣ ΠΡΕΣΒΥΤΕΡΟΥΣ ΟΥΑΛΕΡΙΟ ΚΑΙ ΔΙΟΦΑΝΤΟ

Ἔπρεπε ἀκόμα καὶ ἂν δὲν σᾶς ἔγραφα νὰ μοῦ γράψετε· γιατὶ τέτοιος εἶναι ὁ νόμος τῆς ἀγάπης· δὲν ἀνέχεται νὰ ἐλαττώνεται, ἀλλὰ πάντοτε ἐπιδιώκει νὰ ὑπερνικᾶ αὐτοὺς ποὺ ἀγαπᾶ ὡς πρὸς τὴν ἀφθονία τῆς ἀγάπης. Ὡστόσο, ἂν καὶ σᾶς ἔγραψα καὶ μία καὶ δύο φορές, οὔτε ἔτσι μὲ τιμήσατε μὲ τὰ δικά σας γράμματα, ἀλλὰ σιωπήσατε τόσο μακρὰ σιωπή, σ' ἕναν ἄνθρωπο ποὺ ἐπιθυμεῖ νὰ παίρνει πυκνὰ γράμματα. Καὶ αὐτὰ δὲν τὰ λέω κατηγορώντας σας (γιατὶ δὲν ἀγνοῶ τόσο πολὺ τὴ μετριότητά μου), ἀλλὰ ἐπειδὴ στενοχωριέ-

3. Ἐφ. 6,4.

4. Ἐδῶ ὁ συγγραφέας τῆς ἐπιστολῆς ὑπαινίσσεται τὸ «ἵνα εὖ σοι γένηται, καὶ ἵνα μακροχρόνιος γένῃ ἐπὶ τῆς γῆς», μὲ τὸ ὁποῖο συμπληρώνεται ἡ ἐντολή. Ἐφ. 6,2-3. Πρβλ. καὶ Ἐξ. 20,12.

καὶ πλείονα τὴν ὀδύνην ἀποστερούμενος αὐτῶν ὑπομένω. Μικρᾶς οἴεσθε παρακλήσεως ἡμᾶς δεῖσθαι, μητρὸς καὶ ἀδελφῆς κεχωρισμένους, πατρίδος ἐκπεπτωκότας, χορὸν τοσούτων γνησίων οὐ δυναμένους βλέπειν, ἐρημίαν οἰκοῦντας πάσης ἐρημίας χαλεπωτέραν, Ἰσαύρων φόβῳ πολιορκουμένους; Μετὰ τῶν ἐμῶν καὶ τὰ κοινὰ καθ' ἑκάστην ἡμέραν ἀκούω τὰ κακὰ καὶ πανταχοῦ τῆς οἰκουμένης βλαστάνοντα καὶ καθ' ἑκάστην ἡμέραν μετὰ προσθήκης αὐξανόμενα καὶ χαλεπά τινα ὠδίνοντα ναυάγια.

Εἴθε μοι δυνατὸν ἦν παραστῆσαι τῷ λόγῳ τῆς ἀθυμίας τὴν τυραννίδα· τότε ἄν, καὶ μὴ λεγόντων ἡμῶν, αὐτοὶ ἂν μετέγνωτε ἐπὶ τῇ σιγῇ. Λυπεῖ δέ με πρὸς τούτοις τὸ μήτε εἰς γραμματηφόρων σπάνιν ἔχοντας καταφυγεῖν τοῦτο ποιῆσαι. Ὅπερ σημεῖόν ἐστιν... ἀλλ' ἐγὼ μὲν οὐδεν ἂν εἴποιμι δυσχερές, ὑμῖν δὲ καταλιμπάνω εἰδέναι, εἰ μὴ πολλῆς ταῦτα ὀλιγωρίας καὶ τῆς καθ' ἡμῶν ὑπεροψίας. Ἀλλ' οὐδέν μοι τοῦτο μέλει, κἂν καταφρονῆτε κἂν ὑπεροράτε τῆς ἡμετέρας σμικρότητος· ἓν ἐπιζητῶ μόνον, ὅπως ἂν διακέησθε, τὰ γράμματα τῆς θεοσεβείας ὑμῶν, τὰ πολλὴν ἔχοντα παράκλησιν. Καὶ γὰρ καὶ εἷς καὶ δεύτερος πολλάκις ἀφίκοντο πρὸς ἡμᾶς, καὶ νῦν ὁ κύριός μου ὁ τιμιώτατος ἀδελφὸς Λιβάνιος, καὶ οὐκ ἠξιώσατε ἡμᾶς τῶν ὑμετέρων γραμμάτων. Μὴ δὴ προσθῆτε, παρακαλῶ, τῇ ἀθυμίᾳ μου ἀθυμίαν ἑτέραν. Εἰ γὰρ μηδὲ μετὰ τὴν ἐπιστολὴν ταύτην βουληθείητε ἡμῖν ἐπιστεῖλαι, ἢ ὄκνῳ ἢ ῥᾳθυμίᾳ ἐνδόντες, ἡμεῖς οὐ παυσόμεθα καὶ γράφοντες καὶ μετὰ τοῦ γράφειν καὶ ὀλοφυρόμενοι καὶ θρηνοῦντες διὰ τὴν σιγὴν τὴν ὑμετέραν. Τούτου γάρ ἐσμεν κύριοι.

Οὐ μικρὸν δὲ καὶ τοῦτο ἡμῖν εἰς παράκλησιν, μᾶλλον δὲ καὶ τούτου χωρὶς ἡ μεγίστη ἡμῶν παραμυθία τὸ μέχρι τῆς ἐρημίας αὐτῆς καὶ τῶν περάτων τῆς γῆς (πρὸς γὰρ αὐτὰ τὰ πέρατα σχεδόν ἐσμεν νῦν) φήμην ὑμῶν διαδίδοσθαι λαμπράν, κομίζουσαν ὑμῶν τὰ κατορθώματα. Πάντες γὰρ ὑμᾶς ἀνακηρύττουσι, θαυμάζουσι, στεφανοῦσι, μακαρίζουσι τῆς ἀνδρείας, τῆς στερρότητος, ἣν διὰ τῶν ἔργων ἐπεδείξασθε, τὸ γραφικὸν ἐκεῖνο πληροῦντες, «ἕως θανάτου

μαι καὶ θλίβομαι. Γιατὶ ὅσο πιὸ πολὺ ἐπιθυμῶ τὰ γράμματα, τόσο περισσότερη θλίψη δοκιμάζω, ὅταν τὰ στεροῦμαι. Νομίζετε ὅτι δὲν ἔχω ἀνάγκη παρηγοριᾶς ἀποχωρισμένος ἀπὸ μητέρα καὶ ἀδελφή, διωγμένος ἀπὸ τὴν πατρίδα, μὴ μπορώντας νὰ βλέπω ὁλόκληρο ὅμιλο εἰλικρινῶν φίλων, κατοικώντας σὲ ἐρημιὰ χειρότερη ἀπὸ κάθε ἄλλη ἐρημιὰ καὶ πολιορκούμενοι ἀπὸ τὸ φόβο τῶν Ἰσαύρων; Καὶ μαζὶ μὲ τὰ δικά μου ἀκούω καὶ τὰ κοινὰ δεινὰ ποὺ κάθε μέρα ξεφυτρώνουν παντοῦ στὴν οἰκουμένη, κάθε μέρα αὐξάνουν μὲ τὴν προθήκη ἄλλων καὶ ἐγκυμονοῦν κάποια φοβερὰ ναυάγια.

Μακάρι νὰ μποροῦσα νὰ περιγράψω μὲ λόγια τὴν τυραννία τῆς στενοχώριας μου· τότε καὶ χωρὶς νὰ σᾶς ἔλεγα τίποτε ἐγώ, μόνοι σας ἐσεῖς θὰ μετανοούσατε γιὰ τὴ σιωπή σας. Ὅμως μὲ κάνει νὰ λυπᾶμαι, κοντὰ στὰ ἄλλα καὶ τὸ ὅτι τὸ κάνατε αὐτὸ χωρὶς νὰ μπορεῖτε νὰ ἐπικαλεσθεῖτε ἔλλειψη γραμματοκομιστῶν, πρᾶγμα ποὺ εἶναι σημάδι..., ὅμως ἐγὼ δὲν θὰ πῶ τίποτε τὸ δυσάρεστο, ἀλλὰ ἀφήνω σὲ σᾶς νὰ κρίνετε, ἂν αὐτὸ δὲν εἶναι ἀποτέλεσμα ὀλιγωρίας καὶ ὑπεροψίας πρὸς ἐμένα. Ὅμως δὲν μὲ ἐνδιαφέρει καθόλου αὐτό, ἂν δηλαδὴ μὲ περιφρονεῖτε καὶ ἂν βλέπετε ἀφ' ὑψηλοῦ τὴ δική μου μηδαμινότητα· ἕνα πρᾶγμα μόνο ἐπιζητῶ, ὅπως καὶ ἂν διάκεισθε ἀπέναντί μου, τὰ γράμματα τῆς θεοσέβειάς σας, ποὺ φέρνουν μεγάλη παρηγοριά. Γιατὶ καὶ ἕνας καὶ δεύτερος πολλες φορὲς ἦρθαν πρὸς ἐμᾶς, καὶ τώρα ὁ κύριός μου, ὁ ἐντιμότατος ἀδελφὸς Λιβάνιος, καὶ δὲν μὲ τιμήσατε μὲ τὰ γράμματά σας. Σᾶς παρακαλῶ λοιπόν, μὴ προσθέσετε στὴ στενοχώρια μου καὶ ἄλλη στενοχώρια. Γιατί, ἐὰν καὶ μετὰ ἀπὸ αὐτὴ τὴν ἐπιστολὴ δὲν θελήσετε νὰ μοῦ γράψετε, ἢ ἀπὸ ὀκνηρία ἢ ραθυμία, ἐγὼ δὲν θὰ πάψω καὶ νὰ γράφω καὶ μαζὶ μὲ τὸ γράψιμο νὰ κραυγάζω γοερὰ καὶ νὰ θρηνῶ γιὰ τὴ δική σας σιωπή. Γιατὶ μόνο αὐτὸ μπορῶ νὰ κάνω.

Δὲν εἶναι ἐπίσης λίγο γιὰ παρηγοριά μας καὶ αὐτό, ἢ μᾶλλον καὶ χωρὶς αὐτό, ἡ πιὸ μεγάλη παρηγοριὰ γιὰ μᾶς εἶναι τὸ ὅτι μέχρι αὐτὴν ἐδῶ τὴν ἐρημιὰ καὶ τὰ πέρατα τῆς γῆς (γιατὶ τώρα βρισκόμαστε σχεδὸν στὰ πέρατα τὰ ἴδια) διαδίδεται ἡ λαμπρή σας φήμη, φέρνοντας σὲ μᾶς τὰ κατορθώματά σας. Γιατὶ ὅλοι σᾶς ἀνακηρύσσουν, σᾶς θαυμάζουν, σᾶς στεφανώνουν καὶ σᾶς μακαρίζουν γιὰ τὴν ἀνδρεία καὶ τὴ σταθερότητα ποὺ δείξατε μὲ τὰ ἔργα σας, ἐφαρ-

ἀγώνισαι ὑπὲρ τῆς ἀληθείας, καὶ Κύριος πολεμήσει ὑπὲρ σοῦ». Ἰδοὺ γοῦν τοσούτων κυμάτων ἐπενεχθέντων, τοσαύτης ζάλης διαναστάσης, οὔτε θορυβῆσαί τις ὑμᾶς ἴσχυσεν, οὔτε εἰς ὁτιοῦν παραβλάψαι, ἀλλὰ καὶ μειζόνων ὑμῖν ἐγκωμίων ἄκοντες γεγόνασιν οἱ κακῶς ὑμᾶς ποιῆσαι βουλόμενοι αἴτιοι.

Διὰ ταῦτα χαίρετε, παρακαλῶ, καὶ εὐφραίνεσθε καὶ τὸν Θεὸν ἱκετεύοντες μὴ διαλίπητε, τὸν ποιοῦντα καὶ μετασκευάζοντα. Ποιήσει γὰρ ταχέως ὑπὲρ ἐκπερισσοῦ ὧν αἰτούμεθα ἢ νοοῦμεν, διὰ τὴν οἰκείαν ἀγαθότητα.

ΣΜ'

ΤΟΥ ΑΥΤΟΥ ΠΡΟΣ ΚΑΣΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟΝ

Πῶς διαλάμπει σαφῶς καὶ λαθεῖν οὐ δύναται ἡ ψυχὴ θερμὴν ἀγάπην ἔχουσα! ὅπερ ἐπὶ τῆς σῆς γέγονε τιμιότητος. Οὐδὲ γὰρ εἰδὼς ὅτι ἐπεστάλκαμέν σου τῇ εὐλαβείᾳ (καίτοι γε ἐπεστάλκαμεν), ὅμως αὐτὸς τὰ παρὰ σαυτοῦ πεποίηκας, γράψας τε ἡμῖν καὶ τὴν διάθεσίν σου τὴν γνησίαν καὶ ἐν τούτῳ ἐπιδειξάμενος, καὶ πολλῆς ἡμᾶς ἐμπλήσας τῆς εὐφροσύνης καὶ τῆς παρακλήσεως. Ἵν' οὖν συνεχῶς ταύτης ἀπολαύωμεν τῆς ἡδονῆς καὶ εὐφραινώμεθα, συνεχῶς τοῦτο ποιεῖν παρακέκλησο, ἡνίκα ἂν ἐξῇ. Οἴδαμεν γὰρ ὅτι τὸ πρᾶγμα δύσκολον, τῷ μὴ ῥᾳδίως τινὰς ἐνταῦθα παραγίνεσθαι (καὶ γὰρ τὸ τῆς οἰκουμένης ἐρημότατον χωρίον τοῦτό ἐστιν), ἀλλ' ὅμως τοῖς ἀγαπῶσι καὶ τὰ δύσκολα εὔκολα γίνεται. Εἰ γὰρ βουληθείης περιεργάζεσθαι καὶ πολυπραγμονεῖν, τοὺς ἐκεῖθεν κατὰ χρείας ἰδίας ἀφικνουμένους εὑρήσεις, καὶ ὅλως οὐδὲν ἐπιλείψει τῷ ζητεῖν καθ' ὁδοῦ.

Ταῦτ' οὖν εἰδώς, δέσποτά μου τιμιώτατε, συνεχεῖς ἡμῖν πέμπε ἐπιστολάς. Τό τε γὰρ πρᾶγμα δυσκολίαν οὐδεμίαν ἔχει, οὔτε πόνον, ἡ δὲ ἐξ αὐτοῦ εὐφροσύνη πτεροῦσθαι ἡμᾶς ποιεῖ καὶ πολλῆς παραμυθίας ὑπόθεσις γίνεται.

μόζοντας τὸ γραφικὸ ἐκεῖνο χωρίο· «ἀγωνίσου μέχρι θανάτου γιὰ τὴν ἀλήθεια, καὶ ὁ Κύριος θὰ πολεμήσει γιὰ σένα»[1]. Νὰ λοιπόν, ἐνῶ τόσα κύματα ἔρχονται ἐναντίον σας καὶ σηκώθηκε τόση φουρτούνα, οὔτε νὰ σᾶς ἀνησυχήσει κανεὶς μπόρεσε, οὔτε νὰ σᾶς βλάψει σὲ ὁτιδήποτε, ἀλλὰ ἔγιναν ἄθελά τους καὶ αἴτιοι μεγαλύτερων ἐγκωμίων αὐτοὶ ποὺ ἤθελαν νὰ σᾶς κάνουν κακό.

Γι' αὐτὸ παρακαλῶ νὰ χαίρεσθε καὶ νὰ εὐφραίνεσθε καὶ νὰ μὴ παραλείπετε νὰ παρακαλεῖτε τὸ Θεό, αὐτὸν ποὺ τὰ κάνει ὅλα καὶ τὰ μετατρέπει. Γιατὶ θὰ πραγματοποιήσει σύντομα μὲ τὸ παραπάνω αὐτὰ ποὺ ζητᾶμε ἢ σκεφτόμαστε γιὰ τὸ καλό μας.

240

ΤΟΥ ΙΔΙΟΥ ΠΡΟΣ ΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟ ΚΑΣΤΟ

Πόσο καθαρὰ λάμπει καὶ δὲν μπορεῖ νὰ κρυφθεῖ ἡ ψυχὴ ποὺ ἔχει θερμὴ ἀγάπη[1]! Αὐτὸ ἀκριβῶς ἔγινε στὴν περίπτωση τῆς ἐντιμότητάς σου. Γιατὶ χωρὶς κἂν νὰ γνωρίζεις ὅτι ἔγραψα στὴν εὐλάβειά σου (ἂν καὶ ἔγραψα βέβαια), ὅμως ἐσὺ ἔκανες ὅ,τι ἐξαρτῶταν ἀπὸ σένα, καὶ μοῦ ἔγραψες καὶ τὴν εἰλικρινῆ σου διάθεση ἔδειξες μ' αὐτό, καὶ μὲ γέμισες μὲ πολλὴ χαρὰ καὶ παρηγοριά. Γιὰ νὰ ἀπολαμβάνω συνεχῶς αὐτὴ τὴν εὐχαρίστηση καὶ νὰ χαίρομαι, παρακαλῶ νὰ τὸ κάνεις αὐτὸ συνεχῶς, ὅταν εἶναι δυνατόν. Γιατὶ γνωρίζω ὅτι τὸ πρᾶγμα εἶναι δύσκολο, ἐξαιτίας τοῦ ὅτι δὲν ἔρχεται κανεὶς εὔκολα ἐδῶ· γιατὶ τὸ χωριὸ αὐτὸ εἶναι τὸ πιὸ ἔρημο τῆς οἰκουμένης· ἀλλ' ὅμως γι' αὐτοὺς ποὺ ἀγαποῦν καὶ τὰ δύσκολα γίνονται εὔκολα. Γιατί, ἂν θελήσεις νὰ ἀσχοληθεῖς μὲ τὸ πρᾶγμα καὶ νὰ τὸ ἐξετάσεις μὲ σχολαστικότητα, θὰ βρεῖς αὐτοὺς ποὺ ἀπὸ δική τους ἀνάγκη ἔρχονται καὶ δὲν θὰ χρειασθεῖ καθόλου νὰ τοὺς ἀναζητεῖς στὸ δρόμο.

Γνωρίζοντας λοιπὸν αὐτά, ἐντιμότατε δεσπότη μου, στέλνε μου ἀλλεπάλληλες ἐπιστολές. Γιατὶ καὶ τὸ πρᾶγμα δὲν παρουσιάζει καμμιὰ δυσκολία οὔτε κόπο, καὶ ἡ χαρὰ ἀπὸ αὐτὸ μοῦ ἀναπτερώνει τὸ ἠθικὸ καὶ γίνεται ἀφορμὴ μεγάλης παρηγοριᾶς.

---

1. *Σοφ. Σειρὰχ* 4,28.

1. Ἀναφορὰ στὸ «οὕτω λαμψάτω τὸ φῶς ὑμῶν...» τῆς ἐπὶ τοῦ ὄρους ὁμιλίας, *Ματθ.* 5,16.

ΣΜΑ'

ΤΟΥ ΑΥΤΟΥ ΠΡΟΣ ΚΥΡΙΑΚΟΝ ΠΡΕΣΒΥΤΕΡΟΝ

Καὶ ἐν τούτῳ ἐθαύμασά σου τὴν ἀγάπην τὴν θερμὴν καὶ γνησίαν καὶ ἀκλινῆ, δι' ἧς ἔδειξας, ὅτι οὐ παρόντων ἡμῶν, ἀλλὰ καὶ ἀπόντων πολὺν ποιῇ λόγον. Αὐτὸς μὲν γὰρ ἔφης μηδὲ ἐπεσταλκέναι ἡμᾶς τῇ τιμιότητί σου, καὶ οὐκ ἐγένετο τοῦτο ἱκανὸν ἐμποιῆσαί σοι σιγήν, ἀλλά, καίτοι νομίσας ἡμᾶς σεσιγηκέναι, τρεῖς ἐπιστολὰς ἔπεμψας πρὸς ἡμᾶς. Ἡμεῖς δὲ καὶ ἅπαξ καὶ δὶς καὶ τρὶς καὶ πολλάκις ἐπεστάλκαμεν. Καὶ ἀμφότερα ἐδείχθη καλῶς, ἥ τε ἀγάπη ἡ σή, μὴ δεηθεῖσα τῶν γραμμάτων ἡμῶν, ἥ τε εὐγνωμοσύνη ἡ ἡμετέρα.

Ἐπεὶ οὖν ᾔσθα, ὅπως διακείμεθα περὶ τὴν τιμιότητά σου, ὅτι τῷ κεφαλαίῳ τῶν ἀγαθῶν βρύεις, τῷ συνδέσμῳ τῆς τελειότητος, ἐπιδαψιλεύου ταύτην ἡμῖν τὴν εὐφροσύνην. Ὅσας γὰρ ἂν λάβωμεν ἐπιστολάς, κἂν πολλοὶ ὦσι τῷ ἀριθμῷ, οὐ λαμβάνομεν κόρον, διὰ τὸ σφόδρα διακεῖσθαί σου περὶ τὴν τιμιότητα.

ΣΜΒ'

ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ, ΧΑΛΚΙΔΙΑι ΚΑΙ ΑΣΥΓΚΡΙΤΙΑι

Οὐδὲν ὑμῖν ἀπολογίας δεῖ πρὸς τὸ μὴ παραγενέσθαι· ἐμοὶ γὰρ ἀπὸ τῆς γνώμης παραγεγόνατε καὶ οὐδὲν ἔλαττον ἔχετε παρ' ἡμῖν τῶν ἀφικομένων ἐνταῦθα. Διὸ καὶ χάριν ὑμῖν ἔχω πολλήν, τὴν γνησίαν ὑμῶν εἰδὼς διάθεσιν, καὶ ὑπὲρ τῆς ἀπουσίας πολλὴν ἔχω συγγνώμην, διά τε τὴν τοῦ σώματος ἀρρωστίαν καὶ τὴν τοῦ ἔτους ὥραν καὶ τὸν τῶν λῃστῶν φόβον. Γράφειν δὴ μὴ κατοκνεῖτε συνεχῶς ἡμῖν τὰ περὶ τῆς ὑγείας ὑμῶν εὐαγγελιζόμεναι. Καὶ γὰρ καὶ πόρρω καθήμενοι μεριμνῶμεν τὰ ὑμέτερα, κἂν μάθωμεν, ὅτι θορύβων ἐκτός ἐστε καὶ ταραχῆς καὶ τὰ περὶ τῆς ρώσεως ὑμῶν, οὐ τὴν τυχοῦσαν καρπούμεθα εὐφροσύνην.

Ταῦτ' οὖν εἰδυῖαι, συνεχῶς ἡμᾶς εὐαγγελίζεσθε ταῦτα, ἅπερ ἐπιθυμοῦμεν μανθάνειν, ἵνα, καὶ ἐν ἐρημίᾳ διατρίβοντες, πολλὴν ἐντεῦθεν καρπωσώμεθα τὴν παράκλησιν.

241

ΤΟΥ ΙΔΙΟΥ ΠΡΟΣ ΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟ ΚΥΡΙΑΚΟ

Καὶ μ' αὐτὸ θαύμασα τὴν ἀγάπη σου τὴ θερμή, τὴ γνήσια καὶ ἀμετακίνητη, μὲ τὴν ὁποία ἔδειξες ὅτι, ἐνῶ δὲν εἶμαι παρών, ἀλλὰ εἶμαι ἀπών, κάνεις πολὺ λόγο γιὰ μένα. Σὺ ἄλλωστε εἶπες ὅτι οὔτε κἂν ἔγραψα ἐγὼ στὴν ἐντιμότητά σου, καὶ αὐτὸ δὲν ἔγινε ἱκανὸ νὰ σὲ κάνει νὰ σιωπήσεις, ἀλλά, ἂν καὶ νόμιζες ὅτι ἐγὼ σιώπησα, ἔστειλες τρεῖς ἐπιστολὲς σὲ μένα. Πάντως ἐγὼ σοῦ ἔγραψα καὶ μιὰ φορὰ καὶ δύο καὶ τρεῖς καὶ πολλὲς φορές. Καὶ τὰ δύο δείχτηκαν καλά, καὶ ἡ δική σου ἀγάπη, ποὺ δὲ χρειάστηκε τὰ δικά μου γράμματα, καὶ ἡ δική μου εὐγνωμοσύνη.

Ἀφοῦ λοιπὸν γνωρίζεις πῶς διάκειμαι πρὸς τὴν ἐντιμότητά σου, ὅτι ἀναβλύζεις τὸ σύνολο τῶν ἀγαθῶν μὲ τὸν σύνδεσμο τῆς τελειότητας, δίνε μου μὲ ἀφθονία αὐτὴ τὴ χαρά. Γιατὶ ὅσες ἐπιστολὲς καὶ ἂν πάρω, καὶ ἂν ἀκόμα εἶναι πολλὲς σὲ ἀριθμό, δὲν χορταίνω, ἐπειδὴ διακατέχομαι ἀπὸ πολλὴ ἀγάπη πρὸς τὴν ἐντιμότητά σου.

242

ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ ΣΤΗ ΧΑΛΚΙΔΙΑ ΚΑΙ ΣΤΗΝ ΑΣΥΓΚΡΙΤΙΑ

Δὲ χρειάζεται καμμιὰ δικαιολογία γιὰ τὸ ὅτι δὲν ἤρθατε· γιατὶ γιὰ μένα ὡς πρὸς τὴ διάθεσή σας ἤρθατε καὶ δὲν ἔχετε τίποτε τὸ λιγότερο ἀπέναντί μου ἀπὸ ἐκείνους ποὺ ἔρχονται ἐδῶ. Γι' αὐτὸ καὶ σᾶς ὀφείλω μεγάλη εὐγνωμοσύνη, γνωρίζοντας τὴν εἰλικρινῆ σας διάθεση, καὶ γιὰ τὴν ἀπουσία μου σᾶς ζητῶ πολλὴ συγγνώμη, γιατὶ ὀφείλεται καὶ στὴν ἀρρώστια τοῦ σώματος καὶ στὴν ἐποχὴ τοῦ ἔτους καὶ στὸ φόβο τῶν ληστῶν. Μὴ ἀδιαφορεῖτε λοιπὸν νὰ μοῦ γράφετε συνεχῶς, πληροφορώντας μου τὰ καλὰ τῆς ὑγείας σας. Γιατί, ἂν καὶ βρίσκομαι μακριά, ἔχω ἀγωνία γιὰ τὰ δικά σας ζητήματα, καὶ ὅταν μαθαίνω ὅτι εἶσθε ἀπαλλαγμένες ἀπὸ θορύβους καὶ ταραχές, καθὼς καὶ γιὰ τὴν ὑγεία σας, δοκιμάζω μεγάλη χαρά.

Γνωρίζοντας λοιπὸν αὐτά, νὰ μοῦ ἀναγγέλλετε συνεχῶς αὐτὰ ποὺ ἐπιθυμῶ νὰ μαθαίνω, ὥστε, ζώντας στὴν ἐρημιά, νὰ καρπώνομαι μεγάλη παρηγοριά.

ΕΥΡΕΤΗΡΙΑ

Οἱ ἀριθμοὶ παραπέμπουν κατὰ σειρὰ γιὰ τὰ χωρία τῆς Γραφῆς στὸ κεφάλαιο, τὸ στίχο καὶ τὴ σελίδα ποὺ βρίσκονται, ἐνῶ γιὰ τὰ ὀνόματα καὶ πράγματα στὶς πρῶτες πέντε ἐπιστολὲς ἁπλῶς στὴ σελίδα ποὺ βρίσκονται, στὶς ὑπόλοιπες στὴ σελίδα καὶ στὴν ἐπιστολή.

1. Εὑρετήριο χωρίων τῆς Γραφῆς

2. Εὑρετήριο ὀνομάτων καὶ πραγμάτων

Α

Β

X

Ψ

Ω

ΠΕΡΙΕΧΟΜΕΝΑ

ΕΚΔΟΘΕΝΤΑ ΕΡΓΑ ΠΑΤΕΡΩΝ ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ

Α'. ΑΠΑΝΤΑ Μ. ΒΑΣΙΛΕΙΟΥ

Τόμος 1ος *Ἐπιστολές.*
» 2ος *Ἐπιστολές.*
» 3ος *Ἐπιστολές.*
» 4ος *Ὁμιλίες στὴν Ἑξαήμερο.*
» 5ος *Ὁμιλίες σὲ Ψαλμούς.*
» 6ος *Ὁμιλίες ἠθικὲς καὶ πρακτικές.*
» 7ος *Ὁμιλίες δογματικές, περιστατικές, ἐγκωμιαστικές, παιδ/κές.*
» 8ος *Ἀσκητικὰ Α' (Ὅροι κατὰ πλάτος).*
» 9ος *Ἀσκητικὰ Β' (Ὅροι κατ' ἐπιτομήν).*
» 10ος *Δογματικὰ ἔργα.*

Β'. ΑΠΑΝΤΑ Μ. ΑΘΑΝΑΣΙΟΥ

Τόμος 1ος *Ἀπολογητικὰ (Κατὰ εἰδώλων, Περὶ ἐναθρωπήσεως).*
» 2ος *Δογματικὰ Α' (Λόγοι κατὰ Ἀρειανῶν Α'-Β').*
» 3ος *Δογματικὰ Β' (Λόγοι κατὰ Ἀρειανῶν Γ'-Δ').*
» 4ος *Δογματικὰ Γ'.*
» 5ος *Ἑρμηνευτικὰ Α'.*
» 6ος *Ἑρμηνευτικὰ Β' (Ἐξήγησις στοὺς Ψαλμούς).*
» 7ος *Ἑρμηνευτικὰ Γ' (Ἐξήγησις στοὺς Ψαλμούς).*
» 8ος *Ἱστορικοδογματικὰ Α'.*
» 9ος *Ἱστορικοδογματικὰ Β'.*
» 10ος *Ἱστορικοδογματικὰ Γ'.*
» 11ος *Ἀσκητικὰ (Βίος Μ. Ἀντωνίου ...).*
» 12ος *Διάφορα ἀμφιβαλλόμενα ἔργα.*

Γ'. ΑΠΑΝΤΑ ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ ΘΕΟΛΟΓΟΥ

Τόμος 1ος *Προσωπικὲς σχέσεις καὶ Ἐκκλησιαστικὴ Διακονία Α'.*
» 2ος *Προσωπικὲς σχέσεις καὶ Ἐκκλησιαστικὴ Διακονία Β'.*
» 3ος *Ἀπολογητικὰ ἔργα.*
» 4ος *Δογματικὰ ἔργα.*
» 5ος *Ὁμιλίες.*
» 6ος *Ἐγκωμιαστικοὶ καὶ Ἐπιτάφιοι Λόγοι.*
» 7ος *Ἐπιστολές.*
» 8ος *Ὁ Χριστὸς πάσχων καὶ Ἔπη δογματικά.*
» 9ος *Ἔπη Ἠθικά.*
» 10ος *Ἔπη Ἱστορικά.*
» 11ος *Ἔπη εἰς Ἑτέρους. – Ἐπιγράμματα.*

Δ΄ ΑΠΑΝΤΑ ΕΥΣΕΒΙΟΥ ΚΑΙΣΑΡΕΙΑΣ

Τόμος 1ος *Ἐκκλησιαστικὴ Ἱστορία (Βιβλία Α΄ - Γ΄).*
» 2ος *Ἐκκλησιαστικὴ Ἱστορία (Βιβλία Δ΄ - ΣΤ΄).*
» 3ος *Ἐκκλησιαστικὴ Ἱστορία (Βιβλία Ζ΄ - Ι΄).*
» 4ος *Τριακονταετηρικὸς στὸ Μ. Κων/ντῖνο.– Στὸ Βίο Μ. Κων/ντίνου. Λόγος Μ. Κωνσταντίνου στὸ Σύλλογο τῶν ἁγίων.*

Ε΄ ΑΠΑΝΤΑ ΙΩΑΝΝΟΥ ΔΑΜΑΣΚΗΝΟΥ

Τόμος 1ος *Δογματικὰ Α΄ (Ἔκδοσις ἀκριβὴς τῆς ὀρθοδόξου πίστεως).*

ΣΤ΄ ΑΠΑΝΤΑ ΙΩΑΝΝΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ

Τόμος 1ος *Διάλογος Παλλαδίου.– Περὶ ἀσαφείας τῶν προφητειῶν.– Σύνοψις Παλαιᾶς Διαθήκης.*
» 2ος *Ὁμιλίες στὴ Γένεση (Α΄ – ΚΓ΄).*
» 3ος *Ὁμιλίες στὴ Γένεση (ΚΔ΄ – ΜΑ΄).*
» 4ος *Ὁμιλίες στὴ Γένεση (ΜΒ΄ – ΞΔ΄).*
» 5ος *α) Ὁμιλίες στὴ Γένεσι (Γ΄ – ΙΒ΄). β) Στοὺς Ψαλμοὺς (ΜΑ΄ – ΜΓ΄).*
» 6ος *Ὁμιλίες στοὺς Ψαλμοὺς (ΜΔ΄ – ΡΚΓ΄).*
» 7ος *α) Ὁμιλίες στοὺς Ψαλμοὺς (ΡΚΔ΄ – ΡΝ΄).*
β) Ὁμιλίες στὸν Δαυὶδ καὶ τὸν Σαούλ.
» 8ος *α) Ὁμιλίες στὴ Γένεσι (Α΄ – Θ΄).– β) Ὑπόμνημα στὸν Ἠσαΐα.*
γ) Ὑπόμνημα στὸν Δανιὴλ (Κεφ. Ι΄–ΙΓ΄).
» 8α΄ *Ὁμιλίες σὲ πρόσωπα καὶ ρητὰ τῆς Π. Διαθήκης.*
» 9ος *Ὑπόμνημα στὸ Κατὰ Ματθαῖον Εὐαγγέλιο (Ὁμιλίες Α΄–Κ΄).*
» 10ος *Ὑπόμνημα στὸ Κατὰ Ματθαῖον Εὐαγγέλιο (Ὁμιλίες ΚΑ΄–ΜΗ΄).*
» 11ος *Ὑπόμνημα στὸ κατὰ Ματθαῖον Εὐαγγέλιο (Ὁμιλίες ΜΘ΄–ΟΕ΄).*
» 12ος *α) Ὑπόμνημα στὸ κατὰ Ματθαῖον Εὐαγγέλιο (Ὁμιλίες ΟΣΤ΄–ϞΑ΄).*
β) Ὑπόμνημα στὸ κατὰ Ἰωάννην Εὐαγγέλιο (Ὁμιλίες Α΄–Δ΄).
» 13ος *Ὑπόμνημα στὸ κατὰ Ἰωάννην Εὐαγγέλιο (Ὁμιλίες Ε΄–ΛΑ΄).*
» 13α΄ *Ὑπόμνημα στὸ κατὰ Ἰωάννην Εὐαγγέλιο (Ὁμιλίες ΛΒ΄–ΝΔ΄).*
» 14ος *Ὑπόμνημα στὸ κατὰ Ἰωάννην Εὐαγγέλιο (Ὁμιλίες ΝΕ΄–ΠΗ΄).*
» 15ος *Ὑπόμνημα στὶς Πράξεις (Ὁμιλίες Α΄–ΚΓ΄).*
» 16α΄ *Ὑπόμνημα στὶς Πράξεις (Ὁμιλίες ΚΔ΄–ΜΔ΄).*
» 16β΄ *α) Ὑπόμνημα στὶς Πράξεις (Ὁμιλίες ΜΕ΄–Ν΄).*
β) Στὴν Πρὸς Ρωμαίους (Ὁμιλίες Α΄–Ι΄).
» 17ος *Ὑπόμνημα στὴν Πρὸς Ρωμαίους (Ὁμιλίες ΙΑ΄–ΛΓ΄).*
» 18ος *Ὑπόμνημα στὴν Α΄ Πρὸς Κορινθίους (Ὁμιλίες Α΄–ΚΑ΄).*
» 18α΄ *Ὑπόμνημα στὴν Α΄ Πρὸς Κορινθίους (Ὁμιλίες ΚΒ΄–ΜΔ΄).*
» 19ος *Ὑπόμνημα στὴ Β΄ Πρὸς Κορινθίους (Ὁμιλίες Α΄–ΚΔ΄).*
» 20ος *α) Ὑπόμνημα στὴ Β΄ Πρὸς Κορινθίους (Ὁμιλίες ΚΕ΄–Λ΄)*
β) Στὴν Πρὸς Ἐφεσίους (Ὁμιλίες Α΄–ΙΑ΄).

» 21ος *α) Ὑπόμνημα στὴν Πρὸς Ἐφεσίους (Ὁμιλ. ΙΒ΄–ΚΔ΄) β)Στὴν Πρὸς Φιλιππησίους (Ὁμιλ. Α΄–ΙΒ΄).*
» 22ος *α) Ὑπόμνημα στὴν Πρὸς Φιλιππησίους (Ὁμιλίες ΙΓ΄–ΙΕ΄). β) Στὴν Πρὸς Κολοσσαεῖς, καὶ γ) στὴν Πρὸς Θεσσαλονικεῖς Α΄.*
» 23ος *α) Ὑπόμνημα στὴ Β΄ Πρὸς Θεσσαλονικεῖς (Ὁμιλίες Α΄–Ε΄). β)Στὴν Α΄ Πρὸς Τιμόθεον (Ὁμιλίες Α΄–ΙΗ΄). β)Στὴ Β΄ Πρὸς Τιμόθεον (Ὁμιλίες Α΄–Ι΄).*
» 24ος *α) Ὑπόμνημα στὴν Πρὸς Τίτον (Ὁμιλίες Α΄-S΄), β) στὴν Πρὸς Φιλήμονα (Ὁμιλ. Α΄-Γ΄), γ) στὴν Πρὸς Ἑβραίους (Ὁμιλ. Α΄-ΙΕ΄).*
» 25ος *α) Ὑπόμνημα στὴν Πρὸς Ἑβραίους (Ὁμιλίες ΙS΄–ΛΔ΄), β) Εἰς τὸν πτωχὸν Λάζαρον, (Ὁμιλίες Α΄ – Ζ΄).*
» 26ος *Ὁμιλίες Ἠθικὲς – Ἁγιογραφικές.*
» 27ος *Ὁμιλίες Ἁγιογραφικὲς – Ἑρμηνευτικές.*
» 28ος *Ποιμαντικὰ καὶ Ἀσκητικὰ Α΄.*
» 29ος *Ἀσκητικὰ Β΄.*
» 30ος *Ὁμιλίες Κατηχητικὲς – Ἠθικές.*
» 31ος *Ὁμιλίες κατηχητικὲς καὶ ἠθικὲς Β΄.- Ὁμιλ. Περιστατικὲς Α΄.*
» 32ος *Ὁμιλίες Περιστατικὲς Β΄.*
» 33ος *Ὁμιλίες Περιστατικὲς Γ΄.*
» 34ος *Ὁμιλίες Περιστατικὲς Δ΄. α) Πρὸς Ἰουδαίους καὶ Ἕλληνας. β. Πρὸς Ἰουδαίους. γ) Περὶ εἱμαρμένης καὶ προνοίας, καὶ δ) Εἰς τὸν μακάριον Βαβύλαν.*
» 35ος *Ὁμιλίες δογματικές.*
» 36ος *α) Ὁμιλίες ἑορταστικές, β) Ὁμιλίες ἐγκωμιαστικὲς Α΄.*
» 37ος *α) Ὁμιλίες Ἐγκωμιαστικὲς Β΄. β) Ἐπιστολὲς πρὸς τὴν Ὀλυμπιάδα (Α΄-ΙΖ΄) καὶ Βίος τῆς ὁσίας Ὀλυμπιάδος.*
» 38ος *α) Ἐπιστολὲς Πρὸς Ἰννοκέντιο, β) Ἐπιστολὲς ΙΗ΄–ΡΜΒ΄.*

Ζ΄ ΑΠΑΝΤΑ ΓΡΗΓΟΡΙΟΥ ΝΥΣΣΗΣ

Τόμος 1ος *Δογματικὰ Α΄ α) Πῶς τρία πρόσωπα λέγοντες, β) Κατὰ εἱμαρμένης, γ) Διάλογος περὶ ψυχῆς καὶ ἀναστάσεως, καὶ δ) Λόγος Κατηχητικὸς Μέγας.*
» 2ος *Δογματικὰ Β΄ (Κατὰ Εὐνομίου Ἀντιρρητικοὶ Λόγοι Α΄ – Β΄.)*
» 3ος *Δογματικὰ Γ΄ α) Κατὰ Εὐνομίου Ἀντιρρητικὸς Λόγος Γ΄. β) Λόγος ἀντιρρητικὸς πρὸς τὴν Εὐνομίου ἔκθεσιν.*
» 4ος *Λόγοι Δογματικοί.*
» 5ος *Ἑρμηνευτικὰ Α΄ (α) Περὶ κατασκευῆς τοῦ ἀνθρώπου. β) Ἀπολογητικὸς περὶ τῆς Ἑξαημέρου. γ) Περὶ τῆς τοῦ ἀνθρώπου γενέσεως (Ὁμιλίες Α–Γ).*
» 6ος *Ἑρμηνευτικα Β΄ (α) Εἰς τὴν ἐπιγραφὴν τῶν Ψαλμῶν. β) Εἰς τὸν 6ον Ψαλμόν. γ) Περὶ τῆς ὀγδόης. δ) Εἰς τὸν Ἐκκλησιαστήν.*

» 7ος *Ἑρμηνευτικα Γ', Ἐξήγηση στὰ Ἄσματα.*
» 8ος *α) Ἑρμηνευτικὰ - Δογματικὰ ἔργα Δ'. β) Ἀσκητικὰ Α'.*
» 9ος *α) Ἀσκητικὰ Β'. β) Λόγοι Ἐγκωμιαστικοί.*
» 10ος *α) Ὁμιλίες δογματικές, β) ἠθικές, γ) ἑορταστικές.*
» 11ος *α) Ὁμιλίες ἐγκωμιαστικές, β) Ὁμιλίες ἐπιτάφιες.*

Η' ΑΠΑΝΤΑ ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ ΠΑΛΑΜΑ

Βίος Γρηγορίου Παλαμᾶ ὑπὸ Φιλοθέου Κοκκίνου.

Τόμος 1ος *α) Λόγοι ἀποδεικτικοὶ δύο Περὶ ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος. β) Ἐπιστολὲς πρὸς Ἀκίνδυνον Α', Β', Γ'. γ) Ἐπιστολὲς πρὸς Βαρλαὰμ Α', Β'.*
» 2ος *Ὑπὲρ τῶν ἱερῶς ἡσυχαζόντων Λόγοι Α' - Γ'.*
» 3ος *Πραγματεῖες δογματικὲς καὶ ὁμολογιακές.*
» 4ος *Ἐπιστολές.*
» 5ος *Κατὰ Ἀκινδύνου Λόγοι Ἀντιρρητικοὶ (Α' – Γ').*
» 6ος *Κατὰ Ἀκινδύνου Λόγοι Ἀντιρρητικοὶ (Δ' – Ζ').*
» 7ος *Ὑπὸ ἔκδοση.*
» 8ος *Ὑπὸ ἔκδοση.*
» 9ος *Ὁμιλίες Α'–Κ'.*
» 10ος *Ὁμιλίες ΚΑ'–ΜΒ'.*
» 11ος *Ὁμιλίες ΜΒ'–ΞΓ'.*

Θ' ΦΙΛΟΚΑΛΙΑ

Τόμος 1ος *Ἀποφθέγματα Γερόντων.*
» 2ος *Τὸ Λειμωνάριον.*
» 3ος Διονυσίου Ἀρεοπαγίτου, *Περὶ θείων ὀνομάτων, Περὶ οὐρανίου ἱεραρχίας, Περὶ ἐκκλησιαστικῆς ἱεραρχίας, Περὶ μυστικῆς θεολογίας, Ἐπιστολές.*
» 4ος Θεοδωρήτου Κύρρου, *Φιλόθεος Ἱστορία ἢ Ἀσκητικὴ Πολιτεία.*
» 5ος Κυρίλλου Σκυθοπολίτου, *Βίοι ἁγίων.*
» 7ος Μακαρίου τοῦ Αἰγυπτίου, *50 Πνευματικὲς Ὁμιλίες.*
» 9ος Διαδόχου Φωτικῆς, *Κεφάλαια Γνωστικά, Λόγος στὴ Ἀνάληψη, Ὁράσεις, Ἐρωταποκρίσεις.*- Ἰωάννου Καρπαθίου, *Κεφάλαια Παρακλητικὰ 100.*
» 10Α Τῶν Ἁγίων Βαρσανουφίου καὶ Ἰωάννου *Ἐρωταποκρίσεις (Α' - ΣΚΘ').*
» 10Β Τῶν Ἁγίων Βαρσανουφίου καὶ Ἰωάννου *Ἐρωταποκρίσεις (ΣΛ' - ΦΚΒ').*
» 10Γ Τῶν Ἁγίων Βαρσανουφίου καὶ Ἰωάννου *Ἐρωταποκρίσεις (ΦΚΓ' - ΩΜ').*

» 12ος 'Αββᾶ Ἠσαΐα, *Λόγοι Ἀσκητικοὶ* - 'Αββᾶ Ζωσιμᾶ, *Κεφάλαια ὠφέλιμα* - 'Αββᾶ Δωροθέου, *Πραγματεῖες καὶ Ἐπιστολές.*
» 14ος Μαξίμου τοῦ Ὁμολογητοῦ, *Μυσταγωγία – Τὰ 400 Κεφάλαια Περὶ Ἀγάπης – Λόγος Ἀσκητικὸς – Τὰ 200 Κεφάλαια Περὶ Θεολογίας.*
» 19Α Συμεὼν τοῦ Ν. Θεολόγου, *Βίος Συμεὼν ὑπὸ Νικήτα Στηθάτου, Κεφάλαια - Εὐχαριστίες - Διάλογος μετὰ Σχολαστικοῦ.*
» 19Β Συμεὼν τοῦ Νέου Θεολόγου, *Βίβλος τῶν Θεολογικῶν Λόγων (Λόγοι Α'–Γ') – Βίβλος τῶν Ἠθικῶν Λόγων (Λόγοι Α'–S')*
» 19Γ Συμεὼν τοῦ Νέου Θεολόγου, *Α') Βίβλος τῶν Ἠθικῶν Λόγων (Λόγοι Ζ'–ΙΕ') – Β') Κατηχητικοὶ Λόγοι (Λόγοι Α'–Ζ').*
» 19Δ Συμεὼν τοῦ Νέου Θεολόγου, *Κατηχητικοὶ Λόγοι (Η'-ΛΔ').*
» 19Ε Συμεὼν τοῦ Νέου Θεολόγου, *Ὕμνοι (Α'-ΚΖ').*
» 19S Συμεὼν τοῦ Νέου Θεολόγου, *Ὕμνοι (ΚΗ'-ΝΗ').*
» 22ος Νικολάου Καβάσιλα, *Ἑρμηνεία στὴ Θεία Λειτουργία - Περὶ τῆς ἐν Χριστῷ Ζωῆς.*

Ι' ΤΑ ΜΑΡΤΥΡΙΑ ΤΩΝ ΑΡΧΑΙΩΝ ΧΡΙΣΤΙΑΝΩΝ

ΙΑ' ΑΠΟΛΟΓΗΤΑΙ

Τόμος 1ος Ἰουστίνου, *Ἀπολογίες Α' καὶ Β' – Λόγος Περὶ Ἀναστάσεως,- Διάλογος Πρὸς Τρύφωνα.*
» 2ος Τατιανοῦ, *(Πρὸς Ἕλληνας).*– 'Αθηναγόρου, *(Πρεσβεία Χριστιανῶν καὶ Περὶ ἀναστάσεως νεκρῶν).*– Θεοφίλου 'Αντιοχείας, *(Πρὸς Αὐτόλυκον Βιβλία Α–Γ).– Ἐπιστολὴ πρὸς Διόγνητον.*

ΛΟΙΠΕΣ ΕΚΔΟΣΕΙΣ ΤΟΥ ΒΥΖΑΝΤΙΟΥ

Τόμος 1ος *Ψαλμοὶ τοῦ Προφητάνακτα Δαυὶδ (Α'-ΟΑ'),* σὲ κείμενο, ἀντίστοιχη ποιητικὴ ἀπόδοση, ἐκτενὴ μετάφραση καὶ διδάγματα.
Χ. Βουλγαρη, *Ὑπόμνημα στὴν Α' καὶ Β' Πέτρου,* τόμοι δύο.

Φωτοστοιχειοθεσία: «ΓΡΑΦΙΚΕΣ ΤΕΧΝΕΣ» ΕΛΕΥΘΕΡΙΟΥ ΜΕΡΕΤΑΚΗ
Άρμενοπούλου 30 – Τηλ. 200 621 – Θεσσαλονίκη

Έκτύπωση Όφσετ: «ΓΡΑΦΙΚΕΣ Τ6ΕΧΝΕΣ» ΦΩΤΗ ΠΑΛΑΙΟΧΩΡΙΝΟΥ
Κατσιμίδου 30 – Τηλ. 928 592 – Θεσσαλονίκη

Βιβλιοδεσία: Άφοι ΒΑΡΟΥΣΙΑΔΗ
Λαχανά 17 – Τηλ. 839 414 – Θεσσαλονίκη